προφητῶν καὶ πάντων, ὡς ἔφην, ὁμοῦ τῶν ὁσίως καὶ δικαίως
D ἐν τῷ νόμῳ κυρίου πολιτευσαμένων σὺν παντὶ τῷ λαῷ τὸ τυπικὸν 5
καὶ σκιῶδες πάσχα ἑορταζόντων, ὁ πάσης ἀοράτου καὶ ὁρατῆς
κτίσεως δημιουργὸς καὶ δεσπότης, ὁ μονογενὴς υἱὸς καὶ λόγος,
ὁ τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι συναΐδιος καὶ ὁμοούσιος κατὰ
τὴν θεότητα, ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς ὁ Χριστός, ἐπὶ
συντελείᾳ τῶν αἰώνων κατὰ σάρκα τεχθεὶς ἐκ τῆς ἁγίας ἐνδόξου 10
δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου καὶ κατὰ ἀλήθειαν
θεοτόκου Μαρίας, καὶ ἐπὶ τῆς γῆς ὀφθείς, καὶ τοῖς ὁμοουσίοις
κατὰ τὴν ἀνθρωπότητα ἀνθρώποις ὡς ἄνθρωπος ἀληθῶς συνα-
ναστραφείς, καὶ αὐτὸς σὺν τῷ λαῷ ἐν τοῖς ἔτεσι τοῖς πρὸ τοῦ
P 5 κηρύγματος καὶ τοῖς ἐν τῷ κηρύγματι τὸ νομικὸν καὶ σκιῶδες 15
πάσχα ἐπετέλεσεν, ἐσθίων τὸν τυπικὸν ἀμνόν. „οὐκ ἦλθον γὰρ
καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι“, αὐ-
τὸς ἐν εὐαγγελίοις εἴρηκεν ὁ σωτήρ. ἐπεὶ δὲ ἐκήρυξεν, οὐκ
ἔφαγε τὸν ἀμνόν, ἀλλ' αὐτὸς ἔπαθεν ὡς ἀληθινὸς ἀμνὸς ἐν τῇ
τοῦ πάσχα ἑορτῇ, καθὼς διδάσκει ὁ θεολόγος καὶ εὐαγγελι- 20
στὴς Ἰωάννης ἐν τῷ κατ' αὐτὸν εὐαγγελίῳ, λέγων οὕτως· „ἄγου-
σιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ

16. seq. ἀμνόν PV. *ibid.* οὐκ ἦλθον] Matth. V. 17. 21. Ἰωάννης] XV. 28.

stremo Hierosolymitano excidio, quod sub Vespasiano Romanorum Imperatore contigit, populum Israëlitam XIV. primi mensis Lunae recte statuta, legale celebrasse Pascha breviter demonstratum est. Sacris ergo Prophetis omnibusque, ut dixi, sancte simul et juste in lege Domini versantibus, cum universo populo, typicum et umbratile Pascha celebrantibus, invisibilis et visibilis omnis creaturae Conditor, ac Dominus unigenitus Filius, et Verbum Patri et Spiritui sancto coaeternum, ejusdemque secundum Deitatem substantiae, Dominus noster et Deus Jesus Christus in saeculorum consummatione secundum carnem natus, ex sancta gloriosa Domina nostra Dei genitrice et semper virgine, ac revera Dei genitrice Maria, et in terra visus, et ejusdem substantiae secundum humanitatem cum hominibus, ut homo, vere conversatus, ipseque cum populo annis ante praedicationem, et in praedicatione legale et typicum Pascha celebravit, comedens agnum typicum: neque enim se venisse ut Legem solveret vel Prophetas, sed ut adimpleret, ipsemet in Evangeliis dixit Salvator. Postquam vero praedicavit, non comedit agnum, sed ipse passus est ut verus agnus in Paschali festivitate, quemadmodum docet Theologus et Evangelista Joannes in Evangelio abs se conscripto, ubi sic ait: *Adducunt ergo Jesum ad Caypham in praetorium. Erat autem*

πρωΐα, καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα." καὶ μετ' ὀλίγα, „ὁ οὖν Πιλᾶτος ἀκούσας τοῦτον τὸν λόγον ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ βήματος εἰς τόπον λεγόμενον Λιθόστρωτον, ἑβραϊστὶ δὲ Γαββαθᾶ. ἦν δὲ παρασκευὴ τοῦ πάσχα· ὥρα ἦν ὡσεὶ B τρίτη"· καθὼς τὰ ἀκριβῆ βιβλία περιέχει, αὐτό τε τὸ ἰδιόχειρον τοῦ εὐαγγελιστοῦ, ὅπερ μέχρι τοῦ νῦν πεφύλακται χάριτι θεοῦ ἐν τῇ Ἐφεσίων ἁγιωτάτῃ ἐκκλησίᾳ, καὶ ὑπὸ τῶν πιστῶν ἐκεῖσε προσκυνεῖται. καὶ πάλιν ὁ αὐτὸς εὐαγγελιστής φησιν, „οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου· ἠρώτησαν τὸν Πιλᾶτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν." ἐν αὐτῇ οὖν τῇ ἡμέρᾳ, ἐν ᾗ ἤμελλον οἱ Ἰουδαῖοι πρὸς ἑσπέραν ἐσθίειν τὸ πάσχα, ἐσταυρώθη ὁ κύριος ἡμῶν καὶ σωτὴρ ὁ Χριστός, θῦμα γενόμενος τοῖς μέλλουσι μετα- C λήψεσθαι τῆς πίστεως τοῦ κατ' αὐτὸν μυστηρίου κατὰ τὸ γεγραμμένον τῷ μακαρίῳ Παύλῳ, „καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός," καὶ οὐχ ὥς τινες ἀμαθίᾳ φερόμενοι διαβεβαιοῦνται ὡς φαγὼν τὸ πάσχα παρεδόθη· ὅπερ οὔτε παρὰ τῶν ἁγίων εὐαγγελίων μεμαθήκαμεν οὔτε τις τῶν μακαρίων ἡμῖν ἀποστόλων τι τοιοῦτον παραδέδωκεν. ἐν ᾧ οὖν καιρῷ ἔπαθεν ὑπὲρ ἡμῶν κατὰ σάρκα ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰη-

1. πρωΐ P. 2. μετ' ὀλίγα] XIX. 13. 4. ἐπὶ τοῦ βήματος P. 9. φησιν εὐαγγελιστής P. XIX. 31. 11. ἐκείνη P. 13. ἔμελλον P. 15. ὁ] Ἰησοῦς P. 17. Παύλῳ] Cor. I. 5. 7. 18. ἀμαθείᾳ PV. 21. τι τοιοῦτον om. P.

mane, et ipsi non introierunt Praetorium, ut non contaminarentur, sed ut manducarent Pascha. Et post pauca: *Pilatus autem cum audisset hos sermones, adduxit foras Jesum, et sedit pro tribunali in loco qui dicitur Lithostrotos, Hebraïce autem Gabbatha. Erat autem Parasceve hora quasi tertia*, ut accurati libri praeferunt, ipsumque Evangelistae manu descriptum exemplar, quod divina gratia ad haec usque tempora in sanctissima Ephesiorum Ecclesia asservatur, et a fidelibus ibi colitur. Rursum porro ait idem Evangelista: *Judaei ergo, quoniam Parasceve erat, ut non remanerent in cruce corpora, erat enim magnus ille dies Sabbati; rogaverunt Pilatum ut frangerentur eorum crura et tollerentur.* Isto igitur die quo Judaei manducaturi erant Pascha, crucifixus est Dominus noster et Salvator Jesus Christus, hostia factus iis, qui sumpturi erant fidei secundum illum mysterium, juxta quod scriptum est a Beato Paulo: *Pascha enim nostrum pro nobis immolatus est Christus*, non vero, uti qui prae ignorantia labuntur, asserunt, cum Pascha manducaret traditus est: quod neque ex sanctis Evangeliis didicimus, neque quisquam ex beatis Apostolis nobis tradidit. Quo igitur tempore passus est

σοῦς ὁ Χριστός, τὸ κατὰ νόμον οὐκ ἔφαγε πάσχα, ἀλλ' ὡς ἔφην, αὐτὸς ὡς ἀληθὴς ἀμνὸς ἐτύθη ὑπὲρ ἡμῶν ἐν τῇ τοῦ σκιώδους πάσχα ἑορτῇ ἐν ἡμέρᾳ παρασκευῇ, τῇ ιδ' τοῦ πρώτου μη-
D νὸς τῆς σελήνης. πέρας οὖν ἀπείληφε τὸ τυπικὸν πάσχα τοῦ ἀληθινοῦ πάσχα παραγενομένου· τὸ γὰρ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν 5
ἐτύθη Χριστός, ὡς πρόκειται καὶ διδάσκει τὸ σκεῦος τῆς ἐκλογῆς ὁ ἀπόστολος Παῦλος.

Ὅτι δὲ ἐν ᾧ καιρῷ ἔπαθεν ὁ σωτὴρ τὸν νομικὸν καὶ σκιώδη οὐκ ἔφαγεν ἀμνὸν καὶ διὰ τῶν εἰρημένων εὐαγγελικῶν καὶ πατρικῶν διδαγμάτων δῆλον γεγένηται. εἰ γὰρ ἁπλανῶς τάττων ὁ 10
V 5 λαὸς κατ' ἐκείνους τοὺς χρόνους τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης τὸ νομικὸν ἐπετέλει πάσχα, ἐν αὐτῇ δὲ τῇ τοῦ πάσχα ἡμέρᾳ ἤτοι τῇ ιδ' τοῦ πρώτου μηνὸς παρασκευῆς οὔσης ἐσταύ-
P 6 ρωσαν τὸν κύριον οἱ Ἰουδαῖοι, καὶ τότε τὸ πάσχα ἔφαγον κατὰ τὴν τῶν εὐαγγελίων καὶ τῶν θεοφόρων πατέρων διδασκαλίαν, 15
φανερόν ἐστιν ὅτι οὐκ ἔφαγεν τὸν νομικὸν ἀμνὸν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ κύριος, ἀλλ' αὐτὸς ἔπαθεν ὡς ἀληθὴς ἀμνός. πολλῆς δὲ οὔσης τῆς περὶ τούτου σὺν ἀποδείξει μαρτυρίας τῶν ἁγίων τῆς ἐκκλησίας διδασκάλων, ὀλίγας αὐτῶν φωνὰς ἐνταῦθα παροίσομεν, ἐν αἷς σαφῶς λέγουσιν ὅτι ἐν ᾧ καιρῷ ἔπαθεν ὁ κύριος τὸν 20
νομικὸν οὐκ ἔφαγεν ἀμνόν.

Ἱππόλυτος τοίνυν ὁ τῆς εὐσεβείας μάρτυς, ἐπίσκοπος γεγονὼς τοῦ καλουμένου Πόρτου πλησίον τῆς Ῥώμης, ἐν τῷ πρὸς

19. φωνὰς αὐτῶν P. 22. μάρτυρ P.

pro nobis secundum carnem Dominus noster et Deus Jesus Christus, legale non manducavit Pascha, sed, ut dixi, ipse ut verus agnus immolatus est pro nobis in umbratilis Paschatis festivitate, die Parasceves, XIV. primi mensis Lunae. Desiit ergo typicum Pascha, vero praesente Paschate: *Pascha enim nostrum pro nobis immolatus est Christus*, ut superius dictum est, docetque vas electionis Paulus Apostolus.

Quod vero, quo passus est tempore, legalem et umbratilem agnum non manducavit Salvator, ex laudatis Evangelistis et ex Patrum doctrinis patet omnino. Si enim recte statuta hisce temporibus XIV. primi mensis Lunae legale peregit Pascha, hac autem Paschatis die, seu XIV. primi mensis, cum Parasceve esset, Christum crucifixerunt Judaei et tunc Pascha manducaverunt, juxta Evangelia et sanctorum Patrum doctrinam, evidens est agnum legalem die illa non manducasse Dominum, sed ipsum passum esse ut verum agnum. At cum multa hac de re extent cum demonstratione sanctorum Ecclesiae Doctorum testimonia, quae paucis verbis dixere consulto hic omittimus, ubi perspicue aiunt, quo tempore passus est, Dominum legalem agnum non manducasse.

Hippolytus igitur pietatis Martyr, Portus juxta Romam Episcopus, in libro quem adversus omnes haereses confecit, haec ita verbo tenus

ἁπάσας τὰς αἱρέσεις συντάγματι ἔγραψεν ἐπὶ λέξεως οὕτως. Ὁρῶ μὲν οὖν ὅτι φιλονεικίας τὸ ἔργον. λέγει γὰρ οὕτως· ἐποίησε τὸ πάσχα ὁ Χριστὸς τότε τῇ ἡμέρᾳ καὶ ἔπαθεν· διὸ κἀμὲ δεῖ ὃν τρόπον ὁ κύριος ἐποίησεν, οὕτω ποιεῖν. πεπλάνηται δὲ μὴ γινώσκων ὅτι ᾧ καιρῷ ἔπασχεν ὁ Χριστὸς οὐκ ἔφαγε τὸ κατὰ νόμιον πάσχα. οὗτος γὰρ ἦν τὸ πάσχα τὸ προκεκηρυγμένον καὶ τὸ τελειούμενον τῇ ὡρισμένῃ ἡμέρᾳ. B

Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ πρώτῳ λόγῳ τοῦ περὶ τοῦ ἁγίου πάσχα συγγράμματος εἴρηκεν οὕτως. Οὐδὲ ἐν τοῖς πρώτοις οὐδὲ ἐν τοῖς ἐσχάτοις ὡς οὐκ ἐψεύσατο πρόδηλον, ὅτι ὁ πάλαι προειπὼν ὅτι Οὐκέτι φάγομαι τὸ πάσχα εἰκότως τὸ μὲν δεῖπνον ἐδείπνησεν πρὸ τοῦ πάσχα, τὸ δὲ πάσχα οὐκ ἔφαγεν, ἀλλ' ἔπαθεν. οὐδὲ γὰρ καιρὸς ἦν τῆς βρώσεως αὐτοῦ. C

Ἀπολλιναρίου ἐπισκόπου Ἱεραπόλεως, ὅτι ἐν ᾧ καιρῷ ὁ κύριος ἔπαθεν οὐκ ἔφαγεν τὸ τυπικὸν πάσχα.

Καὶ Ἀπολλινάριος δὲ ὁ ὁσιώτατος ἐπίσκοπος Ἱεραπόλεως τῆς Ἀσίας, ὁ ἐγγὺς τῶν ἀποστολικῶν χρόνων γεγονώς, ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ τὰ παραπλήσια ἐδίδαξε, λέγων οὕτως. Εἰσὶ τοίνυν οἳ δι' ἄγνοιαν φιλονεικοῦσι περὶ τούτων, συγγνωστὸν πρᾶγμα πεπονθότες· ἄγνοια γὰρ οὐ κατηγορίαν ἀναδέχεται, ἀλ-

5. ᾧ primitus V, nunc ω, τῷ P. 7. τὸ τελειούμενον] τὸ om. P. 14. τοῦ Ἀ. P. ibid. Ἀπολιναρίου PV hic et 16.

20. ἄγνοια V.

scripsit: Video ergo in quo dissidium consistat: sic enim ait: Fecit Pascha Christus hac die, ideo necesse est ut eodem modo faciam quo fecit Dominus. Verum fallitur, cum non advertat, illo quo passus est tempore, non manducasse Christum legale Pascha. Erat enim ipse Pascha, quod praenuntiatum fuerat, ac hora statuta completum fuit.

Et rursum, in libro primo de sancto Paschate, sic loquitur: Neque in primis neque in postremis falsum esse perspicuum est: nam qui olim praedixit, *Quia non adhuc manduco Pascha*, verisimiliter coenam coenavit ante Pascha: Pascha vero non manducavit, sed passus est: neque enim manducationis illius erat tempus.

Ex Apollinario Hierapoleos Episcopo, quod eo tempore quo passus est, Dominus non comedit typicum Pascha.

Et Apollinarius sanctissimus Hierapoleos Asiae Episcopus, qui Apostolicis temporibus proximus fuit, in libro quem de Paschate conscripsit, consentanea docuit, hisce verbis: Quidam igitur sunt qui ex ignorantia de hisce excitant contentiones, rem venia dignam passi (neque enim ac-

D λὰ διδαχῆς προσδεῖται· καὶ λέγουσιν ὅτι τῇ ιδ' τὸ πρόβατον μετὰ τῶν μαθητῶν ἔφαγεν ὁ κύριος, τῇ δὲ μεγάλῃ ἡμέρᾳ τῶν ἀζύμων αὐτὸς ἔπαθεν, καὶ διηγοῦνται Ματθαῖον οὕτω λέγειν ὡς νενοήκασιν· ὅθεν ἀσύμφωνός τε νόμῳ ἡ νόησις αὐτῶν καὶ στασιάζειν δοκεῖ κατ' αὐτοὺς τὰ εὐαγγέλια.

Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ γέγραφεν οὕτως. Ἡ ιδ' τὸ ἀληθινὸν τοῦ κυρίου πάσχα, ἡ θυσία ἡ μεγάλη, ὁ ἀντὶ τοῦ ἀμνοῦ παῖς θεοῦ, ὁ δεθείς, ὁ δήσας τὸν ἰσχυρόν, καὶ ὁ κριθεὶς κριτὴς ζώντων καὶ νεκρῶν, καὶ ὁ παραδοθεὶς εἰς χεῖρας
P 7 ἁμαρτωλῶν, ἵνα σταυρωθῇ, ὁ ὑψωθεὶς ἐπὶ κεράτων μονοκέρωτος, καὶ ὁ τὴν ἁγίαν πλευρὰν ἐκκεντηθείς, ὁ ἐκχέας ἐκ τῆς πλευρᾶς αὐτοῦ τὰ δύο πάλιν καθάρσια, ὕδωρ καὶ αἷμα, λόγον καὶ πνεῦμα, καὶ ὁ ταφεὶς ἐν ἡμέρᾳ τῇ τοῦ πάσχα, ἐπιτεθέντος τῷ μνήματι τοῦ λίθου.

Ἀλλὰ καὶ Κλήμης ὁ ὁσιώτατος τῆς Ἀλεξανδρέων ἐκκλησίας γεγονὼς ἱερεύς, ἀνὴρ ἀρχαιότατος καὶ οὐ μακρὰν τῶν ἀποστολικῶν γενόμενος χρόνων, ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ τὰ παραπλήσια διδάσκει, γράφων οὕτως. Τοῖς μὲν οὖν παρεληλυθόσιν
V 6 ἔτεσι τὸ θυόμενον πρὸς Ἰουδαίων ἤσθιεν ἑορτάζων ὁ κύριος πάσχα· ἐπεὶ δὲ ἐκήρυξεν αὐτὸς ὢν τὸ πάσχα, ὁ ἀμνὸς τοῦ θεοῦ, ὡς
B πρόβατον ἐπὶ σφαγὴν ἀγόμενος, αὐτίκα ἐδίδαξε μὲν τοὺς μαθητὰς τοῦ τύπου τὸ μυστήριον τῇ ιγ', ἐν ᾗ καὶ πυνθάνονται αὐτοῦ, Ποῦ θέλεις ἑτοιμάσωμέν σοι τὸ πάσχα φαγεῖν; ταύτῃ οὖν

4. ἀσυμφώνως PV. 7. τοῦ ἀληθινοῦ P. 17. τῷ] ᾧ V, ni fallor. 23. Matth. XXVI. 17.

cusationem admittit ignorantia, sed eget doctrina) aiuntque XIV. agnum cum Discipulis manducasse Dominum, magna vero Azymorum die passum esse, atque ita dicere Matthaeum, uti illum intelligunt, unde legi contraria est eorum interpretatio, iisque adversari videntur Evangelia.

Rursum in eodem libro sic ille scripsit: Decima quarta veri Paschatis Domini, sacrificium magnum, pro agno Dei filius, qui vinctus fortem vinxit et qui judicatus est, judex est vivorum et mortuorum, et qui traditus est in manus peccatorum ut crucifigeretur, qui super cornua unicornis est exaltatus, et qui in sacro latere percussus est, qui ex latere suo duo fudit purgatoria, aquam et sanguinem, verbum et spiritum, et qui Paschatis die sepultus est, lapide monumento imposito.

Sed et Clemens sanctissimus Alexandrinae Ecclesiae Presbyter, vir antiquissimus, et qui non multum abfuit ab Apostolicis temporibus, in libro de Paschate consimilia docet, ita scribens: Praeteritis ergo temporibus immolatum a Judaeis Pascha, festum agens, manducavit Dominus. Sed postquam praedicavit, ipse qui erat Pascha Agnus Dei, ut ovis ad occisionem ductus, Discipulos statim edocuit figurae mysterium decima quarta, qua etiam illum rogarunt, *Ubi vis parcmus tibi Pascha mandu-*

τῇ ἡμέρᾳ καὶ ὁ ἁγιασμὸς τῶν ἀζύμων καὶ ἡ προετοιμασία τῆς ἑορτῆς ἐγίνετο. ὅθεν ὁ Ἰωάννης ἐν ταύτῃ τῇ ἡμέρᾳ εἰκότως ὡς ἂν προετοιμαζομένους ἤδη ἀπονίψασθαι τοὺς πόδας πρὸς τοῦ κυρίου τοὺς μαθητὰς ἀναγράφει· πέπονθεν δὲ τῇ ἐπιούσῃ ὁ σωτὴρ ἡμῶν, αὐτὸς ὢν τὸ πάσχα, καλλιερηθεὶς ὑπὸ Ἰουδαίων. καὶ μεθ' ἕτερα, Ἀκολούθως ἄρα τῇ ιδ', ὅτε καὶ ἔπαθεν, ἕωθεν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τῷ Πιλάτῳ προσαγαγόντες οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἀκωλύτως ἑσπέρας τὸ πάσχα φάγωσι. ταύτῃ τῶν ἡμερῶν τῇ ἀκριβείᾳ C καὶ αἱ γραφαὶ πᾶσαι συμφωνοῦσι καὶ τὰ εὐαγγέλια συνῳδά. ἐπιμαρτυρεῖ δὲ καὶ ἡ ἀνάστασις· τῇ γοῦν τρίτῃ ἀνέστη ἡμέρᾳ, ἥτις ἦν πρώτη τῶν ἑβδομάδων τοῦ θερισμοῦ, ἐν ᾗ καὶ τὸ δράγμα νενομοθέτητο προσενεγκεῖν τὸν ἱερέα.

Ὅτι μὲν οὖν ἐν ᾧ καιρῷ πέπονθεν ὁ κύριος ἡμῶν καὶ σωτὴρ οὐκ ἔφαγε τὸν νομικὸν καὶ σκιώδη ἀμνόν, ἀλλ' αὐτὸς ὡς ἀληθὴς ἀμνὸς ἐτύθη ὑπὲρ ἡμῶν ἐν ἡμέρᾳ παρασκευῇ τῇ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης, καὶ διὰ τούτων δῆλον γεγένηται. παθόντος τοίνυν, ὡς εἴπομεν, κατὰ σάρκα τοῦ κυρίου ἡμῶν καὶ θεοῦ Ἰησοῦ Χριστοῦ τὸ ἑκούσιον καὶ ζωοποιὸν πάθος ἐν τῇ τοῦ νομικοῦ πάσχα ἑορτῇ, τουτέστιν τῇ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης, καὶ ἀναστάντος τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς τῇ D μιᾷ τῶν σαββάτων, ἥτις ἐστὶν κυριακή, ις' τοῦ πρώτου μηνὸς τῆς σελήνης, ἐν ᾗ καὶ τὸ δράγμα νενομοθέτητο προσφέρειν τὸν

3. παρετοιμαζ. V. 7. προσαγόντες P. 8. Ioan. XVIII. 28.
12. ἐν πρώτῃ V. 13. νομοθετεῖτο προενεγκεῖν P, ἐνομοθετεῖτο προσενεγκεῖν V.

care? Hac igitur die, et sanctificatio Azymorum et festi praeparatio facta est. Unde Joannes ubi hac die rite paratis jam Discipulis, quo a Domino abluerentur, scripsit, subdit, *Passus est sequenti die Dominus noster cum ipse esset Pascha, immolatus a Judaeis.* Et post alia: *Post haec ergo decimaquarta, quando passus est, ipso mane ad Palatium adducto, Pontifices et Scribae non introierunt Praetorium, ut non contaminarentur, sed ut vespere libere manducarent Pascha.* Huic dierum accurationi scripturae omnes consentiunt, atque adeo Evangelia sibi invicem consentanea. Quinetiam idipsum testatur Resurrectio: tertia enim die resurrexit, quae est in prima hebdomade messis, qua et manipulum deferre Pontifex a lege praecipitur.

Quod igitur, eo quo passus est tempore, Dominus noster et Salvator legalem et umbratilem agnum non manducavit, sed ipse ut verus agnus immolatus est pro nobis die Parasceves, XIV. primi mensis Lunae, ex iis perspicuum fit. Passo ergo, ut diximus, secundum carnem Domino nostro et Deo Jesu Christo voluntariam et vivificam passionem, in legalis Paschatis festo, hoc est XIV. primi mensis Lunae, et resurgente secunda die, secundum scripturas, una Sabbati, quae est Dominica, XVI.

ἱερέα, πέρας ἀπείληφε τὸ τυπικὸν πάσχα, τοῦ ἀληθινοῦ πάσχα παραγενομένου.

Τότε οὖν παυθέντος ἤγουν πληρωθέντος τοῦ τυπικοῦ καὶ σκιώδους πάσχα ἤρξατο τὸ ἀληθινὸν τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας πάσχα· οὗπερ εἰς ἀνάμνησιν καθ' ἕκαστον ἐνιαυτὸν ἡ τοῦ θεοῦ ἐκκλησία τὴν ἁγίαν τοῦ πάσχα ἑορτὴν ἐπιτελεῖ, ἁπλανῶς τηροῦσα τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς
P 8 σελήνης, ἐν ᾗ τὸ νομικὸν ἐπιτελεῖσθαι προστέτακται πάσχα, μετὰ ἐπίβασιν τῆς ἡμέρας, ἐν ᾗ τὴν ἐαρινὴν ἰσημερίαν γίνεσθαι τὸ πνεῦμα τὸ ἅγιον ἐδίδαξεν· καὶ εἰ μὲν εὑρεθείη αὕτη, λέγω δὲ ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης, ἐν ἡμέρᾳ κυριακῇ, εἰς τὴν ἑξῆς κυριακὴν τὴν ἁγίαν τῆς ἐκ νεκρῶν ἀναστάσεως Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἑορτὴν ἄγειν, εἰ δὲ ἐν δευτέρᾳ ἢ τρίτῃ ἢ τετράδι ἢ πέμπτῃ ἢ παρασκευῇ ἢ σαββάτῳ, τοῦ πάσχα διαφωνίαν οὐκ ἴσχυσαν οἱ τῆς ἐκκλησίας διδάσκαλοι, ἀλλ' ἡ θεία χάρις τοὺς πολεμίους τῆς ἐκκλησίας καταβαλοῦσα τὸν μέγαν ὡς ἀληθῶς καὶ πιστότατον βασιλέα Κωνσταντῖνον ἀνέστησεν, ὃς ἐπὶ πλεῖον τὰ χριστιανῶν εἰς φαιδρότητα καὶ δόξαν ἤγαγεν διὰ μεγίστων καὶ
B πολλῶν ὑπὲρ τῆς ἐκκλησίας θεαρέστων κατορθωμάτων. οὗτος εὑρὼν τὴν τοιαύτην διαφωνίαν ἐν ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, καὶ πρὸς ταύταις Ἄρειον τὸν δυσσεβῆ καὶ τοὺς ἀμφ' αὐτὸν σφοδρῶς τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν ἀνασκευάσαι σπουδάζοντας καὶ πολλὴν ταραχὴν ταῖς τοῦ θεοῦ ἐκκλησίαις ἐμποιοῦν-

13. εἰ] ἡ V. 21. Ἄριον V.

primi mensis Lunae, qua et manipulum offerre Pontificem lex praecipit, finem accepit typicum Pascha, cum Pascha verum adfuit.

Tunc ergo cessato seu adimpleto typico et umbratico Paschate, verum sanctae Dei Catholicae et Apostolicae Ecclesiae Pascha incoepit, in cujus memoriam sanctum Paschatis festum quotannis Ecclesia Dei celebrat, recte observata XIV. primi mensis Lunae, qua legale Pascha peragere praeceptum est, post ascensum diei, qua vernum aequinoctium fieri Spiritus sanctus edocuit: et si inventa illa fuerit (decima quarta, inquam, primi mensis Lunae) die Dominica, sequenti Dominica sanctum Christi Dei nostri ex mortuis Resurrectionis festum peragere. Enimvero, si secunda, tertia, quarta aut quinta feria, Parasceve, vel Sabbato ipsamet occurrat, cum hanc Paschatis dissonantiam componere non potuissent Ecclesiae discipuli, post prostratos Ecclesiae hostes, Magnum revera ac in fide constantissimum Imperatorem Constantinum Dei gratia excitavit, qui res Christianorum, maximis plurimisque editis pro Ecclesia Deo acceptis facinoribus, in splendorum et gloriam non modice provexit. Is enim cum tantam in sanctis Dei Ecclesiis esse dissensionem animadverteret, in iisque impium Arium, ejusque sequaces rectam et inculpatam fidem acriter invertere conari, plurimo in Dei Ecclesiis excitato tumultu,

τας, τῷ θείῳ ζήλῳ κινούμενος πρὸς εἰρήνην καὶ ὁμόνοιαν καὶ τὴν τῶν δογμάτων τῆς εὐσεβείας ὀρθότητα τὴν ἁγίαν καὶ μεγάλην καὶ οἰκουμενικὴν σύνοδον τῶν τιη΄ ὁσίων πατέρων ἐπὶ τῆς Νικαέων συνήθροισεν· οἵτινες σὺν τῷ πνεύματι τῷ ἁγίῳ ἐκεῖσε V 7
συνελθόντες, καὶ τὴν Ἀρείου καὶ τῶν ἀμφ' αὐτὸν μανίαν διελέγξαντες, τὸ τῆς πίστεως σύμβολον ἐξέθεντο, ὅρον τε ἔθηκαν συμφώνως ἅπαντες περὶ τοῦ ἁγίου καὶ ζωοποιοῦ πάσχα· ὥστε καὶ C
τοὺς ἀπὸ τῆς κοίλης Συρίας καὶ πάντας ἁπλῶς τοὺς τὸν ἀποστολικὸν καὶ εὐαγγελικὸν τῆς ὀρθοδόξου πίστεως λόγον ὑγιῆ διασώζοντας τῷ ἀρχαίῳ ἔθει τῆς τε Ῥωμαίων ἐκκλησίας καὶ τῆς Ἀλεξανδρέων καὶ τῶν πλείστων ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην κατακολουθεῖν, καὶ συμφώνως ἅπαντας ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ ἑορτάζειν τὸ πανάγιον καὶ ζωοποιὸν πάσχα. τούτων συμφώνως ὑπὸ τῆς ἁγίας ὁρισθέντων συνόδου, ὁ εὐσεβὴς καὶ φιλόχριστος βασιλεὺς Κωνσταντῖνος δι' οἰκείων αὐτοῦ γραμμάτων τοὺς ἁπανταχόσε τῆς ἱερωσύνης ἀρχηγοὺς καὶ πάντας ἁπλῶς τοὺς τῆς εὐσεβείας τροφίμους εἰρηνεύειν προέτρεπε καὶ τοῖς ὁρισθεῖσιν ἐμμένειν περί τε τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως καὶ τοῦ σωτηριώδους καὶ ζωοποιοῦ πάσχα ὑπὸ τῆς ἁγίας ἐκείνης καὶ οἰκουμενικῆς συνόδου· τοὺς δὲ μὴ τοῦτο ποιοῦντας ἀποκηρύκτους εἶναι καὶ ἀλλοτρίους τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας προσέταττε, συμφωνούντων αὐτῷ ἐν τούτοις ἅπασι καὶ τῶν ἁπανταχόσε ἀνεπιλήπτως προεστώτων τῶν

3. ἐπὶ τῆς Νικαέων] ἐν Νικαίᾳ P. 4. τῷ ἁγίῳ] ἁγίῳ P.
5. τὴν — τῶν] τὴν — τὸν V, τῶν — τὴν P.

divino motus zelo, ad pacem et concordiam, ac pietatis dogmatum integritatem, sanctam, magnam, et oecumenicam cccxviii. sanctorum Patrum Synodum Nicaeae coëgit, qui cum Spiritu sancto ibi convenientes damnata Arii et ejus asseclarum vesania, fideique exposito symbolo, de sancto et vivifico Paschate, assensu unanimi definitionem universi confecere: adeo ut qui ex Coelesyria erant, omnesque omnino qui Apostolicum et Evangelicum orthodoxae fidei sanum observant sermonem, veterem Romanae ac Alexandrinae Ecclesiae, plurimarumque sanctarum Dei Ecclesiarum morem in universo terrarum orbe secuti sint, concorditerque uno eodemque die sanctum prorsus et vivificum Pascha celebrarint. His unanimiter a sancta Synodo sic definitis ac promulgatis, Pius ac Christi amans Constantinus Imperator, Sacris suis ubique emissis, Sacerdotii Principes, ut omnes prorsus pietatis alumni pacem invicem colerent, est adhortatus: utque de recta et inculpata fide, et salutari ac vivifico Paschate, a sancta illa et oecumenica Synodo sancitis insisterent: qui vero contra agerent, a communione pellerentur, extorresque essent a sancta Dei Catholica et Apostolica Ecclesia praecepit, in hisce consentientibus universis qui inculpate sanctis Christi Ecclesiis erant praepositi sanctis

ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν ὁσίων πατέρων καὶ διδασκάλων. οὗ γενομένου ἕκαστος τῶν θεοφόρων πατέρων τῶν ἐν τῇ Νικαέων συνεληλυθότων ἁγίᾳ συνόδῳ τὴν ἰδίαν κατελάμβανε πόλιν.

P 9 Τῆς εἰρήνης δὲ καὶ ὁμονοίας μετὰ τῆς τῶν δογμάτων ὀρθότητος τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν πολλὴν ποιούμενοι πρόνοιαν οἱ ὅσιοι καὶ θεοφόροι τῆς ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι, ἐπιστάμενοι ὅτι τοὺς τῆς σελήνης μῆνας οὐχ ὁμοίως ἅπαντες ψηφίζουσι, καὶ λογισάμενοι μή πως καὶ ἐκ τούτου ἑτέρα τις διαφωνία καὶ ταραχὴ ἐν ταῖς τοῦ θεοῦ ἐκκλησίαις ἀναφυῇ περὶ τοῦ ἁγίου καὶ ζωοποιοῦ πάσχα, καὶ τὴν τοιαύτην διαφωνίαν προαναρτῆσαι σπουδάσαντες, τὴν θαυμαστὴν ἐκείνην καὶ ἀοίδιμον ἐννεακαιδεκαετηρίδα τῆς σελήνης θεοπνεύστως ἐξέθεντο, δηλοῦσαν ἐν ἑκάστῳ ἔτει ἐν πόστῃ τῶν δύο μηνῶν ἡμέρᾳ, μαρτίου λέγω ἢ καὶ ἀπριλίου, εὑρίσκεται καθ' ἕκαστον ἐνιαυτὸν ἡ κατὰ
B τὸν ἐκκλησιαστικὸν κανόνα ιδ' τοῦ πρώτου παρ' Ἑβραίοις μηνὸς τῆς σελήνης, ἐν ᾗ τὸ νομικὸν ἐπιτελεῖσθαι προστέτακται πάσχα, τὰ πάλαι ἄνωθεν καὶ ἐξ ἀρχῆς ἀγράφως μέν, ἁπλανῶς δὲ κρατήσαντα, ἐγγράφως κυρώσαντες, ὥστε ταῦτα γινώσκοντας τοὺς τῆς εὐσεβείας τροφίμους καὶ ἀσάλευτα διατηροῦντας ἐν εἰρήνῃ ἑορτάζειν τὸ πανάγιον καὶ λυτρωτήριον ἡμῶν πάσχα τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.

Ἐξήρκει μὲν οὖν τοῖς εὖ φρονοῦσιν εἰς τὸν περὶ τῆς ἁγίας

1. θεοῦ] Χριστοῦ P. 2. Νικαίων P. 13. πόστῃ] ποίᾳ P. ἀπριλίου V habet ab recentiori manu mutatum in ἀπριλλίου hic et infra.

Patribus ac Doctoribus. Quo facto, unusquisque sanctorum Patrum qui Nicaeae versabantur, et convenerant ad sanctam Synodum, urbem suam repetiit.

Pace deinde ac concordia cum sanctarum Dei Ecclesiarum dogmatum integritate stabilita, sancta et Deifera Ecclesiae luminaria, ac Doctores, cum menses lunares non similiter ab omnibus putari adverterent, ne discordia exinde alia, turbaque in Dei Ecclesiis de sancto et vivifico Paschate emergeret, hancce dissensionem, plurima adhibita cura praecidere sategerunt, mirandumque illum et insignem Decemnovennalem Lunae Cyclum, Deo ita inspirante, procudere: qui quidem quoto duorum mensium die, Martii, inquam, et Aprilis, quovis anno juxta Ecclesiasticam Regulam occurreret decima quarta primi apud Hebraeos mensis Lunae, qua legale Pascha celebrari praecipitur, quaeque olim et ab initio, absque scriptura quidem, sed rite obtinebat, indicaret, scripto mandarunt, firmaruntque, ita ut hisce perceptis, et a fidei alumnis inviolate observatis, sanctum et redemptorium nostrum magni Dei et servatoris Jesu Christi Pascha cum pace exigerent.

Iis ergo qui recte sentiunt ad sancti Paschatis festi Ecclesiasticam

τοῦ πάσχα ἑορτῆς ἐκκλησιαστικὸν κανόνα ἡ ὑπὸ τῶν θεοφόρων πατέρων ἐκτεθεῖσα ἐννεακαιδεκαετηρὶς τῆς σελήνης, εἰς ἑαυτὴν διὰ παντὸς ἀνακυκλουμένη καὶ δηλοῦσα ἐν ἑκάστῳ ἔτει ἐν πόστῃ τοῦ μαρτίου ἢ τοῦ ἀπριλίου ἡμέρᾳ εὑρίσκεται ἡ ιδ' τοῦ πρώτου C μηνὸς τῆς σελήνης, ἐν ᾗ τὸ νομικὸν ἐπιτελεῖσθαι προστέτακται πάσχα· ἣν γινώσκων τις καθ' ἕκαστον ἐνιαυτὸν ἐν πόστῃ ἡμέρᾳ τῆς ἑβδομάδος εὑρίσκεται, καὶ τὸν ὅρον ἐπιστάμενος τὸν τεθέντα, ὅτι ἐὰν εὑρεθῇ αὕτη ἐν ἡμέρᾳ κυριακῇ, εἰς τὴν ἐπιοῦσαν κυριακὴν ἑορτάζειν δεῖ τὸ ἅγιον πάσχα, εἰ δὲ ἐν ἄλλῃ οἱᾳδήποτε τῶν ἓξ ἡμερῶν ἡμέρᾳ, εἰς τὴν προσιοῦσαν κυριακήν, σαφῶς καὶ λίαν ῥᾳδίως γινώσκειν δυνήσεται καθ' ἕκαστον ἐνιαυτὸν ἐν πόστῃ τοῦ μαρτίου ἢ τοῦ ἀπριλίου ἑορτάσει τὸ σωτήριον πάσχα ἡ τοῦ θεοῦ ἐκκλησία.

Τινὲς δὲ φιλοτιμότερον φερόμενοι κύκλον πέντε ἐννεακαιδε- D
καετηρίδων ἔταξαν, ὃν προπετῶς ἔφησαν εἰς ἑαυτὸν ἀεὶ ἀνακυ- V 8
κλούμενον οὐ μόνον κατὰ τὰς αὐτὰς ἡμέρας τοῦ ἡλιακοῦ μηνὸς μαρτίου ἢ ἀπριλίου φέρειν τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης, ἀλλὰ καὶ κατὰ τὰς αὐτὰς ἡμέρας τῆς ἑβδομάδος. ὅν τινες τῶν ἁπλουστέρων εὑρηκότες, καὶ τοῦτον ἀληθῆ εἶναι ὑποπτεύσαντες, οὐ μόνον ἐν βίβλοις ἀνεγράψαντο, ἀλλὰ καὶ ἐν τάβλαις ἐν πλείσταις τῶν ἐκκλησιῶν ἀνατεθείκασιν, ὡς ὁρῶντας Ἕλληνάς τε καὶ Ἰουδαίους καὶ τοὺς τῶν αἱρέσεων προστάτας τοῦτον προκεί-

2. ἐννεακαιδεκαετηρίδα V ab manu sec. 12. τοῦ θεοῦ] [ἐκ τοῦ] P. 22. τε om. P.

regulam sufficit a Deiferis Patribus propositus in semet semper recurrens Decemnovennalis Lunae Cyclus, quo indicatur quo anno, ac quoto Martii vel Aprilis die, decima quarta primi mensis Lunae invenitur, qua legale praeceptum est celebrari Pascha: qua quidem cognita, quoto hebdomadis die singulis annis illa occurrat, quivis percipiet, atque adeo si die Dominica illa inveniatur, sequenti Dominica celebrandum esse sanctum Pascha: si vero alio quovis sex dierum die, sequenti Dominica celebrandum esse sanctum Pascha quivis assequi facile poterit, et quoto Martii aut Aprilis die singulis annis salutare Pascha Ecclesia celebrabit.

Quidam porro, nescio qua ducti ambitione, quinque Decemnovennalem Cyclum statuerunt, quem in semet recurrere temere asserebant, cum non solum juxta ipsos mensis Martii et Aprilis Lunares dies ferre decimam quartam primi mensis Lunae, sed etiam juxta ipsos dies hebdomadis dicerent. Quo quidem invento cyclo, ipsum veritati consentaneum esse arbitrati simpliciores quidam, non in libris duntaxat, sed etiam in tabulis descripsere, quas in compluribus Ecclesiis appenderunt: ita ut cum propositum hunc esse adverterent Gentiles et Judaei, ac haereseon

P 10 μενον πλατὺν γέλωτα κατὰ τῆς ἐκκλησίας κινεῖν, καὶ δι' αὐτοῦ ἐπισκώπτειν τὸ μέγα τῆς εὐσεβείας μυστήριον.

Τούτου τοίνυν γεγενημένου τινὲς τῶν τῆς καθολικῆς ἐκκλησίας διεγερθέντες δι' ἀναγκαίων λόγων τὴν τοιαύτην ἀλλόκοτον καὶ ἀπαίδευτον τῶν συνταξάντων τὸν εἰρημένον κύκλον τῶν ἐνε- 5
νήκοντα πέντε ἐτῶν διήλεγξαν γνώμην, ὑπέδειξαν δὲ τὸν ἀληθῆ καὶ τοῖς πράγμασι σύμφωνον κύκλον τὸν τῶν κη' μὲν ἐννεακαιδεκαετηρίδων, ιθ' δὲ ὀκτωκαιεικοσαετηρίδων, αἵπερ συνάγουσιν ἐτῶν ἀριθμὸν φλβ'. οὗτος γὰρ ὁ κύκλος, λέγω δὴ ὁ τῶν φλβ' ἐτῶν, ἀεὶ εἰς ἑαυτὸν ἀνακυκλούμενος δείκνυσιν οὐ μόνον κατὰ τὰς αὐτὰς 10
ἡμέρας τῶν δύο ἡλιακῶν μηνῶν, μαρτίου λέγω καὶ ἀπριλίου, ἐμπίπτουσαν τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης, ἀλλὰ καὶ κα-
B τὰ τὰς αὐτὰς ἡμέρας τῆς ἑβδομάδος καὶ κατὰ τὸ αὐτὸ ἔτος τῆς τεταετηρίδος τοῦ βισέξτου καὶ κατὰ τὸ αὐτὸ ἔτος τῆς ἐννεακαιδεκαετηρίδος, ἀλλὰ δὴ καὶ κατὰ τὸ αὐτὸ ἔτος τῆς ὀκτωκαιεικοσαετηρί- 15
δος. ἀπαρτίζεται γὰρ ὁ προειρημένος κύκλος τῶν φλβ' ἐτῶν καὶ παρὰ τὸν ιθ' καὶ παρὰ τὸν κη' καὶ παρὰ τὸν τέσσαρα καὶ παρὰ τὸν ἑπτὰ μεριζόμενος.

Τούτου γνωσθέντος πολλοὶ κύκλους ἀνέγραψαν ἑορταστικοὺς ἐτῶν φλβ', καταμίξαντες δὲ τῇ ἀληθείᾳ τὸ ψεῦδος σκανδάλου 20
καὶ ταραχῆς ἀφορμὰς τοῖς ἁπλουστέροις παρέσχοντο. οἱ μὲν γὰρ τὰς τεσσαρισκαιδεκαταίας τοῦ πρώτου μηνὸς τῆς σελήνης ἀκινή-

5. ἐννενήκοντα P. 7. τοῖς om. P. *ibid.* ἐννεακαιδ. — ὀκτω om. P. 14. τῆς om. P. 15. ἔτος om. P. 17. τῶν bis P. *ibid.* τὸν τέσσαρα] τὸν δ' P. 20. καὶ κ. P. καταμείξαντες V. 22. τεσσαρεσκαιδεκατέας P.

Principes, largum adversus Ecclesiam risum exc tarint, magno inde Ecclesiae Sacramento ludibrio habito.

Cum haec ita se haberent, quidam ex Ecclesia Catholica necessariis excitati rationibus, ineptam hanc et absurdam eorum qui memoratum Cyclum XCV. annorum, confecerant arguere sententiam, probavereque, istum * Vigintioctennalem Cyclum, qui annos colligit DXXXII. verum esse, rebusque consonum. Cyclus enim ille (is, inquam, DXXXII. annorum) in seipsum semper recurrens, non solum indicat juxta hos dies binorum mensium solarium, Martii, inquam, et Aprilis, quando incidat XIV. mensis Lunae, sed et juxta dies eosdem hebdomadis, et juxta eundem annum quadriennii Bissexti, et juxta eundem Decemnovennalis, atque adeo ipsum Vigintioctennalis Cycli annum. Absolvitur enim praedictus Cyclus annorum DXXXII. et in XIX. et in XXVIII. et in IV. et in VII. partitus.

Hoc cognito, Paschales Cyclos annorum DXXXII. multi descripsere, mixtoque cum veritate mendacio, scandali ac turbae occasiones praebuere simplicioribus. Quippe qui primi mensis Lunae quartas decimas immobiles esse non adverterunt, juxta dies in Decemnovennali Cyclo a Deife-

τους οὐκ ἐφύλαξαν κατὰ τὰς ἡμέρας τὰς ἀναγεγραμμένας ἐν τῇ C
ἐκτεθείσῃ ἐννεακαιδεκαετηρίδι ὑπὸ τῶν θεοφόρων πατέρων, ἀλλ'
ἰδίας ἐννεακαιδεκαετηρίδας συνέταξαν ἐναντίας τῇ ἐκτεθείσῃ ὑπὸ
τῶν θεοπνεύστων τῆς ἐκκλησίας διδασκάλων, καὶ οὕτω κύκλους
φλβ' ἐτῶν συντεθείκασιν. οἷς προσέχοντές τινες καὶ ἀγνοοῦντες
τὸν ἐκκλησιαστικὸν κανόνα περὶ τοῦ σωτηρίου πάσχα μάτην πολ-
λάκις ταράττονται, οἰόμενοι πεπλανημένως ἑορτάζεσθαι τὸ ζωο-
ποιὸν πάσχα ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ.

Ἕτεροι δὲ τὰς μὲν τεσσαρισκαιδεκαταίας τοῦ πρώτου μηνὸς
τῆς σελήνης ἀκινήτους ἐφύλαξαν κατὰ τὰς ἀναγεγραμμένας ἡμέ-
ρας τῶν δύο μηνῶν μαρτίου καὶ ἀπριλίου ἐν τῇ ἐκτεθείσῃ ἐννεα-
καιδεκαετηρίδι ὑπὸ τῶν πανευφήμων τῆς ἐκκλησίας διδασκάλων, D
καὶ οὕτω τὸν κύκλον τῶν φλβ' ἐτῶν ἀνέταξαν. καὶ περὶ μὲν τὴν
ἁγίαν τοῦ πάσχα ἑορτὴν σύμφωνοι ηὑρέθησαν τῷ ἐκκλησιαστικῷ
κανόνι, καθ' ὃν ἐπετέλεσεν καὶ ἐπιτελεῖ καὶ ἐπιτελέσει τὸ ζωο-
ποιὸν πάσχα ἡ τοῦ θεοῦ ἐκκλησία· χρόνους δὲ παρέθεντο ἐν τῷ
κύκλῳ τῶν φλβ' ἐτῶν τούς τε ἀπὸ κτίσεως κόσμου τούς τε ἀπὸ
τῆς ἐνανθρωπήσεως τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ τούς τε ἀπὸ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως ἀσυμφώ-
νους τῇ τε θεοπνεύστῳ γραφῇ καὶ τῷ ἐκκλησιαστικῷ κανόνι καὶ τῇ
τῶν πραγμάτων φύσει· ᾧ τινες προσέχοντες περὶ μὲν τὴν ἁγίαν P 11
τοῦ πάσχα ἑορτὴν οὐ διασφάλλονται, ἀλλὰ συμφωνοῦσι τῇ κα- V 9
θολικῇ ἐκκλησίᾳ, περὶ δὲ τὰς ἄλλας ἑορτὰς τὰς τελουμένας ἐν

9. τεσσαρεσκ. P. 13. κύκλῳ V. *ibid.* μὲν om. P. 14. εὑρέθησαν P.

ris Patribus proposito descriptos, sed proprios Decemnovennales Cyclos confecere illi contrarios qui ab inspiratis a Deo Doctoribus sunt expositi; sicque Cyclos DXXXII. annorum composuerunt. Quibus quidam fidem adhibentes, regulam ignorantes Ecclesiasticam, frustra de salutari Paschate turbas saepius excitarunt, cum in sancta Dei Ecclesia vivificum Pascha erronee celebrari sibi in animum inducerent.

Alii vero quartas decimas primi mensis Lunae immobiles observarunt juxta descriptos duorum mensium dies, Martii et Aprilis, in Decemnovennali Cyclo ab praeclaris Ecclesiae Doctoribus exposito, atque sic in semet redeuntem DXXXII. Cyclum constituerunt. Et sane circa Paschalem sanctam festivitatem sanctae regulae consentire sunt deprehensi, secundum quem vivificum Pascha celebravit, celebrat, et celebrabit Dei Ecclesia. In Cyclo porro DXXXII. annorum, a mundo condito annos praeterea apposuere, et ab Incarnatione magni Dei et Servatoris nostri Jesu Christi, et ab ejus a mortuis resurrectione, qui a Deo inspiratae scripturae, et Ecclesiasticae regulae, ac rerum naturae minime consonant, *cui* dum quidam adhaerent, quoad Sanctum Paschatis festum non falluntur quidem, immo Catholicae Ecclesiae consentiunt, verum quoad alias

αὐτῇ σφόδρα πεπλάνηνται, οἷον Χριστοῦ γενέθλιον, ὅπερ ἀπλανῶς λίαν ἑορτάζει ἡ τοῦ θεοῦ ἁγία ἐκκλησία τῇ εἰκάδι πέμπτῃ τοῦ κατὰ Ῥωμαίους δεκεμβρίου μηνός, ἔτι δὲ καὶ τὸν εὐαγγελισμὸν τῆς ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ὃν καὶ αὐτὸν ἀνεπιλήπτως ἐπιτελεῖ ἡ τοῦ θεοῦ ἐκκλησία τῇ εἰκάδι πέμπτῃ τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, ἔτι μὴν καὶ τὸ γενέθλιον τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτι-
B στοῦ, ὅπερ ἐπιτελεῖ ὀρθῶς ἡ τοῦ θεοῦ ἐκκλησία τῇ εἰκάδι τετάρτῃ τοῦ κατὰ Ῥωμαίους ἰουνίου μηνός, πρὸς τούτοις δὲ καὶ τὴν ἁγίαν ἀπάντησιν τοῦ σωτῆρος ἡμῶν θεοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ, ὅτε ὑπεδέξατο αὐτὸν ἐν ταῖς ἀγκάλαις ὁ δίκαιος Συμεών, ἣν ἑορτάζει ἀσφαλῶς ἡ τοῦ θεοῦ ἐκκλησία τῇ δευτέρᾳ τοῦ κατὰ Ῥωμαίους φεβρουαρίου μηνός. τοῖς οὖν ἀναγραψαμένοις τὸν οὕτω κατασκευασθέντα κύκλον τῶν φλβ' ἐτῶν κατακολουθοῦντές τινες τῶν κουφοτέρων, καὶ ἀληθεύειν τούτους οἰόμενοι, λίαν τολ-
C μηρῶς καὶ προπετῶς καταμέμφονται τὰς ἁπανταχόσε ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐν ταῖς εἰρημέναις ἡμέραις τὰς μνημονευθείσας ἐπιτελοῦντας ἑορτάς.

Ἐπεὶ οὖν οὐχ ηὕρομεν ὑπό τινος ἀναγραφέντα ἑορταστικὸν κύκλον τῶν φλβ' ἐτῶν διὰ πάντων συμφωνοῦντα τῇ θεοπνεύστῳ γραφῇ καὶ ταῖς ἀνεπιλήπτως τελουμέναις ἑορταῖς ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἀλλ' ἔγνωμεν ἐν μιᾷ ἢ καὶ ἐν πλείοσιν ἢ καὶ ἐν πάσαις ταῖς ἑορταῖς τῆς ὑγίας τοῦ θεοῦ

4. ἡμῶν om. P. 13. Φευρουαρίου PV. 18. ἐπιτελοῦντας] Conf. περιττευόντων ὡρῶν in circulo p. 13.

festivitates quae in ea celebrantur plurimum aberrant: veluti in Christi Nativitate, quam recte prorsus celebrat Sancta Dei Ecclesia XXV. die mensis secundum Romanos Decembris. Ita perinde in Annuntiatione sanctae gloriosae Dominae nostrae Dei Genitricis et semper Virginis Mariae, quam et ipsam inculpate celebrat Dei Ecclesia XXV. die mensis secundum Romanos Martii: praeterea in Nativitate Sancti Joannis Praecursoris et Baptistae, quam recte Dei Ecclesia XXIV. mensis juxta Romanos Junii celebrat. Praeterea in sancto Servatoris nostri Dei et Domini Jesu Christi Occursu, cum in ulnis eum excepit justus Simeon, quem recte celebrat Dei Ecclesia II. mensis juxta Romanos Februarii. Ab hisce igitur descriptum ac sic compactum DXXXII. annorum Cyclum quidam ex simplicioribus secuti, ac veritati consonum illum esse arbitrati, audacter nimis ac temere sanctas ubique Ecclesias, a quibus, praedictis diebus memoratae peraguntur festivitates, reprehendunt.

Quandoquidem igitur nullum hactenus invenimus a quopiam descriptum DXXXII. annorum Paschalem Cyclum, qui a Deo inspiratae scripturae in omnibus concinat, ac festis quae in sancta Dei Catholica et Apostolica Ecclesia inculpate celebrantur, immo in uno, vel in pluribus, vel etiam in omnibus festis, sanctae Dei Ecclesiae minime esse consentaneos,

ἐκκλησίας ἀσυμφώνους καὶ ἐναντίους τυγχάνοντας καὶ ταραχὰς καὶ σκάνδαλα τοῖς τῆς εὐσεβείας τροφίμοις ἐμποιοῦντας τοὺς ὑπό τινων ἀναγραφέντας ἑορταστικοὺς κύκλους, ἀναγκαῖον ἡγησάμεθα ἀναγράψαι κύκλον ἑορταστικὸν ἐτῶν φλβ' διὰ πάντων συνάδοντα ταῖς θεοπνεύστοις γραφαῖς καὶ ταῖς ἁπλανῶς μὲν παραδοθείσαις ὑπὸ τῶν θεοφόρων πατέρων, ὀρθῶς δὲ τελουμέναις ἑορταῖς ἐν ταῖς ἁπανταχόσε ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἐντευξομένων ὠφέλειαν καὶ εἰρήνην καὶ ὁμόνοιαν τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, φωτίζοντος ἡμᾶς τῷ φωτὶ τῆς γνώσεως καὶ παρέχοντος ἡμῖν λόγον ἀληθείας ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν πρὸς οἰκοδομὴν τῆς ἁγίας ἐκκλησίας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον δίδοται πᾶσι τοῖς πιστῶς προσκυνοῦσιν αὐτόν. D

Προτάξομεν δὲ τοῦ ἑορταστικοῦ κύκλου τῶν φλβ' ἐτῶν τὴν κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδα τοῦ ἡλίου, ἥτις συναρξαμένη τῇ γενέσει τῶν φωστήρων, εἰς ἑαυτὴν διὰ παντὸς ἀψακυκλουμένη δηλοῖ τὰς ἐν ἑκάστῳ ἔτει ἐπακτὰς τοῦ ἡλίου, ἀποκαταστατικὴ τυγχάνουσα ἡμέρας μηνὸς ἡλιακοῦ καὶ ἡμέρας ἑβδομάδος καὶ ἔτους τετραετηρίδος βισέξτου. ἔτι δὲ καὶ τὴν ἔκθεσιν τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης δηλώσομεν, ἥτις καὶ αὐτὴ συναρξαμένη τῇ γενέσει τῶν φωστήρων, εἰς ἑαυτὴν διὰ παντὸς ἀνακυκλουμένη δηλοῖ ἐν ἑκάστῳ ἔτει τὴν κατὰ τὸν ἐκκλησια- P 12

10. ἀληθῆ P.

interdum etiam contrarios advertimus, Paschalesque a quibusdam compactos Cyclos tumultuum ac scandalorum ansam praebere pietatis alumnis, operae pretium duximus Cyclum describere DXXXII. annorum a Deo inspiratis scripturis in omnibus consentaneum, et festivitatibus quae recte a Deiferis Patribus traditae sunt, et in sanctis Dei Ecclesiis recte ubique celebrantur, tum ad nostram ipsorum, tum ad eorum qui haecce legent utilitatem ac pacem, et ad sanctarum praeterea Dei Ecclesiarum concordiam: illuminante nos lumine cognitionis, et verum nobis praebente sermonem in apertione oris nostri ad aedificationem sanctae Ecclesiae magno Deo et Servatore nostro Jesu Christo, a quo omne donum bonum, et omne munus perfectum datur iis omnibus qui cum fide eum adorant.

Praefigemus porro annorum DXXXII. Paschali cyclo naturalem solis Vigintioctennalem Cyclum, qui sumpto una cum luminarium ortu exordio in semetipsum semper reflectitur, et singulis annis Epactas Solis indicat, cum apocatastatice sit diei mensis solaris, ac diei hebdomadis, et anni quadriennii Bisexti. Praeterea proponemus naturalem Decemnovennalem Cyclum Lunae, qui et ipse una cum ortu luminarium in semet semper recurrens, singulis annis decimam quartam primi mensis Lunae, juxta ecclesiasticam regulam, qua legale festum celebrari praeceptum est, indi-

στικὸν κανόνα τεσσαρισκαιδεκάτην τοῦ πρώτου μηνὸς τῆς σελήνης, ἐν ᾗ τὸ νομικὸν ἐπιτελεῖσθαι προστέτακται πάσχα, καὶ πόσαι εἰσὶν ἐν ἑκάστῳ ἔτει ἐπακταὶ τῆς σελήνης, ἥτις ἐννεακαιδεκαετηρίδος ἀποκαταστατικὴ τυγχάνει ἡμέρας μηνὸς ἡλιακοῦ καὶ ἡμέρας σελήνης μηνός. ἐπιδρομήν τε τῶν χρόνων τῶν ἀπὸ ἀρχῆς κτίσεως κόσμου ποιησόμεθα. μέθοδόν τε παραδώσομεν τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες, δι' ἧς γινώσκειν δυνήσεταί τις καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν πόστον ἔτος ἐστὶν τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου. μέθοδόν τε ἑτέραν δηλώσομεν τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες, δι' ἧς δυνήσεταί τις γινώσκειν καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν πόσαι εἰσὶν αἱ τοῦ ἡλίου ἐπακταί. μέθοδόν τε αὖθις ἄλλην γνωρίσομεν, δι' ἧς δυνήσεταί τις γινώσκειν ἐν πόστῃ ἡμέρᾳ τῆς ἑβδομάδος εὑρίσκεται ἑκάστη ἐπιζητουμένη οἱουδήποτε μηνὸς ἡμέρα. πάλιν ἄλλην μέθοδον γράψομεν τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες, δι' ἧς δυνήσεταί τις γινώσκειν καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν πόσαι εἰσὶν αἱ τῆς σελήνης ἐπακταί. ἔτι μέθοδον ἄλλην δηλώσομεν, δι' ἧς δυνήσεταί τις γινώσκειν καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν ἐν πόστῃ ἡμέρᾳ τοῦ μαρτίου ἢ τοῦ ἀπριλίου εὑρίσκεται ἡ κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης. τούτων γὰρ πάντων προδηλουμένων, οὕτω σαφῶς ἀποδείξομεν ἐν πόστῳ μὲν ἔτει τοῦ κόσμου, ἐν πόστῳ δὲ ἔτει τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου καὶ ἐν πόστῳ ἔτει τῆς ἐννεακαιδεκαετηρίδος τῆς σελήνης τὸ πρῶτον ἐν Αἰγύπτῳ ἐπετελέσθη πάσχα, ἐν πόστῳ δὲ ἔτει τοῦ κόσμου καὶ τῆς ὀκτωκαιει-

1. τεσσαρεσκ. P. 6. τε] δὲ P. 7. 10. 13. 16. δυνήσηται PV. 22. ἐν πόστῳ δὲ ἔτει — 25. τοῦ κόσμου om. P.

cat: quotaeque singulis annis sunt Lunae Epactae, quaeve Decemnovennalis apocatastatice est diei mensis solaris, et diei mensis lunaris. Annorum etiam a mundi conditi exordio decursum exequemur: methodum vero ac rationem trademus, sumptis annis mundi, qua nosse quivis poterit, quovis quaesito anno, quotus est annus Decemnovennalis Cycli solis. Methodum praeterea alteram indicabimus, sumptis annis mundi, qua nosse quivis poterit in quaesitis singulis annis, quotae sunt solis Epactae. Methodum rursum aliam docebimus, qua nosse quivis poterit, quoto hebdomadis die invenitur unusquisque quaesiti cujusvis mensis dies. Rursum aliam methodum describemus, sumptis mundi annis, qua quivis nosse poterit singulis quaesitis annis quot sunt Lunae Epactae. Methodum adhuc aliam indicabimus, qua quivis nosse poterit singulis quaesitis annis quoto Martii aut Aprilis die invenitur juxta regulam Ecclesiasticam decima quarta primi mensis Lunae. Hisce praedictis omnibus praeindica-

Ad pag. 25.

Y 11 *Κύκλος*

στικὸν κανόνα τεσσαρισκαιδεκάτην τοῦ πρώτου μηνὸς τῆς σελήνης, ἐν ᾗ τὸ νομικὸν ἐπιτελεῖσθαι προστέτακται πάσχα, καὶ πόσαι εἰσὶν ἐν ἑκάστῳ ἔτει ἐπακταὶ τῆς σελήνης, ἥτις ἐννεακαιδεκαετηρίδος ἀποκαταστατικὴ τυγχάνει ἡμέρας μηνὸς ἡλιακοῦ καὶ ἡμέρας σελήνης μηνός. ἐπιδρομήν τε τῶν χρόνων τῶν ἀπὸ ἀρχῆς κτίσεως κόσμου ποιησόμεθα. μέθοδόν τε παραδώσομεν τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες, δι' ἧς γινώσκειν δυνήσεταί τις καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν πόστον ἔτος ἐστὶν τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου. μέθοδόν τε ἑτέραν δηλώσομεν τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες, δι' ἧς δυνήσεταί τις γινώσκειν καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν πόσαι εἰσὶν αἱ τοῦ ἡλίου ἐπακταί. μέθοδόν τε αὖθις ἄλλην γνωρίσομεν, δι' ἧς δυνήσεταί τις γινώσκειν ἐν πόστῃ ἡμέρᾳ τῆς ἑβδομάδος εὑρίσκεται ἑκάστη ἐπιζητουμένη οἱουδήποτε μηνὸς ἡμέρα. πάλιν ἄλλην μέθοδον γράψομεν τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες, δι' ἧς δυνήσεταί τις γινώσκειν καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν πόσαι εἰσὶν αἱ τῆς σελήνης ἐπακταί. ἔτι μέθοδον ἄλλην δηλώσομεν, δι' ἧς δυνήσεταί τις γινώσκειν καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν ἐν πόστῃ ἡμέρᾳ τοῦ μαρτίου ἢ τοῦ ἀπριλίου εὑρίσκεται ἡ κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης. τούτων γὰρ πάντων προδηλουμένων, οὕτω σαφῶς ἀποδείξομεν ἐν πόστῳ μὲν ἔτει τοῦ κόσμου, ἐν πόστῳ δὲ ἔτει τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου καὶ ἐν πόστῳ ἔτει τῆς ἐννεακαιδεκαετηρίδος τῆς σελήνης τὸ πρῶτον ἐν Αἰγύπτῳ ἐπετελέσθη πάσχα, ἐν πόστῳ δὲ ἔτει τοῦ κόσμου καὶ τῆς ὀκτωκαιει-

1. τεσσαρεσκ. P. 6. τε] δὲ P. 7. 10. 13. 16. δυνήσηται PV. 22. ἐν πόστῳ δὲ ἔτει — 25. τοῦ κόσμου om. P.

cat: quotaeque singulis annis sunt Lunae Epactae, quaeve Decemnovennalis apocatastatice est diei mensis solaris, et diei mensis lunaris. Annorum etiam a mundi conditi exordio decursum exequemur: methodum vero ac rationem trademus, sumptis annis mundi, qua nosse quivis poterit, quovis quaesito anno, quotus est annus Decemnovennalis Cycli solis. Methodum praeterea alteram indicabimus, sumptis annis mundi, qua nosse quivis poterit in quaesitis singulis annis, quotae sunt solis Epactae. Methodum rursum aliam docebimus, qua nosse quivis poterit, quoto hebdomadis die invenitur unusquisque quaesiti cujusvis mensis dies. Rursum aliam methodum describemus, sumptis mundi annis, qua quivis nosse poterit singulis quaesitis annis quot sunt Lunae Epactae. Methodum adhuc aliam indicabimus, qua quivis nosse poterit singulis quaesitis annis quoto Martii aut Aprilis die invenitur juxta regulam Ecclesiasticam decima quarta primi mensis Lunae. Hisce praedictis omnibus praeindica-

Ad pag. 25.

Κύκλος τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου εἰς ἑαυτὸ

τὰς ἐν ἑκάστῳ ἔτει ἐπακτὰς



κοσαετηρίδος καὶ τῆς ἐννεακαιδεκαετηρίδος γέγονεν ὁ εὐαγγελισμὸς ὁ πρὸς τὸν ἅγιον Ζαχαρίαν περὶ τῆς συλλήψεως τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, ἔτι μὴν καὶ ὁ εὐαγγελισμὸς ὁ πρὸς D
τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον καὶ θεοτόκον Μαρίαν γενόμενος
καὶ ἡ κατὰ σάρκα σύλληψις τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀσπόρως καὶ ἀφθάρτως γεγένηται· ἐν πόστῳ τε ἔτει τοῦ κόσμου καὶ τῆς ὀκτωκαιεικοσαετηρίδος ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην ἐλθὼν ἐβαπτίσθη ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· ἐν πόστῳ τε ἔτει τοῦ κόσμου καὶ τῆς ὀκτωκαιεικοσαετηρίδος καὶ τῆς ἐννεακαιδεκαετηρίδος ἐσταυρώθη ὑπὲρ ἡμῶν καὶ σκυλεύσας τὸν ᾅδην ἀνέστη ἐκ νεκρῶν. καὶ οὕτω λοιπὸν ἀρχόμενοι τοῦ ἑορταστικοῦ κύκλου ἀπὸ τοῦ ἔτους ἐκείνου ἐν ᾧ τὸν ζωοποιὸν θάνατον ὑπομείνας σαρκὶ ὑπὲρ ἡμῶν Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, παραστή- P 13
σομεν ἐν πόστῳ τε ἔτει τοῦ κόσμου ἐπληρώθη ὁ πρῶτος ἑορτασικὸς κύκλος τῶν φλβ' ἐτῶν τοῦ ἐκκλησιαστικοῦ πάσχα καὶ πόθεν ἄρχεται ὁ δεύτερος κύκλος τοῦ ἁγίου καὶ ζωοποιοῦ πάσχα, προστιθέντες τοὺς χρόνους τοὺς ἀπὸ κτίσεως κόσμου φανέντας μετὰ πλείστης ὅσης τῆς ἐξετάσεως ἀληθείας ἔχεσθαι. ταῦτα γὰρ πάντα γινώσκων τις εὑρήσει ὡς ὀρθῶς καὶ ἀνεπιλήπτως τὰς μνημονευθείσας μικρῷ πρόσθεν ἑορτὰς ἐπιτελεῖ ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

7. τε om. P. 9. ὁ om. P. *ib.* τε om. P. 10. ἀνεσταυρώθη P. 11. ἐκ τῶν νεκρῶν P. 15. πληρωθῇ P. 19. ἔχεται P. 22. Circulum qui sequebatur in tabula adiecta posuimus.

tis, sic perspicue demonstrabimus quoto mundi anno Vigintioctennalis Cycli et Decemnovennalis fuit Annuntiatio Sancto Zachariae de Praecursoris et Baptistae Joannis conceptione, ut et Annuntiatio Sanctae gloriosae semper Virgini et Dei genitrici Mariae facta, ut et Magni Dei et Servatoris nostri Jesu Christi secundum carnem Conceptio, quae sine semine et intaminate facta est. Deinde quoto mundi et Vigintioctennalis Cycli anno in Jordanem ad Joannem veniens baptizatus est Dominus noster Jesus Christus: quoto etiam mundi, et Vigintioctennalis, et Decemnovennalis Cycli anno crucifixus est pro nobis, et spoliato inferno ex mortuis resurrexit. Atque sic deinceps sumpto exordio Paschalis cycli, ab illo anno quo vivificam mortem tulit carne pro nobis Christus verus Deus noster, tertia die ex mortuis resurrexit, quo mundi anno completus est primus Paschalis Cyclus annorum DXXXII. Ecclesiastici Paschatis, et unde initium sumit secundus Cyclus sancti et vivifici Paschatis, additis qui a mundi conditu videntur effluxisse annis, cum quantalibet veritatis inquisitione demonstrabimus. Haec enim omnia ubi quivis intellexerit, tum ut supra memoratas festivitates recte ac inculpate celebret sancta Dei Catholica et Apostolica Ecclesia statim percipiet.

P 14
V 12 Ἰστέον ὡς ἐν τῇ γενέσει τῶν φωστήρων, ἤγουν ἐν ἀρχῇ τῆς τοῦ κόσμου συστάσεως, τὸ πρῶτον ἔτος τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου ἐπακτὰς οὐκ ἔχει. αἱ γὰρ ἐπακταὶ μετὰ συμπλήρωσιν τῶν νβ' ἑβδομάδων ἑκάστου ἡγουμένου ἐνιαυτοῦ ἐκ τῆς ὑπολειπομένης τοῦ ἡλιακοῦ ἐνιαυτοῦ μιᾶς πρὸς τῷ τετάρτῳ ἡμέρας λαμβάνονται, καὶ ἑκάστῳ ἑπομένῳ ἐνιαυτῷ ἐπιφέρονται. πῶς οὖν ἐν τῇ ἀρχῇ τῆς τοῦ κόσμου γενέσεως δυνατόν ἐστιν ἐπακτὰς λαβεῖν; καταγέλαστον γὰρ τοῦτο· λέγω δὴ τὸ λαβεῖν ἐν τῇ ἀρχῇ τῆς τοῦ κόσμου συστάσεως ἐπακτὰς ἢ ἐπακτὴν ἢ λεπτὰ ἐπακτῶν. μετὰ δὲ τὸ πληρωθῆναι τὴν πρώτην ὀκτωκαιεικοσαετηρίδα τοῦ ἡλίου τὴν συναρξαμένην τῇ γενέσει τοῦ κόσμου τὸ πρῶτον ἔτος τῆς δευτέρας ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου ἐπακτὰς ἔχει ζ'· εἰ δὲ ὑπερβῶσι τὸν ζ', οὐκέτι λοιπὸν η' ἢ θ' λέγονται, ἀλλ' ἀφαιρουμένων τῶν ζ' μία ἢ δύο καὶ πάλιν ἕως τῶν ζ'. τὸ δὲ β' καὶ γ' ἔτος τῆς ὀκτωκαιεικοσαετηρίδος καὶ τὰ λοιπὰ αὐτῆς ἔτη ὡσαύτως ἔχει καὶ ἐν τῇ πρώτῃ ὀκτωκαιεικοσαετηρίδι καὶ ἐν τῇ δευτέρᾳ καὶ ἐν πάσαις ὁμοίως ταῖς λοιπαῖς.

Ἐνταῦθα δὲ σημειωτέον καὶ τοῦτο, ὅτι ἕκαστον ἔτος τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου τὴν ἀρχὴν ἔχει τὴν κα' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, ἐν ᾗ τὴν ἐαρινὴν ἰσημερίαν

2. ὀκτωκαιεικοσαετηρίδος] η' καὶ κ' ετηρίδος PV. Sic et 11. 12. 15. 17. 20. 5. ἐκ τῆς — ἐνιαυτοῦ om. P. 8. ἐστιν] μὲν P. 11. συναρξαμένην] οὖν ἀρξαμένην PV. 13. ζ'] ξ' P. ib. τὸν ζ'] τὸ νξ P. 14. ἢ θ'] ἡ θ' PV. ib. λήγονται P, λίγονται V. 14. 15. ζ'] ξ' P. 16. καὶ τὰ] κατὰ P.

Notandum porro in ortu luminarium, seu in initio mundi compositionis, primum naturalis Cycli Vigintioctennalis Solis annum Epactas non habere: Epactae quippe post completas LII. hebdomades uniuscujusque primi anni, ex die cum quadrante sumuntur, et singulis sequentibus annis inferuntur. Qui ergo fieri potest, ut mundi conditi initio potuerint Epactae occurrere? Istud enim perridiculum est, ut, inquam, initio mundi compositionis Epactae, vel Epacta, atque adeo occurrant Epactarum minuta. Postquam autem primus Vigintioctennalis Cyclus solis completus fuerit, ille scilicet qui in mundi ortu incoeperit, primus secundi Vigintioctennalis Cycli solis annus Epactas habet LX. Si vero excedant LX. . . . . sed ablatis a LX. una vel duabus, et rursum usque ad LX. Secundus vero ac tertius Vigintioctennalis Cycli annus, prout reliqui illius anni, similiter Epactas habent, quemadmodum habentur in primo Vigintioctennali Cyclo, et in secundo, et pari modo in reliquis omnibus.

Istud etiam hoc loco observandum, unumquemque naturalis Vigintioctennalis Cycli solis annum habere initium XXI. die mensis juxta Romanos Martii, quo vernum fieri aequinoctium per Deiferos Patres docuit

Ad pag. 27.

P 15
V 13

P 14
V 12 Ἰστέον ὡς ἐν τῇ γενέσει τῶν φωστήρων, ἤγουν ἐν ἀρχῇ τῆς τοῦ κόσμου συστάσεως, τὸ πρῶτον ἔτος τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου ἐπακτὰς οὐκ ἔχει. αἱ γὰρ ἐπακταὶ μετὰ συμπλήρωσιν τῶν νβ' ἑβδομάδων ἑκάστου ἡγουμένου ἐνιαυτοῦ ἐκ τῆς ὑπολειπομένης τοῦ ἡλιακοῦ ἐνιαυτοῦ μιᾶς πρὸς τῷ τετάρτῳ ἡμέρας λαμβάνονται, καὶ ἑκάστῳ ἑπομένῳ ἐνιαυτῷ ἐπιφέρονται. πῶς οὖν ἐν τῇ ἀρχῇ τῆς τοῦ κόσμου γενέσεως δυνατόν ἐστιν ἐπακτὰς λαβεῖν; καταγέλαστον γὰρ τοῦτο· λέγω δὴ τὸ λαβεῖν ἐν τῇ ἀρχῇ τῆς τοῦ κόσμου συστάσεως ἐπακτὰς ἢ ἐπακτὴν ἢ λεπτὰ ἐπακτῶν. μετὰ δὲ τὸ πληρωθῆναι τὴν πρώτην ὀκτωκαιεικοσαετηρίδα τοῦ ἡλίου τὴν συναρξαμένην τῇ γενέσει τοῦ κόσμου τὸ πρῶτον ἔτος τῆς δευτέρας ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου ἐπακτὰς ἔχει ζ'· εἰ δὲ ὑπερβῶσι τὸν ζ', οὐκέτι λοιπὸν η' ἢ θ' λέγονται, ἀλλ' ἀφαιρουμένων τῶν ζ' μία ἢ δύο καὶ πάλιν ἕως τῶν ζ'. τὸ δὲ β' καὶ γ' ἔτος τῆς ὀκτωκαιεικοσαετηρίδος καὶ τὰ λοιπὰ αὐτῆς ἔτη ὡσαύτως ἔχει καὶ ἐν τῇ πρώτῃ ὀκτωκαιεικοσαετηρίδι καὶ ἐν τῇ δευτέρᾳ καὶ ἐν πάσαις ὁμοίως ταῖς λοιπαῖς.

Ἐνταῦθα δὲ σημειωτέον καὶ τοῦτο, ὅτι ἕκαστον ἔτος τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου τὴν ἀρχὴν ἔχει τὴν κα' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, ἐν ᾗ τὴν ἐαρινὴν ἰσημερίαν

2. ὀκτωκαιεικοσαετηρίδος] η' καὶ κ' ετηρίδος PV. Sic et 11. 12. 15. 17. 20. 5. ἐκ τῆς — ἐνιαυτοῦ om. P. 8. ἐστιν] μὲν P. 11. συναρξαμένην] οὖν ἀρξαμένην PV. 13. ζ'] ξ' P. *ib.* τὸν ζ'] τὸ νξ P. 14. ἢ θ'] ἡ θ' PV. *ib.* λήγονται P, λίγονται V. 14. 15. ζ'] ξ' P. 16. καὶ τὰ] κατὰ P.

Notandum porro in ortu luminarium, seu in initio mundi compositionis, primum naturalis Cycli Vigintioctennalis Solis annum Epactas non habere: Epactae quippe post completas LII. hebdomades uniuscujusque primi anni, ex die cum quadrante sumuntur, et singulis sequentibus annis inferuntur. Qui ergo fieri potest, ut mundi conditi initio potuerint Epactae occurrere? Istud enim perridiculum est, ut, inquam, initio mundi compositionis Epactae, vel Epacta, atque adeo occurrant Epactarum minuta. Postquam autem primus Vigintioctennalis Cyclus solis completus fuerit, ille scilicet qui in mundi ortu incoeperit, primus secundi Vigintioctennalis Cycli solis annus Epactas habet LX. Si vero excedant LX. . . . . sed ablatis a LX. una vel duabus, et rursum usque ad LX. Secundus vero ac tertius Vigintioctennalis Cycli annus, prout reliqui illius anni, similiter Epactas habent, quemadmodum habentur in primo Vigintioctennali Cyclo, et in secundo, et pari modo in reliquis omnibus.

Istud etiam hoc loco observandum, unumquemque naturalis Vigintioctennalis Cycli solis annum habere initium XXI. die mensis juxta Romanos Martii, quo vernum fieri aequinoctium per Deiferos Patres docuit

15
13



Τὰ μὲν ἔξωθεν
τοῦ τροχοῦ δηλοῦσιν
τὸ πόσοι κύκλοι εἰσί
R 142 *κς'. Πρῶτον ἐζήλωσαν αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ.*

2. ἑκκαιδεκάτῳ ἔτει] ι̅ς̅ καὶ δεκάτῳ ἕτη V, ἔτει ἕκτῳ καὶ δεκάτῳ P.

XIII. XIV. XV. XVI.

Anni a m. c. Hoc anno XVI. Levi, et XCIX. aetatis suae, Jacob ascendit ex Mesopotamia.

XVII.

Hoc anno Levi, et C. Jacob, annum agebat Isaac CLX.

XVIII.

Hoc anno XVIII. et CI. aetatis suae Jacob, prophetavit, et dixit: *Juda, te laudabunt fratres tui. Manus tuae super tergum inimicorum tuorum. Adorabunt te filii patris tui. Catulus leonis Juda.* Et caetera quae in prophetia supra posita habentur.

XIX. XX. XXI. XXII.

CXC. annus Repromissionis.

XXIII. Hoc anno XXIII. Levi, et CVI. Jacob, quae Dinam spectant peracta sunt: et Benjamin natus est.

XXIV. XXV.

Hoc anno XXV. Levi, et CVIII. Jacob, Joseph venditur a fratribus, cum annum ageret XVII.

3601. Sequuntur deinde X. tentationes Joseph.

XXVI. tum primum inviderunt ei fratres ejus.

κζ'. Εἶτα κατηγόρησαν αὐτοῦ.

κη'. Εἶτα ἐλογίσαντο αὐτὸν ἀποκτεῖναι. εἶτα ἐνέβαλον αὐτὸν εἰς τὸν λάκκον.

κθ'. Εἶτα πιπράσκεται τοῖς Ἰσμαηλίταις. εἶτα ἐπράθη ἐν Αἰγύπτῳ ὑπὸ τῶν Ἰσμαηλιτῶν τῷ Πετεφρῇ.

λ'. Εἶτα ἤρξατο ἡ κυρία αὐτοῦ ἀπατᾶν αὐτὸν καὶ γυμνοῦσθαι ἔμπροσθεν αὐτοῦ καὶ παρακαλεῖν αὐτόν. P 61

λα'. Εἶτα μόνον αὐτὸν εὑροῦσα, καὶ ἀποκλείσασα πάσας τὰς θύρας, ἐπανέστη αὐτῷ γυμνὴ καὶ ἐβιάζετο αὐτόν.

λβ'. Εἶτα ἀπορήσασα αὐτοῦ κατηγόρησεν αὐτοῦ πρὸς τὸν κύριον αὐτοῦ. εἶτα ἐβλήθη ἐν τῇ εἱρκτῇ.

σ' ἔτος τῆς ἐπαγγελίας. V 50

λγ', λδ', λε', λς', λζ', λη'.

Τούτῳ τῷ λη' ἔτει τοῦ Λευὶ Ἰωσὴφ γενόμενος ἐτῶν λ' λίει τοῖς εὐνούχοις Φαραὼ ἐν τῇ εἱρκτῇ τῷ καιρῷ τοῦ δεκάτου πειρασμοῦ τοὺς ὀνείρους. B

Ἕως ὧδε τοῦ Ἰακὼβ εἰσιν ἔτη ρκα'.

λθ'.

Τούτῳ τῷ ἔτει τοῖ Λευὶ καὶ ρκβ' ἔτει τοῦ Ἰακὼβ γε-

3. τὸν om. P. 5. Πεοτεφρῇ P. 14. ἔτει λη' P.

XXVII. dein illum accusarunt.

XXVIII. tum cogitarunt quomodo eum interficerent. Deinde illum in lacum demiserunt.

XXIX. postea venditus est Ismaelitis. Deinde venditus est Peotefre in Aegypto ab Ismaelitis.

XXX. deinde illius Domina coepit eum circumvenire, et coram illo corpus nudare, illumque provocare (ad stuprum).

XXXI. postea solum illum inveniens, et foribus omnibus occlusis, nudam se illi praebuit, vimque inferre est conata.

XXXII. cum vero ab eo desperaret quidquam consequi, illum ad Dominum illius detulit. Postea in carcerem detrusus est.

CC. annus Repromissionis.

XXXIII. XXXIV. XXXV. XXXVI. XXXVII. XXXVIII.

Hoc anno XXXVIII. Levi, Joseph cum annum ageret XXXVIII. solvit Pharaonis Eunuchis, qui in carcere detinebantur, somnia, tempore decimae tentationis.

Huc usque anni Jacob sunt

CXXI.

XXXIX. Hoc anno Levi, et CXXII. anno Jacob, Joseph cum annum

νόμενος Ἰωσὴφ ἐτῶν λα' παρέστη τῷ Φαραὼ ἐν Αἰγύπτῳ, καὶ ἔκρινεν αὐτῷ τοὺς ὀνείρους αὐτοῦ. καὶ ἐκ τούτου τοῦ χρόνου γέγονεν αὐτὸς Ἰωσὴφ ἡγεμὼν τῆς Αἰγύπτου.

Ἰωσὴφ Αἰγυπτίων ἡγεῖται ἔτη π'.

Πρῶτον ἔτος ἡγεμονίας Ἰωσήφ, καὶ πρῶτον τῆς εὐθηνίας, ἐν ᾧ τριακοστὸν πρῶτον ἔτος ἦγε τῆς ἡλικίας Ἰωσήφ.

C μ', μα', μβ'.

σι' ἔτος τῆς ἐπαγγελίας.

μγ', μδ', με', μς'.

Τούτῳ τῷ μς' ἔτει τοῦ Λευὶ πρῶτον ἔτος τοῦ λιμοῦ τοῦ ἐν Αἰγύπτῳ. οἱ παῖδες Ἰακὼβ εἰς Αἴγυπτον κάτεισιν ἀποσταλέντες ὑπ' αὐτοῦ διὰ τὸν λιμόν.

R 144 μζ'.

Τούτῳ τῷ μζ' ἔτει τοῦ Λευὶ καὶ δευτέρῳ τοῦ λιμοῦ καὶ ἑνάτῳ τῆς ἡγεμονίας Ἰωσὴφ κάτεισιν Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἔστη ἐναντίον Φαραώ. εἶπε δὲ Φαραὼ τῷ Ἰακώβ, Πόσα ἔτη
D ἡμερῶν τῆς ζωῆς σου; καὶ εἶπεν Ἰακὼβ τῷ Φαραώ, Ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ὡς παροικῶ, ρλ' ἔτη. μικραὶ καὶ πονηραὶ γεγόνασιν αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου.

Καὰθ ξ', ὁμοῦ ,χπβ'.

8. σι' post ἐπαγγελίας ponit P. 10. μς' om. P. 11. ὑποσταλέντες P. 14. ἔτει μζ' P. 15. ἐννάτῳ PV. 16. εἶπε δὲ] Genes. XLVII. 9. 20. Καάδ P.

Anni a m. c. XXXI. attigisset, sistitur Pharaoni in Aegypto, illiusque somnia eidem interpretatur. Et ab illo tempore factus est idem Joseph Princeps Aegypti.

Joseph Aegyptiis praeest annos LXXX.

Primus annus procurationis Joseph, primusque prosperae fortunae, quo ipse agebat aetatis annum XXXI.

XL. XLI. XLII.

Annus Repromissionis CCX.

XLIII. XLIV. XLV. XLVI.

Hoc anno Levi primus annus fuit, quo coepit fames in Aegypto. Filii Jacob in Aegyptum veniunt, a patre missi propter famem.

3622. XLVII.

Hoc anno XLVII. Levi, qui fuit secundus annus famis, et nonus principatus Joseph, descendit Jacob in Aegyptum, et stetit coram Pharaone: qui ad Jacob dixit: *Quot sunt anni dierum vitae tuae.* Et dixit Jacob: *Dies annorum vitae meae quibus peregrinor CXXX. anni, pauci et mali fuerunt dies annorum vitae meae.*

Caad, 60. Colliguntur anni 3682.

α′, β′, γ′, δ′, ε′.

σκ′ ἔτος τῆς ἐπαγγελίας.

ς′, ζ′, η′, ϑ′, ι′, ια′, ιβ′, ιγ′, ιδ′, ιε′.

σλ′ ἔτος τῆς ἐπαγγελίας.

ις′, ιζ′.

Τούτῳ τῷ ἔτει ἑκατοστὸν τεσσαρακοστὸν ἕβδομον ἔτος ἄγων Ἰακὼβ προφητεύει περὶ τοῦ κυρίου καὶ περὶ τῆς τῶν ἐθνῶν κλήσεως διὰ Χριστοῦ, εἰπών, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται. καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν. δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ καὶ τῇ ἕλικι τὸν πῶλον τοῦ ὄνου αὐτοῦ, πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ καὶ λευκοὶ οἱ ὀδόντες ἢ γάλα. P 62

ιη′, ιϑ′, κ′, κα′, κβ′, κγ′, κδ′, κε′.

σμ′ ἔτος τῆς ἐπαγγελίας.

κς′, κζ′, κη′, κϑ′, λ′, λα′, λβ′ λγ′, λδ′, λε′. B

σν′ ἔτος τῆς ἐπαγγελίας.

λς′, λζ′, λη′, λϑ′, μ′, μα′, μβ′, μγ′, μδ′, με′.

σξ′ ἔτος τῆς ἐπαγγελίας.

8. *εἰπών*] Genes. IL. 10. 11. *καὶ τῇ — αὐτοῦ* om. P. 13. *χαροποιοὶ — αὐτοῦ* om. P. 20. *σξ′* post *ἐπαγγελίας* ponit P.

I. II. III. IV. V.
CCXX. annus Repromissionis.
VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV.
CCXXX. annus Repromissionis.
XVI. XVII.

Hoc anno, cum Jacob ageret annum CXLVII. de Domino prophetat, deque gentium per Christum vocatione, in haec verba: *Non deficiet Princeps ex Juda, neque dux a femoribus ejus, donec veniat, cui repositum est: et ipse erit expectatio gentium. Ligans ad vineam pullum suum. Lavabit in vino stolam suam, et in sanguine uvae pallium suum: et albi dentes, quam lac.*

XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV.
CCXL. annus Repromissionis.
XXVI. XXVII. XXVIII. XXIX. XXX. XXXI. XXXII. XXXIII. XXXIV. XXXV.
CCL. annus Repromissionis.
XXXVI. XXXVII. XXXVIII. XXXIX. XL. XLI. XLII. XLIII. XLIV. XLV.
CCLX. annus Repromissionis.

μς', μζ', μη', μθ', ν'.

V 51 π' ἔτος Ἰωσήφ.

να', νβ', νγ', νδ', νε'.

σο' ἔτος τῆς ἐπαγγελίας.

C νς', νζ', νη', νθ', ξ'.

R 146 Ἀμβρὰμ οε', ὁμοῦ ,γψνγ'.

α', β', γ', δ', ε'.

σπ' ἔτος τῆς ἐπαγγελίας.

ς', ζ' η', ϑ', ι', ια', ιβ'.

Τούτῳ τῷ ἔτει πα' ἔτος ἄγων τῆς ἡγεμονίας Ἰωσὴφ καὶ ρια' τῆς αὐτοῦ ἡλικίας τελευτᾷ τὸν βίον.

Μετὰ θάνατον Ἰωσὴφ δουλεύουσιν Ἑβραῖοι τοῖς Αἰγυπτίοις ἕτερα ἔτη ρμδ'. τὰ δὲ πάντα τῆς ἐν Αἰγύπτῳ διατριβῆς τῶν Ἰουδαίων ἔτη τυγχάνει σιε', ἀριθμούμενα ἀπὸ τῆς καθόδου Ἰακὼβ καὶ τῶν τούτου παίδων εἰς Αἴγυπτον.

ιγ', ιδ', ιε'.

D σϟ' ἔτος τῆς ἐπαγγελίας.

ις', ιζ', ιη', ιϑ', κ', κα', κβ', κγ', κδ', κε'.

ἐτος τ' τῆς ἐπαγγελίας.

κς', κζ' κη', κϑ', λ'.

8. σω' P. 17. ση' post ἐπαγγελίας ponit P. 19. τ' ἔτος P.

XLVI. XLVII. XLVIII. XLIX. L.

LXXX. annus Joseph.

LI. LII. LIII. LIV. LV.

CCLXX. annus Repromissionis.

LVI. LVII. LVIII. LIX. LX.

Ambram, 75. Colliguntur anni 3753.

I. II. III. IV. V.

CCLXXX. annus Repromissionis.

VI. VII. VIII. IX. X. XI. XII.

Hoc anno moritur Joseph, anno sui Principatus LXXXI. aetatis vero CXI.

Post mortem Joseph, Hebraei serviunt Aegyptiis alios annos CXLIV. Universum vero tempus quo Judaei in Aegypto mansere, annorum fuit CCXV. a profectione Jacob et illius liberorum in Aegyptum.

XIII. XIV. XV.

Annus Repromissionis CCXC.

XVI. XVII. XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV.

CCC. annus Repromissionis.

XXVI. XXVII. XXVIII. XXIX. XXX.

Vid Skylkar ahel i norrig skrifstafrunar fyrir lifanda fiy. gef.

	ᚼ, ᚽ, ᚾ, ᚿ, ᛀ, ᛁ, ᛂ, ᛃ, ᛄ, ᛅ, ᛆ, ᛇ, ᛈ,	
	ᚼ, ᚽ, ᚾ, ᚿ, ᛀ, ᛁ, ᛂ, ᛃ, ᛄ, ᛅ, ᛆ, ᛇ, ᛈ,	
	ᛉ, ᛊ, ᛋ, ᛌ, ᛍ, ᛎ, ᛏ, ᛐ, ᛑ, ᛒ, ᛓ, ᛔ, ᛕ,	
	ᛉ, ᛊ, ᛋ, ᛌ, ᛍ, ᛎ, ᛏ, ᛐ, ᛑ, ᛒ, ᛓ, ᛔ, ᛕ,	

Vid Skylkar ahl ifar ofa fyrir lifanda Skylkir gefr 1 ar. 8 Skylkir ok fyrir Skylkir. Skylkir gefr 1 ar. 8 Skylkir ok fyrir Skylkir. Skylkir ahl ifar ofa fyrir lifanda ok Skylkir ok ofa ok. ofa fyrir lifanda. Skylkir ok fyrir Skylkir. Skylkir ok fyrir Skylkir.

C ῥένα τῶν Ἑβραίων βρέφη εἰς τὸν ποταμὸν ῥίπτεσθαι. καὶ πολλῶν βασιλέων ἡγουμένων Παλμανωθὴς ἐβασίλευσεν τῶν περὶ Ἡλιούπολιν τόπων. οὗτος δὲ μετὰ τῶν ἄλλων βασιλέων φαύλως τοῖς Ἑβραίοις προσεφέρετο. καὶ γεγόνει τούτῳ τῷ Παλμανωθῇ θυγάτηρ ὀνόματι Μερρί, ἣν ἐξέδοτο Χενεβρὼν βασι- 5
λεύοντι τῶν ὑπὲρ Μέμφιν τόπων. αὕτη δὲ ἡ Μερρὶ στεῖρα οὖσα τὸν Μωϋσῆν ῥιφέντα εἰς τὸν ποταμὸν ἀνελομένη ἀνεθρέψατο εἰς υἱόν.

β'.

V 52 Δευτέρῳ ἔτει Μωϋσῆ οζ' ἔτος τῆς ἑαυτοῦ ἡλικίας ἄγων Ἀμ- 10
βρὰμ γεννᾷ ἐκ τῆς Ἰωχαβὲθ Μαριὰμ τὴν προφῆτιν.

D γ', δ', ε', ς', ζ', η', ϑ', ι'.

τξ' ἔτος τῆς ἐπαγγελίας.

ια', ιβ', ιγ', ιδ', ιε', ις', ιζ', ιη', ιϑ', κ'.

το' ἔτος τῆς ἐπαγγελίας. 15

κα', κβ', κγ', κδ', κε', κς', κζ', κη', κϑ', λ'.

τπ' ἔτος τῆς ἐπαγγελίας.

λα'.

Τούτῳ αὐτοῦ τῷ ἔτει Μωϋσῆς κτίζει τὴν Ἑρμούπολιν, καὶ Αἰθίοψιν ἐπολέμησεν ἐπὶ ἔτη ι'. 20

3. φαῦλος P. 4. Παλμανωθεῖ R. 10. Ἀμβρὰν P. 19. αὐτοῦ post ἔτει ponit P.

fluvium abjici. Multis vero Regibus tum regnantibus, Palmanothes locis versus Heliopolim sitis imperabat. Is una cum caeteris regibus Hebraeis infestus extitit. Huicque Palmanothi filia fuit, nomine Merrhi, quam Chenebron, qui in locis supra Memphin regnabat, dedit in uxorem. Ipsa vero Merrhi cum esset sterilis, Moysem, qui in fluvium projectus fuerat, ex eo sublatum, filii loco educavit.

II.

Secundo anno Moysis, LXXVII. aetatis annum agens Ambran, ex Iocabeth Mariam Prophetissam procreat.

III. IV. V. VI. VII. VIII. IX. X.

CCCLX. annus Repromissionis.

XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. XX.

CCCLXXX. annus Repromissionis.

XXI. XXII. XXIII. XXIV. XXV. XXVI. XXVII. XXVIII. XXIX. XXX.

CCCLXXX. annus Repromissionis.

XXXI.

Hoc ipsius anno Moyses Hermopolim condit, et cum Aethiopibus bellum decennio gessit.

Τοῦ δὲ Χενεφρὼν βασιλέως τῶν ὑπὲρ Μέμφιν τόπων διὰ P 64
φθόνον ἐπιβουλεύοντος τῷ Μωϋσεῖ, καὶ τῆς Μερρίνης τῆς γυ-
ναικὸς αὐτοῦ τῆς ἀνελομένης τὸν Μωϋσῆν ἐκ τοῦ ποταμοῦ εἰς
υἱὸν ἑαυτῆς τελευτησάσης καὶ ταφείσης εἰς τοὺς ὑπὲρ Αἴγυπτον
τόπους, ἔκτισε πόλιν Ἑρμούπολιν Μωϋσῆς, ἥντινα Μερρὶν κλη-
θῆναι παρεσκεύασεν.

Εἶτα γνοὺς Μωϋσῆς τὴν τοῦ Χενεφρὼν ἐπιβουλὴν φονεύει
Χανεθώθην τὸν μέλλοντα ἀναιρεῖν τὸν Αἰγύπτιον, καὶ οὕτω
φεύγει εἰς Ἀραβίαν πρὸς Ῥαγουὴλ τὸν τῶν τόπων ἄρχοντα, καὶ
ἔλαβε Σεπφώραν τὴν θυγατέρα Ῥαγουὴλ πρὸς γάμον. ταῦτα
ἱστορεῖ Ἀρτάβανος. Εὐπόλεμος δέ φησι Μωϋσῆν πρῶτον σοφὸν B
γενέσθαι καὶ γράμματα παραδοῦναι τοῖς Ἰουδαίοις πρῶτον, R 150
Φοίνικας δὲ παρὰ Ἰουδαίων παραλαβεῖν, Ἕλληνας δὲ παρὰ Φοι-
νίκων, νόμους δὲ πρῶτον Μωϋσέα γράψαι τοῖς Ἰουδαίοις.

Ἐκ τοῦ Ἀβραὰμ καὶ Χεττούρας γεννᾶται Ἰεζάν, ἐκ τοῦ Ἰε-
ζὰν γεννᾶται Δαδάν, ἐκ τοῦ Δαδὰν γεννᾶται Ῥαγουήλ, ἐκ Ῥα-
γουὴλ γεννᾶται Ἰοθὼρ καὶ Ἰακώβ, ἐκ τοῦ Ἰοθὼρ γεννᾶται Σεπ-
φώρα, ἣν ἔγημε Μωϋσῆς. ἀπὸ οὖν Ἀβραὰμ Μωϋσῆς ἕβδομος,
ἡ δὲ Σεπφώρα ἕκτη γενεαλογεῖται.

λβ′, λγ′, λδ′, λε′, λς′, λζ′, λη′, λθ′, μ′ C

τϟ′ ἔτος τῆς ἐπαγγελίας.

1. 7. *Χενεβρὼν* P. 2. *Μωϋσῇ* PV. 8. *Χανεθόθην* P. 9. *τῶν* om. P. 14. *νόμους τε* V. 15. *Χετούρας* P. *ibid.* *Ἰέξαν* bis V, *Ἰεξᾶν* P. 17. *Ἰωθὼρ* PV bis. *ibid.* *Ἰωκὰβ* V.

Chenebron porro Regionum ultra Memphin Rege Moysi ex invidia insidias struente: ac Merrhina illius uxore, quae Moysem e fluvio eduxerat atque in filium adoptaverat, extincta, et in locis trans Aegyptum sepulta, Moyses urbem Hermopolim condidit, quam Merrhin appellari decrevit. Anni a m. c.

Dein cum Moyses a Chenebron parari sibi insidias accepisset, Canethothen Aegyptium, a quo occidendus erat, interficit, sicque in Arabiam fugit ad Rhaguel, qui in his locis regnabat: ubi Sepphoram Rhaguel filiam sibi matrimonio copulavit. Haec narrat Artabanus. Eupolemus vero ait Moysem sapientia praecelluisse, literasque Judaeis primum tradidisse, a Judaeis deinde Phoenices, a Phoenicibus accepisse Graecos, leges denique Judaeis primum Moysem scripsisse.

Ex Abraham et Chetura nascitur Jezan, ex Jezan nascitur Dadan, ex Dadan nascitur Rhaguel, Jothor et Jacob: ex Jothor nascitur Sepphora, quam duxit Moyses. Igitur ab Abraham septimus est Moyses, sexta vero Sepphora in generis deductione.

Τούτῳ τῷ ἔτει Μωϋσῆς τὰς ἐν Αἰγύπτῳ καταλιπὼν διατριβὰς κατὰ τὴν ἔρημον ἐφιλοσόφει.

μα', μβ', μγ', μδ', με', μς', μζ', μη', μθ', ν'.

ν' ἔτος τῆς ἐπαγγελίας.

να', νβ', νγ', νδ', νε', νς', νζ', νη', νθ', ξ'.

νι' ἔτος τῆς ἐπαγγελίας.

ξα', ξβ'.

D *Τούτῳ τῷ ξβ' ἔτει Μωϋσέως Ἀμβρὰν ὁ πατὴρ αὐτοῦ τελευτᾷ ζήσας ἔτη ροζ'.*

ξγ', ξδ', ξε', ξς', ξζ', ξη', ξθ', ο'.

νκ' ἔτος τῆς ἐπαγγελίας.

οα', οβ', ογ', οδ', οε', ος', οζ'.

V 54 *Μωϋσῆς θεοφανείας ἐπὶ τοῦ Σιναίου ὄρους ἠξιοῦτο.*

οη', οθ', π'.

νλ' ἔτος τῆς ἐπαγγελίας.

P 65 *Ἰουδαϊσμὸς ἀπὸ τῶν χρόνων τοῦ Ἀβραάμ, τὸν χαρακτῆρα τοῦ Ἀβραὰμ διὰ περιτομῆς εἰληφώς, καὶ ἐν τῷ Μωϋσῇ ἑβδόμῳ ἀπὸ Ἀβραὰμ διὰ τοῦ δοθέντος νόμου ἀπὸ τοῦ θεοῦ πλατυνθείς, ἀπὸ δὲ Ἰούδα τοῦ τετάρτου υἱοῦ τοῦ Ἰακὼβ τοῦ ἐπικληθέντος Ἰσραὴλ διὰ Δαβὶδ τοῖ βασιλέως πρώτου ἀπὸ τῆς αὐτοῦ τοῦ*

1. καταλείπων V. 2. κατὰ om. V, ex m. R addidit P. 8. ξβ' om. P. 14. οη' — π' ante Μωϋσῆς ponit P sola. 15. ολ' P. 16. τὸν χαρακτῆρα τοῦ ἔθνους διὰ περιτομῆς εἰληφότος Malalas p. 58. 18.

Hoc anno Moyses, relictis Aegypti habitationibus, in eremo philosophiae vacavit.

XLI. XLII. XLIII. XLIV. XLV. XLVI. XLVII. XLVIII. XXIX. L.

cccc. annus Repromissionis.

LI. LII. LIII. LIV. LV. LVI. LVII. LVIII. LIX. LX.

ccccx. annus Repromissionis.

LXI. LXII.

Hoc anno Moysis, Ambran illius pater moritur, cum vixisset annos CLXXVII.

LXIII. LXIV. LXV. LXVI. LXVII. LXVIII. LXIX. LXX.

cccxx. annus Repromissionis.

LXXI. LXXII. LXXIII. LXXIV. LXXV. LXXVI. LXXVII. LXXVIII. LXXIX. LXXX.

Moyses Dei aspectu dignatur in monte Sinai.

ccccxxx. annus Repromissionis.

Judaismus a temporibus Abraham, signo Abraham per circumcisionem accepto, et in Moyse septimo ab Abraham, data a Deo lege, dilatatus: a Juda vero quarto filio Jacob, qui et Israel cognominatus est,

Ἰούδα φυλῆς τὸ τέλειον τοῦ Ἰουδαϊσμοῦ ὀνόματος κεκληρωμένος, καθὰ σαφῶς περὶ τούτων τῶν αἱρέσεων ὁ ἀπόστολος Παῦλος ἐπιστέλλων ἔλεγεν, „ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐ βάρβαρος, οὐ Σκύθης, οὐχ Ἕλλην, οὐκ Ἰουδαῖος, ἀλλὰ καινὴ κτίσις.“ R 152

Μωϋσῆς ἐν τῇ ἐρήμῳ μ', ὁμοῦ γωοζ'.

πα'. B

Μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου· καὶ κατεστέναξαν υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων καὶ ἀνεβόησαν, καὶ ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν θεόν, καὶ εἰσήκουσεν ὁ θεὸς τὸν στεναγμὸν αὐτῶν, καὶ ἐμνήσθη ὁ θεὸς τῆς διαθήκης αὐτοῦ τῆς πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ ἐφεῖδεν ὁ θεὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐγνώσθη αὐτοῖς.

Καὶ Μωϋσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ἰοδὼρ τοῦ γαμβροῦ αὐτοῦ τοῦ ἱερέως Μαδιάμ, καὶ ἦγεν τὰ πρόβατα ὑπὸ τὴν ἔρημον, καὶ ἦλθεν εἰς τὸ ὄρος Χωρήβ. ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἐν φλογὶ πυρὸς ἐκ τοῦ βάτου· καὶ ὁρᾷ ὅτι ὁ βάτος καίεται πυρί, C ὁ δὲ βάτος οὐ κατεκαίετο. εἶπε δὲ Μωϋσῆς, Παρελθὼν ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο ὅτι οὐ καίεται ὁ βάτος. ὡς δὲ εἶδεν κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν κύριος ἐκ τοῦ βάτου λέγων, Μωϋσῆ Μωϋσῆ. ὁ δὲ εἶπεν, Τί ἐστιν; καὶ εἶπεν, Μὴ ἐγγίσῃς

3. ἐπιστέλλων] Gal. VI. 15. 8. οἱ υἱοὶ P. 9. θεόν] ἀπὸ τῶν ἔργων de coniectura addunt PR ex Exod. II. 23. 10. ἤκουσεν P. 12. ἐφεῖδεν] ἐπίδεν P. 13. πενθεροῦ P. 14. Μαδίαν P. ib. ἤγαγεν P. ib. ὑπὸ τὴν] εἰς P. 15. αὐτῷ om. P. 17. οὐκ ἐκαίετο P. 18. τοῦτο τί ὅτι οὐ κατακαίεται ἡ βάτος P. 19. προάγει P. ib. αὐτὸν ἐκ τῆς βάτου καὶ εἶπεν M. P. 20. καὶ] ὁ δὲ P.

pe David primum Regem ex tribu Juda nominis Judaismi perfectionem, adeptus est: quemadmodum de his sectis loquitur in Epistolis Apostolus Paulus: *Nam in Christo Jesu neque Barbarus, neque Scytha, neque Graecus, nec Judaeus, sed nova creatura.* Anni a m. c.

Moyses in deserto, XL. Colliguntur anni III. MCCCLXXVII. 3438.

LXXXI.

Post autem dies illos multos, mortuus est Rex Aegypti, et ingemuerunt filii Israel propter opera, et clamaverunt: ascenditque clamor eorum ad Deum ab operibus. Et audivit Deus gemitum eorum, et recordatus est Deus foederis sui, quod pepigerat ad Abraham, et Isaac et Jacob. Et respexit Deus filios Israel, et ab iis cognitus est.

Et Moyses pascebat oves Jethro soceri sui, Sacerdotis Madian: et duxit oves in desertum: et venit ad montem Dei Oreb. Apparuit autem ei Angelus Dei in flamma ignis ex rubo, et vidit quod rubus ardebat igne: at rubus non comburebatur. Dixit autem Moyses: *Accedens videbo visionem hanc grandem, quare non comburitur rubus.* Postquam autem vidit Dominus quod pergit ad videndum, vocavit eum Dominus, ex

ὧδε. λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας γῆ ἁγία ἐστίν. καὶ εἶπεν αὐτῷ, Ἐγώ εἰμι ὁ θεὸς τοῦ πατρός σου, ὁ θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ. ἀπέστρεψε δὲ Μωϋσῆς τὸ πρόσωπον αὐτοῦ· ηὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον τοῦ θεοῦ. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ καὶ τῆς
D κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν· οἶδα γὰρ τὴν ὀδύνην αὐτῶν. καὶ κατέβην ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς Αἰγυπτίων καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης καὶ εἰσαγαγεῖν αὐτοὺς εἰς γῆν ἀγαθὴν καὶ πολλήν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, εἰς τὸν τόπον τῶν Χαναναίων καὶ Χετταίων καὶ Ἀμορῥαίων καὶ Φερεζαίων καὶ Εὐαίων καὶ Γεργεσαίων καὶ Ἰεβουσαίων. καὶ νῦν ἰδοὺ κραυγὴ τῶν υἱῶν Ἰσραὴλ ἧκει πρός με. καὶ ἐγὼ
R 154 ἑώρακα τὸν θλιμμὸν ὃν οἱ Αἰγύπτιοι θλίβουσιν αὐτούς. καὶ νῦν δεῦρο ἀποστελῶ σε πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ἐξά-
P 66 ξεις τὸν λαόν μου, τοὺς υἱοὺς Ἰσραήλ, ἐκ γῆς Αἰγύπτου. καὶ εἶπεν Μωϋσῆς πρὸς τὸν θεόν, Τίς εἰμι, ὅτι πορεύσομαι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου καὶ ὅτι ἐξάξω τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου; εἶπε δὲ ὁ θεὸς πρὸς Μωϋσῆν λέγων ὅτι Ἔσομαι μετὰ σοῦ, καὶ τοῦτό σοι τὸ σημεῖον ὅτι ἐγώ σε ἀποστέλλω

1. λῦσαι P. 3. καὶ ὁ θεὸς — καὶ ὁ θεὸς P. 4. εὐλαβεῖτο P. 5. κατεμβλέψαι] κατεβλέψαι V, καταβλέψαι P. 6. ἴδον PV. 7. τὴν om P. 9. καὶ εἰσαγαγεῖν αὐτοὺς om. V. 10. τὴν γῆν ἀγαθὴν P. 12. καὶ Γεργεσαίων om. V. 13. ἡ κραυγὴ P. ib. κἀγὼ P. 15. ἀποστείλω P. 17. ὁ Μωϋσῆς P. ib. τίς εἰμι ἐγὼ ὅτι πορεύομαι P. 19. ὁ — λέγων om. V. 20. τὸ σημεῖον] σημεῖον P.

rubo, et dixit: *Moyses, Moyses.* Ille autem dixit; *Quid est?* at ille dixit: *Non approprinques huc. Solve calceamentum de pedibus tuis: etenim locus in quo stas, terra sancta est.* Et dixit ei: *Ego sum Deus patris tui, Deus Abraham, et Deus Isaac, et Deus Jacob.* Avertit autem Moyses faciem suam: timuit enim aspicere contra Deum. Dixit autem Dominus ad Moysen: *Videns vidi afflictionem populi mei, qui est in Aegypto: et clamorem eorum audivi, propter operum praefectos: scio enim dolorem eorum. Et descendi ut liberem eos ex terra illa, et inducam eos in terram bonam et multam, in terram manantem lac et mel, in locum Chananaeorum et Chettaeorum, et Amorrhaeorum, et Pheresaeorum, et Evaeorum, et Gergesaeorum, et Jebusaeorum. Et nunc ecce clamor filiorum Israel venit ad me: et ego vidi afflictionem, qua Aegyptii opprimunt eos. Et nunc veni, mittam te ad Pharaonem Regem Aegypti, et educes populum meum filios Israel ex terra Aegypti.* Et dixit Moyses ad Deum: *Quis sum ego, ut vadam ad Pharaonem Regem Aegypti, et ut educam filios Israel ex terra Aegypti?* Dixit autem ad Moysen Deus, dicens: *Quia ero tecum, et hoc tibi signum, quod ego te mit-*

ἐν τῷ σε ἐξαγαγεῖν τὸν λαόν μου ἐξ Αἰγύπτου, καὶ λατρεύσετε τῷ θεῷ ἐν τῷ ὄρει τούτῳ. καὶ εἶπε Μωϋσῆς πρὸς τὸν θεόν, Ἰδοὺ ἐγὼ ἐξελεύσομαι πρὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐρῶ πρὸς αὐτούς, Ὁ θεὸς τῶν πατέρων ὑμῶν ἀπέσταλκέ με πρὸς ὑμᾶς. ἐρωτήσουσί με, Τί τὸ ὄνομα αὐτῷ; τί ἐρῶ πρὸς αὐτούς; καὶ εἶπεν V 54
ὁ θεὸς πρὸς Μωϋσῆν, Ἐγώ εἰμι ὁ ὤν. καὶ εἶπεν, Οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ, Ὁ ὢν ἐξαπέσταλκέν με πρὸς ὑμᾶς. καὶ εἶπεν πάλιν B
ὁ θεὸς πρὸς Μωϋσῆν, Οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ, Κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν, ὁ θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακὼβ ἀπέσταλκέ με πρὸς ὑμᾶς. τοῦτό μού ἐστιν ὄνομα αἰώνιον καὶ μνημόσυνον γενεαῖς γενεῶν. ἐλθὼν οὖν συνάγαγε τῆς γερουσίαν τῶν υἱῶν Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς, Κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν ὤπταί μοι, θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ, λέγων, Ἐπισκοπῇ ἐπέσκεμμαι ὑμᾶς καὶ ὅσα συμβέβηκεν ὑμῖν ἐν γῇ Αἰγύπτῳ, καὶ εἶπον, Ἀναβιβάσω ὑμᾶς ἐκ τῆς κακώσεως τῶν Αἰγυπτίων εἰς τὴν γῆν τῶν Χαναναίων καὶ Χετταίων καὶ Ἀμορῥαίων καὶ Φερεζαίων καὶ Γεργεσαίων καὶ Εὐαίων καὶ Ἰεβουσαίων, εἰς γῆν ῥέουσαν γάλα C
καὶ μέλι. καὶ εἰσακούσονταί σου τῆς φωνῆς, καὶ εἰσελεύσῃ σὺ καὶ ἡ γερουσία Ἰσραὴλ πρὸς Φαραὼ βασιλέα Αἰγύπτου. καὶ ἐρεῖς πρὸς αὐτόν, Κύριος ὁ θεὸς τῶν Ἑβραίων προκέκληται ἡμᾶς· πορευ-

1. ἐξαγαγεῖν σε P. 3. ἐλεύσομαι P. 4. καὶ ἐὰν ἐρωτήσωσί P. 6. θεὸς] κύριος P. 7. ἀπέσταλκέ P. *ib.* ὁ θεὸς πάλιν P. 9. 10. καὶ ὁ θεὸς — καὶ ὁ θεὸς PV. 10. μοί ἐστι τὸ P. 11. αἰώνιον om. V. *ib.* γενεῶν γενεαῖς P. 13. ὁ θεὸς P. 14. ἐπίσκεμμαι V, ἔσκεμμαι P. 15. γῇ om. P. *ib.* ἑώρακα καὶ εἶπα P. 17. τῶν om. P. *ib.* καὶ Φερεζαίων et καὶ Εὐαίων om. V. 20. Φαραὼ om. V.

to, ut educas tu populum meum ex Aegypto, et servietis Deo in monte hoc. Et dixit Moyses ad Deum: *Ecce ego vadam ad filios Israel, et dicam ad eos: Deus patrum vestrorum misit me ad vos, et si interrogaverint me, Quod nomen ei? quid dicam ad eos?* Et dixit Dominus ad Moysen: *Ego sum qui sum:* et dixit: *Sic dices filiis Israel: Qui est, misit me ad vos.* Et dixit Deus rursus ad Moysen: *Sic dices filiis Israel: Dominus Deus patrum vestrorum, Deus Abraham, et Deus Isaac, et Deus Jacob, misit me ad vos. Hoc meum est nomen sempiternum, et memoriale generationum generationibus. Vadens igitur congrega seniores filiorum Israel, et dices ad eos: Dominus Deus patrum vestrorum apparuit mihi, Deus Abraham, et Deus Isaac, et Deus Jacob dicens: Visitatione visitavit vos, et quaecunque contigerunt vobis in Aegypto, vidi, et dixi: Reducam vos ex afflictione Aegyptiorum in terram Chananaeorum et Chettaeorum, et Amorrhaeorum, et Pheresaeorum, et Gergesaeorum, et Evaeorum, et Jebusaeorum in terram manantem lacte et melle. Et audient tuam vocem, et ingredieris tu et seniores Israel ad Pharaonem Regem Aegypti, et dices ad eum: Dominus Deus Hebraeorum vocavit nos: ibimus*

σόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον, ἵνα θύσωμεν κυρίῳ τῷ θεῷ ἡμῶν. ἐγὼ δὲ οἶδα ὅτι οὐ προήσεται ὑμᾶς Φαραὼ βασιλεὺς Αἰγύπτου πορευθῆναι, ἐὰν μὴ μετὰ χειρὸς κραταιᾶς. καὶ ἐκτείνας τὴν χεῖρά μου πατάξω τοὺς Αἰγυπτίους ἐν πᾶσι τοῖς θαυμασίοις μου οἷς ποιήσω ἐν αὐτοῖς· καὶ μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς. καὶ δώσω χάριν τῷ λαῷ τούτῳ ἐναντίον τῶν
R 156 Αἰγυπτίων. ὅταν δὲ ἀποτρέχητε, οὐκ ἀπελεύσεσθε κενοί, ἀλλ'
D αἰτήσει γυνὴ παρὰ γείτονος καὶ συσκήνου αὐτῆς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμόν. καὶ ἐπιθήσετε ἐπὶ τοὺς υἱοὺς ὑμῶν, καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν, καὶ συσκευάσατε τοὺς Αἰγυπτίους.

Ἀπεκρίθη δὲ Μωϋσῆς καὶ εἶπεν, Ἐὰν οὖν μὴ πιστεύσωσί μοι μηδὲ εἰσακούσωσι τῆς φωνῆς μου· ἐροῦσι γὰρ ὅτι οὐκ ὤπταί σοι ὁ θεός· τί ἐρῶ πρὸς αὐτούς; εἶπεν δὲ αὐτῷ ὁ θεός, τί τοῦτό ἐστι τὸ ἐν τῇ χειρί σου; ὁ δὲ εἶπεν, Ῥάβδος. καὶ εἶπεν αὐτῷ, Ῥῖψον αὐτὴν ἐπὶ τὴν γῆν. καὶ ἔῤῥιψεν αὐτὴν ἐπὶ τὴν γῆν, καὶ ἐγένετο ὄφις, καὶ ἔφυγε Μωϋσῆς ἀπ' αὐτοῦ. καὶ εἶπεν
P 67 αὐτῷ κύριος, Ἔκτεινον τὴν χεῖρά σου καὶ ἐπιλαβοῦ τῆς κέρκου. καὶ ἐκτείνας τὴν χεῖρα ἐπελάβετο τῆς κέρκου, καὶ ἐγένετο ῥάβδος ἐν τῇ χειρὶ αὐτοῦ· ἵνα πιστεύσωσί σοι ὅτι ὤπταί σοι κύριος ὁ θεὸς τῶν πατέρων αὐτῶν, ὁ θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ. εἶπε δὲ αὐτῷ κύριος πάλιν, Εἰσένεγκε τὴν χεῖρά

2. Φαραὼ om. P. 6. ἐνώπιον P. 7. ἀπελεύσεσθαι PV. Hic m. PV: αὕτη ἡ ἐπαγγελία ἐδόθη τῷ Ἀβραὰμ ἀπὸ τοῦ θεοῦ, ὅτε ἔλεγεν, μετὰ δὲ ταῦτα ἐξελεύσεται (σὺ ὧδε) μετὰ ἀποσκευῆς πολλῆς. 10. ἐπισυσκευάσατε P. 11. οὖν] οὐ V. 13. ὁ θεός] κύριος P. 14. ἐστι τὸ om. V. *ibid.* τῇ om. P. 15. αὐτῷ om. P. 17. αὐτῷ κύριος] κύριος πρὸς τὸν Μωϋσῆν P. 18. καὶ ἐκτείνας] ἐκτείνας οὖν P. 20. καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακὼβ P.

igitur viam trium dierum in solitudinem, ut sacrificemus Domino Deo nostro. Ego vero scio, quod non dimittet vos Rex Aegypti nisi cum manu valida. Et extendens manum meam in omnibus mirabilibus meis, quae faciam in eis. Et post haec dimittet vos. Et dabo gratiam populo huic coram Aegyptiis. Quando autem egressi fueritis, non recedetis vacui. Sed postulabit mulier a vicino et cohabitatore suo vasa argentea et aurea, et vestes, et imponetis super filias vestras, et spoliabitis Aegyptum.

Respondit vero Moyses, et dixit: *Si igitur non crediderint mihi, nec audierint vocem meam: dicent enim, quod non apparuit tibi Deus, quid dicam ad eos?* Dixit autem ei Dominus. *Quid hoc est quod in manu tua?* ille autem dixit: *Virga:* et dixit: *Projice eam in terram.* Et projecit eam in terram, et facta est coluber, et fugit Moyses ab eo. Et dixit Dominus ad Moysen: *Extende manum tuam, et apprehende caudam.* Extendens igitur manum apprehendit caudam, et facta est virga in manu sua. *Ut credant tibi, quod apparuit tibi Dominus Deus suorum, Deus Abraham, et Deus Isaac, et Deus Jacob.* Dixit autem ei Dominus rur-

σον εἰς τὸν κόλπον σου. καὶ εἰσήνεγκε τὴν χεῖρα εἰς τὸν κόλπον αὐτοῦ, καὶ ἐξήνεγκεν τὴν χεῖρα αὐτοῦ ἐκ τοῦ κόλπου αὐτοῦ, καὶ ἐγένετο ἡ χεὶρ αὐτοῦ λεπρῶσα ὡσεὶ χιών. καὶ εἶπε πάλιν, Εἰσένεγκε τὴν χεῖρά σου εἰς τὸν κόλπον σου. καὶ εἰσήνεγκε τὴν χεῖρα αὐτοῦ εἰς τὸν κόλπον αὐτοῦ, καὶ ἐξήνεγκεν τὴν χεῖρα αὐτοῦ ἐκ τοῦ κόλπου αὐτοῦ, καὶ πάλιν ἀπεκατεστάθη εἰς τὴν χρόαν τῆς σαρκὸς αὐτοῦ. ἐὰν δὲ μὴ πιστεύσωσί σοι μηδὲ εἰσακούσωσι τῆς φωνῆς τοῦ σημείου τοῦ πρώτου, πιστεύσουσί σοι τῆς φωνῆς τοῦ σημείου τοῦ δευτέρου. καὶ ἔσται ἐὰν μὴ πιστεύσωσί σοι τοῖς B
δυσὶ σημείοις τούτοις μηδὲ εἰσακούσωσι τῆς φωνῆς σου, λήψῃ ἀπὸ τοῦ ὕδατος τοῦ ποταμοῦ καὶ ἐκχεεῖς ἐπὶ τὸ ξηρόν, καὶ ἔσται τὸ ὕδωρ ὃ ἐὰν λάβῃς ἀπὸ τοῦ ποταμοῦ αἷμα ἐπὶ τοῦ ξηροῦ. εἶπε δὲ Μωϋσῆς πρὸς κύριον, Δέομαι, κύριε, οὐκ εὔλογός εἰμι πρὸ τῆς χθὲς οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας, οὐδὲ ἀφ᾽ οὗ ἤρξαι λαλῆσαι τῷ θεράποντί σου, ἰσχνόφωνος καὶ βραδύγλωσσος ἐγώ εἰμι. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν λέγων, Τίς ἔδωκε στόμα ἀνθρώπῳ; τίς ἐποίησεν δύσκωφον καὶ κωφόν, βλέποντα καὶ τυφλόν; οὐκ ἐγὼ κύριος ὁ θεός; καὶ νῦν πορεύου, καὶ ἐγὼ V 55
ἀνοίξω τὸ στόμα σου καὶ συμβιβῶ σε ἃ μέλλεις λαλῆσαι. καὶ εἶ- C
πεν Μωϋσῆς, Δέομαι, κύριε, προχείρισαι ἄλλον δυνάμενον, ὃν R 158

2. 5. *τὴν χεῖρα αὐτοῦ*] *αὐτὴν* P. 3. *ἐγενήθη* P. *ibid.* *λεπρὸς* P. 5. *αὐτοῦ* prius om. P 8. *πιστεύσωσί σοι* P, *πιστεύσωσι* V. 9. *δευτέρου*] *ἑσχάτου* m. PV, *ἑπομένου* m. V, *ἑπομίου* m. P. *ib.* *σοι* om. P. 12. *ἂν* P. 13. *δέομαι κύριε* om. V. *ib.* *οὐχ* P. *Ἀ. οὐκ ἀνηρῴηματος. Συ. οὐκ εὔλαλος* m. P. 14. *ἐχθὲς* P. 15. *ἤρξω λαλεῖν* P. 16. *πρὸς Μωϋσῆν λέγων*] *τῷ Μωϋσῇ* P. 17. *καὶ τίς* P. 19. *συμβιβάσω* P. *Ἀ. φωτίσω σε. Συ. ὑποδείξω σοι*: quas varietates habet etiam m. V. 20. *Μωϋσῆς* om. V. *ibid.* *δυνάμενον ἄλλον* P.

sus: *Mitte manum tuam in sinum tuum:* et misit manum suam in sinum suum: et eduxit eam de sinu suo, et facta est manus ejus leprosa sicut nix. Et dixit rursus: *Mitte manum tuam in sinum tuum:* Et misit manum in sinum suum, et eduxit eam de sinu suo, et rursus restituta est in colorem carnis suae. *Si vero non crediderint tibi, neque audierint vocem signi primi, credent tibi voce signi secundi. Et erit, si non crediderint duobus signis his, neque audiverint vocem tuam, accipies ab aqua fluminis, et effundes super aridam, et erit aqua, quam accipies a flumine sanguis super aridam.* Dixit autem Moyses ad Dominum: *Oro Domine, non eloquens sum ante heri, neque ante tertiam diem, neque ex quo coepisti loqui servo tuo, gracili voce, et tarda lingua ego sum.* Dixit autem Dominus Moysi: *Quis dedit os homini, et quis fecit mutum et surdum, videntem et coecum? nonne ego Dominus Deus? Et nunc vade, et ego aperiam os tuum, et instruam te, quae debes loqui.* Et dixit Moyses: *Obsecro, Domine elige potentem alium, quem mittes.* Et iratus ira Do-

ἀποστελεῖς. καὶ θυμωθεὶς ὀργῇ κύριος ἐπὶ Μωυσῆν εἶπεν, Οὐκ ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου ὁ Λευίτης; ἐπίσταμαι ὅτι λαλῶν λαλήσει αὐτός σοι. καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι, καὶ ἰδών σε χαρήσεται ἐν ἑαυτῷ. καὶ ἐρεῖς πρὸς αὐτὸν τοὺς λόγους τούτους, καὶ δώσεις τὰ ῥήματά μου εἰς τὸ στόμα αὐτοῦ. καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου καὶ τὸ στόμα αὐτοῦ καὶ συμβιβάσω ὑμᾶς ἃ ποιήσετε. καὶ λαλήσει αὐτός σοι πρὸς λαόν, καὶ αὐτὸς ἔσται σου στόμα. σὺ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς τὸν θεόν· καὶ τὴν ῥάβδον ταύτην τὴν στραφεῖσαν εἰς ὄφιν λήψῃ ἐν τῇ χειρί σου, ἐν ᾗ ποιήσεις ἐν αὐτῇ τὰ σημεῖα. ἐπορεύθη δὲ Μωϋσῆς,
D καὶ ἀπέστρεψε πρὸς Ἰοθὼρ τὸν γαμβρὸν αὐτοῦ. καὶ εἶπεν αὐτῷ, Πορεύσομαι, καὶ ἀποστρέψω πρὸς τοὺς ἀδελφούς μου τοὺς ἐν Αἰγύπτῳ, καὶ ὄψομαι εἰ ἔτι ζῶσιν. καὶ εἶπεν Ἰοθὼρ τῷ Μωϋσεῖ, Βάδιζε ὑγιαίνων. μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν ἐν γῇ Μαδιάμ, Βάδιζε, ἄπελθε εἰς Αἴγυπτον· τεθνήκασι γὰρ πάντες οἱ ζητοῦντες τὴν ψυχήν σου. ἀναλαβὼν δὲ Μωϋσῆς τὴν γυναῖκα καὶ τὰ παιδία ἀνεβίβασεν αὐτὰ ἐπὶ τὰ ὑποζύγια, καὶ ἀπέστρεψεν εἰς Αἴγυπτον. ἔλαβε δὲ Μωϋσῆς τὴν ῥάβδον τὴν παρὰ τοῦ θεοῦ ἐν τῇ χειρὶ αὐτοῦ. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Πορευο-
P 68 μένου σου καὶ ἀποστρέφοντος εἰς Αἴγυπτον ὅρα πάντα τὰ τέρατα ἃ ἔδωκα ἐν ταῖς χερσίν σου ποιήσεις αὐτὰ ἐναντίον Φαραώ.

3. ἰδοὺ om. P. 4. τοὺς λόγους τούτους om. P. 6. Ἀ. φωτίσω. Ἀ. ὑποδείξω m. P. 7. ἃ ποιήσετε] καὶ λαλήσετε V. ib. αὐτὸς σοὶ λαλήσει τὸ P. 11. Ἰωθὼρ saepius V. ibid. πενθερὸν αὐτοῦ καὶ λέγει, Π. P. 12. ὑποστρέψω V. 13. Μωϋσῆ P. 16. Μαδίαν P. 18. ἐπέστρεψεν P. 20. τῇ om. P. 22. ταῖς χερσίν] τῇ χειρί P.

minus contra Moysen, dixit: *Non ecce Aaron frater tuus Levita? scio quod loquens loquetur ipse tibi: et ecce ipse egredietur in occursum tibi, et videns te lactabitur in seipso. Et dices ad eum, et dabis verba mea in os ejus: et ego aperiam os tuum, et os ejus, et instruam vos, quae facietis. Et ipse loquetur, quae ad populum, et ipse erit os tuum: tu vero illi eris quae ad Deum. Et virgam hanc versam in colubrum accipies in manu tua, in qua facies in ea signa.* Abiit autem Moyses, et reversus ad Jethro socerum suum, et dicit: *Ibo, et revertar ad fratres meos, qui sunt in Aegypto, et videbo si adhuc vivunt.* Et dixit Iethro Moysi: *Vade sanus.* Post autem dies multos illos mortuus est Rex Aegypti. Dixit vero Dominus ad Moysen in terra Madian: *Vade, proficiscere in Aegyptum, mortui sunt enim omnes quaerentes animam tuam.* Accipiens autem Moyses uxorem, et filios, imposuit eos super subjugalia, et reversus est in Aegyptum. Accepit autem Moyses virgam, a Deo, in manu sua. Dixit autem Dominus ad Moysen: *Abeunte te et revertente in Aegyptum, vide omnia portenta, quae dedi in manu tua; fa-*

ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν αὐτοῦ, καὶ οὐ μὴ ἐξαποστείλῃ τὸν λαόν. σὺ δὲ ἐρεῖς τῷ Φαραώ, Τάδε λέγει κύριος, υἱὸς πρωτότοκός μου Ἰσραήλ. εἶπα δέ σοι, Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσῃ· σὺ δὲ οὐκ ἠβούλου ἐξαποστεῖλαι αὐτόν. ὅρα οὖν, ἐγὼ ἀποκτενῶ τὸν υἱόν σου τὸν πρωτότοκον. ἐγένετο δὲ ἐν τῇ ὁδῷ ἐν τῷ καταλύματι, συνήντησεν αὐτῷ ἄγγελος κυρίου, καὶ ἐζήτει ἀποκτεῖναι αὐτόν. καὶ λαβοῦσα Σεπφώρα ψῆφον πετρίνην περιέτεμε τὴν ἀκροβυστίαν τοῦ υἱοῦ αὐτῆς, καὶ προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ καὶ εἶπεν, Ἕστη τὸ αἷμα τῆς περιτομῆς B
τοῦ παιδίου μου. καὶ ἀπῆλθεν ἀπ᾽ αὐτοῦ ὁ ἄγγελος, διότι εἶπεν, Ἕστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου. εἶπε δὲ κύριος πρὸς Ἀαρών, Πορεύθητι εἰς συνάντησιν Μωϋσεῖ εἰς τὴν ἔρημον. καὶ ἐπορεύθη, καὶ συνήντησεν αὐτῷ ἐν τῷ ὄρει τοῦ R 160
θεοῦ, καὶ κατεφίλησαν ἀλλήλους. καὶ ἀνήγγειλε Μωϋσῆς Ἀαρὼν πάντας τοὺς λόγους κυρίου οὓς ἀπέστειλεν πρὸς αὐτὸν καὶ πάντα τὰ σημεῖα ἃ ἐνετείλατο αὐτῷ. ἐπορεύθη δὲ Μωϋσῆς καὶ Ἀαρών, καὶ συνήγαγον πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ. καὶ ἐλάλησεν Ἀαρὼν πάντα τὰ ῥήματα ταῦτα ἃ ἐλάλησεν ὁ θεὸς πρὸς Μωϋσῆν. καὶ ἐποίησε τὰ σημεῖα ἐναντίον παντὸς τοῦ λαοῦ. καὶ ἐπίστευσεν ὁ λαὸς καὶ ἐχάρη, ὅτι ἐπεσκέψατο ὁ θεὸς τοὺς C

1. σκληρυνῶ] Ἀ. ἐνισχύσω. Ἀ. θρασύνω m. P. *ibid.* αὐτοῦ τὴν καρδίαν P. 4. ἠβούλου P, ἠπήθησας m. V, Ἀ. ἀνένευσας. Συ. ἠπειθήσας m. P. *ibid.* αὐτοὺς P. 5. ἀποκτεινῶ P. 7. Ἀ. πέτρον. Σ. ψῆφον πετρίνην. Θ. ἀκρότομον m. P. 9. καὶ ἔστη V. 10. μου om. V. *ibid.* ὁ ἄγγελος — μου om. V. 12. Μωῦσῆ PV. 15. πρὸς αὐτὸν om. V. 17. πᾶσαν om. P. 18. ταῦτα om. P. 19. παντὸς om. P, 20. ὁ λαὸς om. P. *ibid.* ὁ θεὸς] κύριος P.

cies ea coram Pharaone. Ego vero indurabo illius cor, et non dimittet populum. Tu autem dices Pharaoni: Haec dicit Dominus, Filius primogenitus meus Israel. Dixit autem tibi, Dimitte populum meum, ut mihi serviat. Tu vero non volebas dimittere ipsos, vide igitur, ego interficiam filium tuum primogenitum. Factum est autem in via, in diversorio, occurrit illi Angelus Domini, et quaerebat interficere illum. Et accipiens Sephora petram, circumcidit praeputium filii sui, et procidit ad pedes suos: et dixit: *Stetit sanguis circumcisionis filii mei.* Et abiit ab eo Angelus: quoniam dixit: *Stetit sanguis circumcisionis filii mei.* Dixit autem Dominus ad Aaron: *Abi in occursum Moysi in desertum.* Et abiit, et obviavit illi in monte Dei, et osculati sunt invicem. Et narravit Moyses Aaron omnes sermones Domini, quos misit ad eum, et omnia signa quae mandavit ei. Abiit autem Moyses et Aaron, et congregaverunt seniores filiorum Israel. Et locutus est Aaron omnia verba, quae locutus est Deus ad Moysen, et fecit signa coram populo. Et credidit populus, et laetatus est; quod visitavit Dominus filios Israel, et quod

υἱοὺς Ἰσραὴλ καὶ ὅτι εἶδεν αὐτῶν τὴν θλῖψιν. κύψας δὲ ὁ λαὸς προσεκύνησεν. καὶ μετὰ ταῦτα εἰσῆλθε Μωϋσῆς καὶ Ἀαρὼν πρὸς Φαραώ, καὶ εἶπαν αὐτῷ, Τάδε λέγει κύριος ὁ θεὸς Ἰσραήλ. Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα ἑορτάσῃ μοι ἐν τῇ ἐρήμῳ. καὶ εἶπε Φαραώ, Τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ, ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραήλ; οὐκ οἶδα τὸν κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ. καὶ λέγουσιν αὐτῷ, Ὁ θεὸς τῶν Ἑβραίων προσκέκληται ἡμᾶς. πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον, ὅπως θύσωμεν κυρίῳ τῷ θεῷ ἡμῶν, μήποτε
V 56 συναντήσῃ ἡμῖν θάνατος ἢ φόνος. καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς
D Αἰγύπτου, Ἵνατί, Μωϋσῆ καὶ Ἀαρών, διαστρέφετε τὸν λαὸν ἀπὸ τῶν ἔργων; ἀπέλθατε ἕκαστος ὑμῶν πρὸς τὰ ἔργα αὐτοῦ.

Καὶ μετὰ βραχέα. Ἑώρων δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ἰσραὴλ ἑαυτοὺς ἐν κακοῖς, λέγοντες, Οὐκ ἀπολείψετε ἀπὸ τῆς πλινθείας τὸ καθῆκον τῇ ἡμέρᾳ. συνήντησαν δὲ Μωϋσεῖ καὶ Ἀαρὼν ἐρχομένοις εἰς συνάντησιν αὐτοῖς, ἐκπορευομένων αὐτῶν ἀπὸ Φαραώ. καὶ εἶπαν αὐτοῖς, Ἐφίδοι ὁ θεὸς ὑμᾶς καὶ κρίναι, ὅτι ἐβδελύξατε τὴν ὀσμὴν ἡμῶν ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, δοῦναι ῥομφαίαν εἰς τὰς χεῖρας αὐτοῦ

2. προσεκύνησαν P. *ibid.* καὶ Ἀαρὼν om. V. 3. εἶπεν V. 4. ἑορτάσωσιν P, ἑορτάσει μοι V. 5. οὗ εἰσακούσομαι] οὐκ ἀκούσωμαι V. 9. κυρίῳ om. P. 10. ὁ om. P. 11. ἵνατί om. V. *ibid.* διαστρέφετε] Ἀ. ἀποπετάζετε. Σ. ἀποστρέφετε. Θ. διασκεδάζετε m. P. 12. ἐπέλθατε V, ἀπέλθετε P. 13. Ἀρχὴ εἰσόδου Μωϋσέως καὶ Ἀαρὼν πρὸς Φαραώ. ἀθέατα (ἀθεάτης V) δὲ Φαραὼ καὶ ἐπιτίμια πρὸς αὐτοὺς καὶ προσθήκας κακῶσαι (προσθήκη κακώσεως V) τοῦ Ἰσραὴλ καὶ βαρυλογεῖ (βαρυλογία V) τοῦ Ἰσραὴλ πρὸς Μωϋσῆν καὶ Ἀαρών. m. PV. 14. ὑπολείψετε V. *ib.* πληνθίας P. 15. Μωυσῇ P. 17. εἶπον P. *ib.* ἐπίδοι P, ἐφείδοι V. 18. ἐβδέξατε V. 19. αὐτοῦ, τοῦ ἀποκτεῖναι P.

vidit eorum tribulationem. Inclinatus autem populus adoraverunt. Et post haec ingressus est Moyses et Aaron ad Pharaonem, et dixerunt ei: *Haec dicit Dominus Deus Israel: Dimitte populum meum, ut festum agant in deserto.* Et dixit Pharao: *Quis est, cujus audiam vocem ejus, ut dimittam filios Israel? non novi Dominum; et Israel non dimittam.* Et dicunt ei: *Deus Hebraeorum vocavit nos. Ibimus igitur viam trium dierum in desertum, ut sacrificemus Deo nostro; ne forte occurrat nobis mors, vel caedes.* Et dixit eis Rex Aegypti: *Cur Moyses et Aaron avertitis populum ab opèribus: recedite unusquisque vestrum ad opera sua.*

Et post pauca. Videbant autem Scribae filiorum Israel seipsos in malis dicentes: *Non relinquetis a lateritio quod facitis, quod pertinet ad diem.* Occurrerunt autem Moysi et Aaron venientibus in occursum eis, exeuntibus illis a Pharaone, et dixerunt eis: *Videat Deus vos, et judicet, quod * abominati estis odorem nostrum coram Pharaone, et coram*

* putere fecistis. foetere *vulg.*

ἀποκτεῖναι ἡμᾶς. ἐπέστρεψε δὲ Μωϋσῆς πρὸς κύριον, καὶ εἶπε, Κύριε, διὰ τί ἐκάκωσας τὸν λαὸν σου τοῦτον, καὶ ἵνατί ἀπέσταλκάς P 69
με, καὶ ἀφ' οὗ εἰσπεπόρευμαι πρὸς Φαραὼ λαλῆσαι ἐπὶ τῷ σῷ ὀνόματι, ἐκάκωσε τὸν λαὸν τοῦτον, καὶ οὐκ ἐῤῥύσω τὸν λαόν σου. R 162
καὶ εἶπε κύριος πρὸς Μωϋσῆν, Ἤδη ὄψει ἃ ποιήσω τῷ Φαραώ. ἐν γὰρ χειρὶ κραταιᾷ ἐξαποστελεῖ αὐτοὺς καὶ ἐν βραχίονι ὑψηλῷ ἐκβαλεῖ αὐτοὺς ἐκ τῆς γῆς αὐτοῦ. ἐλάλησε δὲ ὁ θεὸς πρὸς Μωϋσῆν καὶ εἶπε πρὸς αὐτόν, Ἐγὼ κύριος, καὶ ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, θεὸς ὢν αὐτῶν. καὶ τὸ ὄνομά μου κύριος οὐκ ἐδήλωσα αὐτοῖς. καὶ ἔστησα τὴν διαθήκην μου πρὸς αὐτούς, ὥστε δοῦναι αὐτοῖς τὴν γῆν τῶν Χαναναίων, τὴν γῆν ἣν παρῳκήκασιν καὶ παρῴκησαν ἐπ' αὐτῆς. καὶ ἐγὼ εἰσή- B
κουσα τὸν στεναγμὸν τῶν υἱῶν Ἰσραήλ, ὃν οἱ Αἰγύπτιοι καταδουλοῦνται αὐτούς, καὶ ἐμνήσθην τῆς διαθήκης ὑμῶν. Βάδιζε, εἶπον τοῖς υἱοῖς Ἰσραὴλ λέγων, Ἐγὰ κύριος, καὶ ἐξάξω ὑμᾶς ἀπὸ τῆς δυναστείας τῶν Αἰγυπτίων, καὶ ῥύσομαι ὑμᾶς ἐκ τῆς δουλείας αὐτῶν, καὶ λυτρώσομαι ὑμᾶς ἐν βραχίονι ὑψηλῷ καὶ κρίσει μεγάλῃ, καὶ λήψομαι ὑμᾶς εἰς λαὸν ἐμαυτῷ καὶ ἔσομαι ὑμῶν θεός, καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου καὶ ἐκ τῆς δυναστείας τῶν Αἰγυπτίων. καὶ εἰσ-

1. ὑμᾶς P. ib. κύριον] τὸν θεὸν P. 4. ἐρύσω P. 5. πρὸς τὸν M. P. 12. καὶ π.] ἐν ᾗ π. P. 13. τῶν στεναγμῶν V et codex Augustanus: correxit R. ib. κατεδουλοῦντο m. P. 14. ὑμῶν] μου P. 15. λέγων om. V. ib. τῆς δυναστείας] δουλείας P. 16. δουλείας], δυναστείας P. 18. ἐμαυτῷ εἰς λαὸν P. 20. ἐκ γῆς Αἰγύπτου καὶ om. P.

servis ejus, ut det gladium in manus ejus, ut occidat nos. Conversus est autem Moyses ad Deum, et dixit: *Domine, quare afflixisti populum hunc? et cur misisti me? Et ex quo ingressus sum ad Pharaonem, ut loquerer in nomine tuo, afflixit populum hunc, et non liberasti populum tuum.* Et dixit Dominus ad Moysen: *Jam videbis quae faciam Pharaoni. In manu enim valida, et in brachio excelso ejiciet eos de terra sua.* Locutus est autem Dominus ad Moysen, et dixit ad eum: *Ego Dominus. Et apparui ad Abraham, et Isaac, et Jacob, Deus existens eorum. Et nomen meum Dominus non manifestavi eis. Et constitui foedus meum cum eis, ut darem eis terram Chananaeorum, terram quam habitaverunt in qua habitaverunt in ea. Et ego audivi gemitum filiorum Israel, quae Aegyptii in servitutem redegerunt eos, et recordatus sum foederis mei. Vade, loquere filiis Israel, dicens: Ego Dominus, et educam vos a servitute Aegyptiorum: et liberabo vos de potentia eorum, et redimam vos in brachio excelso et judicio magno. Et accipiam vos mihi in populum, et ero vester Deus: et cognoscetis, quod ego Dominus Deus vester, educens vos de potentia Aegyptiorum. Et adducam vos in terram, in quam ex-*

ἄξω ὑμᾶς εἰς τὴν γῆν εἰς ἣν ἐξέτεινα τὴν χεῖρά μου δοῦναι αὐ-
C τὴν τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακώβ. καὶ δώσω αὐτὴν
ὑμῖν ἐν κλήρῳ ἐγὼ κύριος.

Ἐλάλησε δὲ Μωϋσῆς οὕτω τοῖς υἱοῖς Ἰσραήλ, καὶ οὐκ εἰσή-
κουσαν Μωϋσῆ ἀπὸ τῆς ὀλιγοψυχίας καὶ ἀπὸ τῶν ἔργων τῶν 5
σκληρῶν. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν λέγων, Εἴσελθε, λά-
λησον πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, ἵνα ἐξαποστείλῃ τοὺς
υἱοὺς Ἰσραὴλ ἐκ τῆς γῆς αὐτοῦ. ἐλάλησε δὲ Μωϋσῆς ἐναντίον
κυρίου λέγων, Ἰδοὺ οἱ υἱοὶ Ἰσραὴλ οὐκ εἰσήκουσάν μου· πῶς
εἰσακούσεταί μου Φαραώ; ἐγὼ δὲ ἄλογός εἰμι. εἶπε δὲ κύριος 10
πρὸς Μωϋσῆν καὶ Ἀαρὼν καὶ συνέταξεν αὐτοῖς πρὸς Φαραὼ
βασιλέα Αἰγύπτου, ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς
Αἰγύπτου.

D Καὶ μετ' ὀλίγα. Μωϋσῆς δὲ ἦν ἐτῶν ὀγδοήκοντα, Ἀαρὼν
δὲ ὁ ἀδελφὸς αὐτοῦ ὀγδοήκοντα τριῶν ἦν ἐτῶν, ἡνίκα ἐλάλησαν 15
πρὸς Φαραώ. καὶ εἶπε κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν λέγων, Καὶ
ἐὰν λαλήσῃ πρὸς ὑμᾶς Φαραὼ λέγων, Δότε ἡμῖν σημεῖον ἢ τέρας.
καὶ ἐρεῖς Ἀαρὼν τῷ ἀδελφῷ σου, Λάβε τὴν ῥάβδον, καὶ ῥῖψον
R 164 αὐτὴν ἐπὶ τὴν γῆν ἐναντίον Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ,
καὶ ἔσται δράκων. εἰσῆλθεν δὲ Μωϋσῆς καὶ Ἀαρὼν ἐναντίον 20

1. εἰς ἣν] ἐφ' ἣν P. 2. καὶ δώσω — κλήρῳ om. V. 4. οὕτως P. 8. ἔναντι P. 9. λέγων et οἱ om. P. ib. πῶς] καὶ πῶς P. 10. Φαραώ ante εἰσακούσεται ponit P. Φαραῶ saepius V. ib. ἄλογος. Ἀ. ἄλογος χείλεσιν. Σ. οὐκ εἰμὶ καθαρὸς τῷ φθέγματι. Θ. ἀπερίτμητος τοῖς χείλεσιν. LXX. m. P. 12. ἵνα ἐξαγάγῃ ὥστε P. 15. ὁ ἀδελφὸς αὐτοῦ om. P. ib. ἦν om. P. 17. λαλήσει PV. 19. ἐπὶ τὴν γῆν om. P. ib. καὶ ἐναντίον τῶν P. 20. εἰσῆλθε Μωϋσῆς P.

tendi manum meam, ut darem eam Abraham, Isaac et Jacob. Et dabo eam vobis in sorte: ego Dominus.

Locutus est autem Moyses sic filiis Israel: et non audiverunt Moysen prae pusillanimitate, et prae operibus duris. Ait autem Dominus ad Moysen, dicens: *Ingredere, loquere ad Pharaonem Regem Aegypti, ut dimittat filios Israel de terra sua.* Locutus est autem Moyses coram Domino dicens: *Ecce filii Israel non audiverunt me, et quomodo Pharao audiet me? ego enim balbus sum.* Dixit autem Dominus ad Moysen et Aaron: et mandavit eis ad Pharaonem Regem Aegypti: ut educat filios Israel de terra Aegypti. Et post pauca.

Moyses autem erat annorum octoginta, Aaron autem octoginta trium annorum, quando locuti sunt ad Pharaonem. Et ait Dominus ad Moysen et Aaron, dicens: *Et si loquitur ad vos Pharao dicens: Date nobis signum aut portentum. Et dices Aaron fratri tuo: Accipe virgam, et projice eam coram Pharaone, et coram servis ejus, et erit draco.* Ingres-

Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ, καὶ ἐποίησαν οὕτως, καθάπερ ἐνετείλατο αὐτοῖς κύριος, καὶ ἔῤῥιψεν Ἀαρὼν τὴν ῥάβδον αὐτοῦ ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ ἐγένετο δράκων. συνεκάλεσε δὲ Φαραὼ τοὺς σοφιστὰς καὶ τοὺς φαρμακούς, καὶ ἐποίησαν καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν ὡσαύτως, καὶ ἔῤῥιψεν ἕκαστος τὴν ῥάβδον αὐτοῦ, καὶ ἐγένοντο δράκοντες. καὶ κατέπιεν ἡ ῥάβδος Ἀαρὼν τὰς ἐκείνων ῥάβδους. καὶ κατίσχυσεν ἡ καρδία Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησεν αὐτοῖς κύριος. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Βεβάρυνται ἡ καρδία Φαραὼ τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαόν. βάδισον πρὸς Φαραὼ τὸ πρωί, ἰδοὺ αὐτὸς ἐκπορεύεται ἐπὶ τὸ ὕδωρ. καὶ σὺ ἔσῃ συναντῶν αὐτῷ ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ, καὶ τὴν ῥάβδον ταύτην τὴν στραφεῖσαν εἰς ὄφιν λήψῃ ἐν τῇ χειρί σου, καὶ ἐρεῖς πρὸς αὐτόν, Κύριος ὁ θεὸς τῶν Ἑβραίων ἀπέσταλκέ με πρὸς σὲ λέγων, Ἀπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσί μοι ἐν τῇ ἐρήμῳ, καὶ ἰδοὺ οὐκ εἰσήκουσας ἕως τούτου. τάδε λέγει κύριος, Ἐν τούτῳ γνώσει ὅτι ἐγὼ κύριος· ἰδοὺ ἐγὼ τύπτω τῇ ῥάβδῳ τῇ ἐν τῇ χειρί μου ἐπὶ τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ, καὶ μεταβαλεῖ εἰς αἷμα, καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ τελευτήσουσι, καὶ ἐποζέσει ὁ ποταμός, καὶ οὐ δυνήσονται οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Εἶπον Ἀαρὼν τῷ ἀδελφῷ σου, Λάβε τὴν

P 70
V 57
B

1. καὶ τῶν θ. αὐτοῦ om. V. 3. αὐτοῦ prius om. P. 6. ἔῤῥιψαν P. 10. βεβάρυται P. 11. τὸν Φαραὼ P. *ib.* τὸ] τῷ P. 12. σὺ ἔσῃ] στήσῃ P. 13. ταύτην om. P. 14. λήψει V. 15. ἐξαπόστειλον P. 20. τελευτήσωσι V. *ibid.* ὑποζέσει P.

sus est autem Moyses et Aaron coram Pharaone et servis ejus, et fecerunt sic, sicut praecepit eis Dominus, et projecit Aaron virgam coram Pharaone, et coram servis ejus, et facta est draco. Convocavit autem Pharao sapientes et veneficos, et fecerunt, et incantatores Aegyptiorum incantationibus suis similiter. Et projecerunt unusquisque virgam suam, et factae sunt dracones: et devoravit virga Aaron illorum virgas. Et induratum est cor Pharaonis, et non audivit illos, sicut locutus est eis Dominus. Dixit autem Dominus ad Moysen: *Aggravatum est cor Pharaonis, ut non dimittat populum. Vade ad Pharaonem mane, ecce ipse egredietur ad aquam, et stabis obvians ei super labium fluminis; et virgam conversam in colubrum accipies in manu tua, et dices ad eum: Dominus Deus Hebraeorum misit me ad te dicens: Dimitte populum meum, et serviant mihi in deserto, et ecce non audivisti usque huc. Haec dicit Dominus: Ecce ego percutiam virga, quae in manu mea, in aquam quae in fluvio, et vertetur in sanguinem. Et pisces qui in flumine, morientur: et fervebit fluvius: et non poterunt Aegyptii bibere aquam a flumine.* Dixit autem Dominus ad Moysen: *Dic Aaron fratri tuo; accipe virgam*

ῥάβδον σου καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὰ ὕδατα Αἰγύπτου καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν καὶ ἐπὶ τὰς διώρυγας αὐτῶν καὶ ἐπὶ τὰ ἕλη αὐτῶν καὶ ἐπὶ πᾶν συνεστηκὸς ὕδωρ αὐτῶν, καὶ ἔσται αἷμα. καὶ ἐγένετο αἷμα ἐν πάσῃ γῇ Αἰγύπτῳ, ἔν τε τοῖς ξύλοις
C καὶ ἐν τοῖς λίθοις. καὶ ἐποίησαν οὕτως Μωϋσῆς καὶ Ἀαρών, καθάπερ ἐνετείλατο κύριος αὐτοῖς. καὶ ἐπάρας Ἀαρὼν τὴν ῥάβδον αὐτοῦ ἐπάταξε τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ μετέβαλε πᾶν τὸ ὕδωρ τὸ ἐν ποταμῷ εἰς αἷμα. καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ ἐτελεύτησαν, καὶ ἐπώζεσεν ὁ ποταμός, καὶ οὐκ ἠδύναντο οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ, καὶ ἦν τὸ αἷμα ἐν πάσῃ γῇ Αἰγύ-
R 166 πτῳ. ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν, καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ εἶπεν κύριος. ἐπιστραφεὶς δὲ Φαραὼ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ· καὶ οὐκ ἐπέστησε τὸν νοῦν
D αὐτοῦ οὐδὲ ἐπὶ ταῦτο. ὤρυξαν δὲ πάντες οἱ Αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ, ὥστε πιεῖν ὕδωρ, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ. καὶ ἀνεπληρώθησαν ἑπτὰ ἡμέραι μετὰ τὸ πατάξαι κύριον τὸν ποταμόν.

Εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Εἴσελθε πρὸς Φαραώ, καὶ ἐρεῖς πρὸς αὐτόν, Τάδε λέγει κύριος, Ἐξαπόστειλον τὸν λαόν

2. διορυχὰς V. 4. τῇ γῇ Αἰγύπτου P. 5. ἐν om. P. 6. αὐτοῖς κύριος P. 11. ἐκ] ἀπὸ P. ibid. πάσῃ τῇ γῇ Αἰγυπτίων P, πάσῃ τῇ γῇ Αἰγύπτου R. 15. εἰσῆλθεν — αὐτοῦ cum lacuna om. V.

tuam, et extende manum tuam super aquas Aegypti, et super fluvios eorum, et super rivos eorum, et super paludes corum, et super omnem aquam congregatam: et erit sanguis. Et fuit sanguis in omni terra Aegypti, inque lignis et lapidibus. Et fecerunt sic Moyses et Aaron, sicut praeceperat eis Dominus. Et elevans Aaron virgam suam, percussit aquam in flumine coram Pharaone, et coram servis ejus, et conversa est tota aqua, quae in flumine, in sanguinem. Et pisces, qui in flumine, mortui sunt: et computruit flumen, et non potuerunt Aegyptii bibere aquam a flumine, et erat sanguis in omni terra Aegypti. Fecerunt autem similiter, et incantatores Aegyptiorum incantationibus suis. Et induratum est cor Pharaonis, et non audivit eos, sicut dixit Dominus. Conversus autem Pharao ingressus est in domum suam: et non apposuit mentem suam neque in hoc. Foderunt autem omnes Aegyptii per circuitum fluminis, ut biberent aquam; et non poterant bibere aquam a flumine. Et impleti sunt septem dies postquam percussit Dominus flumen.

Dixit autem Dominus ad Moysen: *Ingredere ad Pharaonem, et dices ad eum: Haec dicit Dominus, Dimitte populum meum, ut mihi ser-*

μου, ἵνα μοι λατρεύσωσιν. εἰ δὲ μὴ βούλει σὺ ἐξαποστεῖλαι, ἰδοὺ ἐγὼ τύπτω πάντα τὰ ὅριά σου βατράχοις, καὶ ἐξερεύξεται ὁ ποταμὸς βατράχους, καὶ ἀναβάντες εἰσελεύσονται εἰς τοὺς οἴκους σου καὶ εἰς τὰ ταμεῖα τῶν κοιτώνων σου καὶ ἐπὶ τῶν κλινῶν σου P 71
καὶ εἰς τοὺς οἴκους τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ σου καὶ ἐν τοῖς φυράμασί σου καὶ ἐν τοῖς κλιβάνοις σου, καὶ ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τοὺς θεράποντάς σου ἀναβήσονται οἱ βάτραχοι. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Εἶπον Ἀαρὼν τῷ ἀδελφῷ σου, Ἔκτεινον τῇ χειρί σου τὴν ῥάβδον σου ἐπὶ τοὺς ποταμοὺς καὶ ἐπὶ τὰς διώρυγας καὶ ἐπὶ τὰ ἕλη καὶ ἀνάγαγε τοὺς βατράχους. καὶ ἐξέτεινεν Ἀαρὼν τὴν χεῖρα ἐπὶ τὰ ὕδατα Αἰγύπτου καὶ ἀνήγαγε τοὺς βατράχους, καὶ ἀνεβιβάσθη ὁ βάτραχος καὶ ἐκάλυψε τὴν γῆν Αἰγύπτου. ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν, καὶ ἀνήγαγον τοὺς βατράχους ἐπὶ τὴν γῆν Αἰγύπτου. καὶ ἐκάλεσε Φαραὼ Μωϋσῆν καὶ Ἀαρών, καὶ εἶπεν, Εὔξασθε περὶ V 58 B
ἐμοῦ πρὸς κύριον, καὶ περιελέτω τοὺς βατράχους ἀπ' ἐμοῦ καὶ ἀπὸ τοῦ ἐμοῦ λαοῦ, καὶ ἐξαποστελῶ τὸν λαόν, καὶ θύσουσι κυρίῳ. εἶπε δὲ Μωϋσῆς πρὸς Φαραώ, Τάξαι πρός με πότε εὔξομαι περί σου καὶ περὶ τῶν θεραπόντων σου καὶ περὶ τοῦ λαοῦ σου ἀφανίσαι τοὺς βατράχους ἀπὸ σοῦ καὶ ἀπὸ λαοῦ σου καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν, πλὴν ἐν ποταμῷ ὑπολειφθήσονται. ὁ δὲ εἶπεν, Εἰς αὔριον. εἶπεν οὖν, Ὡς εἴρηκας, ἵνα εἰδῇς ὅτι οὐκ

1. βούλει m. PR, βούλῃ PV. 2. ἐγὼ om. P. 3. τοὺς βατράχους P. 9. σου om. Exod. VIII. 5. 10. σου om. P. ibid. διορυχὰς V. 13. πᾶσαν τὴν P. 15. καὶ ἐκάλεσε δὲ V. 16. εὔξασθε πρὸς τὸν κύριον P. 18. τοῦ λαοῦ μου P. ib. θύσωσι V. 22. ἐκ] ἀπὸ P.

viant. Si autem non volueris tu dimittere, ecce ego percutio omnes terminos tuos ranis. Et eructabit fluvius ranas, et ascendentes ingredientur in domos tuas, et in penetralia cubiculorum tuorum, et in lectos tuos, et in massis tuis, et in furnis tuis, et in te, et in populum tuum, et in servos tuos ascendent ranae. Dixit autem Dominus ad Moysen: *Dic Aaron fratri tuo: et extende manu tua virgam super fluvios, et super rivos, et super paludes, et educ ranas.* Et extendit Aaron manum super aquas Aegypti, et eduxit ranas: et ascendit rana, et operuit totam terram Aegypti. Fecerunt autem similiter, et incantatores Aegyptiorum incantationibus suis, et eduxerunt ranas super terram Aegypti. Et vocavit Pharao Moysen et Aaron, et dixit: *Orate ad Dominum, et auferat ranas a me, et a populo meo, et dimittam populum, et sacrificabunt Domino.* Dixit autem Moyses ad Pharaonem: *Constitue ad me, quando orabo pro te, et pro servis tuis, et pro populo tuo, et ad delendum ranas a te, et a populo tuo, et a domibus vestris: veruntamen in fluvio remanebunt.* Ille autem dixit: *Cras.* Dixit igitur: *Ut dixisti, ut scias quia non est*

ἔστιν ἄλλος πλὴν κυρίου. καὶ περιαιρεθήσονται οἱ βάτραχοι ἀπὸ σοῦ καὶ ἀπὸ τῶν οἰκιῶν ὑμῶν καὶ ἐκ τῶν ἐπαύλεων καὶ ἀπὸ τῶν θεραπόντων σου καὶ ἀπὸ τοῦ λαοῦ σου, πλὴν ἐν τῷ ποταμῷ ὑπολειφθήσονται.

C R 168 Ἐξῆλθε δὲ Μωϋσῆς καὶ Ἀαρὼν ἀπὸ Φαραώ. καὶ ἀνεβόησε Μωϋσῆς πρὸς κύριον περὶ τοῦ ὁρισμοῦ τῶν βατράχων, ὡς ἐτάξατο Φαραώ. ἐποίησε δὲ κύριος, καθάπερ εἶπε Μωϋσῆς, καὶ ἐτελεύτησαν οἱ βάτραχοι ἐκ τῶν οἰκιῶν καὶ ἐκ τῶν ἐπαύλεων καὶ ἐκ τῶν ἀγρῶν, καὶ συνήγαγον αὐτοὺς θημωνίας θημωνίας, καὶ ἐπώζεσεν ἡ γῆ. ἰδὼν δὲ Φαραὼ ὅτι γέγονεν ἀνάψυξις, ἐβαρύνθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησεν κύριος.

Εἶτα ἐπῆλθον τοῖς Αἰγυπτίοις καὶ ἄλλαι πληγαί.

γ'. Σκνίψ, ὡς ἀπροβλέπτοις καὶ ἀνηκόοις καὶ ἀδιακρίτοις καὶ ἀνομολόγοις.

D δ'. Κυνόμυια, ὡς ἀχρώμοις καὶ ἀναισθήτοις.

ε'. Θάνατος πάντων τῶν τετραπόδων διὰ τὴν πρὸς αὐτὰ πεποίθησιν.

ς'. Ἕλκη, διὰ τὸ αὐχεῖν ἐν εὐρωστίᾳ.

ζ'. Χάλαζα καὶ πῦρ, διὰ τὸ αὐχεῖν ὡς ἐν εὐθηνίᾳ ἀγαθῇ.

η'. Ἀκρίς. ἀβασίλευτόν ἐστιν ἀκρίς, ὡς οὐ κυριεῦον. τὰ

στειλεν Ἀμεσσίας ὁ ἱερεὺς Βεθὴλ πρὸς Ἱεροβοὰλ βασιλέα Ἰσραὴλ λέγων, Συστροφὰς ποιεῖται κατὰ σοῦ Ἀμὼς ἐν μέσῳ οἴκου Ἰσραήλ, καὶ οὐ μὴ δυνήσεται ἡ γῆ ὑπενεγκεῖν ἅπαντας τοὺς λόγους αὐτοῦ. διότι τάδε λέγει Ἀμώς, Ἐν ῥομφαίᾳ τελευτήσει Ἱεροβοάλ, ὁ δὲ B
Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ. καὶ εἶπεν Ἀμεσσίας πρὸς Ἀμώς, Ὁ ὁρῶν βάδιζε, ἐκχώρησον εἰς γῆν Ἰούδα, καὶ ἐκεῖ καταβιοῦ, καὶ ἐκεῖ προφητεύσεις· εἰς δὲ Βεθὴλ οὐκέτι οὐ μὴ προσθῇς τοῦ προφητεῦσαι, ὅτι ἁγίασμα βασιλέως ἐστίν, ὅτι οἶκος βασιλείας ἐστίν. καὶ ἀπεκρίθη Ἀμὼς καὶ εἶπεν πρὸς Ἀμεσσίαν, Οὐκ ἤμην προφήτης ἐγὼ οὐδὲ υἱὸς προφήτου, ἀλλ' ἢ αἰπόλος ἤμην καὶ κνίζων συκάμινα, καὶ ἀνέλαβέν με κύριος ἐκ τῶν προβάτων, καὶ εἶπε κύριος πρός με, Βάδιζε, προφήτευσον ἐπὶ τὸν λαόν μου Ἰσραήλ. καὶ νῦν ἄκουε λόγον κυρίου, Σὺ λέγεις, μὴ προφήτευε ἐπὶ Ἰσραήλ, καὶ οὐ μὴ ὀχλαγωγήσετε ἐπὶ τὸν
οἶκον Ἰακώβ. διὰ τοῦτο τάδε λέγει κύριος, Ἡ γυνή σου ἐν τῇ C
πόλει πορνεύσει καὶ οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου ἐν ῥομφαίᾳ πεσοῦνται, καὶ ἡ γῆ σου ἐν σχοινίῳ συμμετρηθήσεται, καὶ σὺ ἐν γῇ ἀκαθάρτῳ τελευτήσεις. ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ, οὕτως ἔδειξέ μοι κύριος. ἰδοὺ ἄγγος ἴξευτοῦ, καὶ εἶπεν, Τί σὺ βλέπεις, Ἀμώς; καὶ εἶπα, Ἄγγος ἰξευτοῦ. καὶ εἶπε κύριος πρός με, Ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου Ἰσραήλ, V 86
οὐκέτι οὐ μὴ προσθῶ τοῦ παρελθεῖν αὐτόν, καὶ ὀλολύξει τὰ φατνώ-

7. κατάβηθι m. P. 8. προσθεὶς P. *ibid.* ἔτασμα m. P. 9. καὶ prius om. P. 10. ἀλλ' ἢ] ἀλλὰ P. 11. καὶ prius om. P. 14. ὀχλαγωγήσεις P. 19. καὶ ἰδοὺ P. 20. εἶπεν κύριος P. 21. τὸν Ἰσραὴλ P.

Regem Israel, dicens: *Rebellavit contra te Amos in medio domus Israel, non poterit terra sustinere universos sermones ejus.* Haec enim dicit Amos: *In gladio morietur Hieroboam, et Israel captivus migrabit de terra sua.* Et dixit Amessias ad Amos: *Qui vides, gradere, fuge in terram Juda, et comede ibi panem, et prophetabis ibi, et in Bethel non adjicies ultra ut prophetes, quia sanctificatio Regis est, et domus regni est.* Responditque Amos, et dixit ad Amessiam: *Non sum propheta et filius prophetae, sed armentarius ego sum, vellicans sycomoros. Et tulit me Dominus Deus cum sequerer gregem, et dixit dominus ad me, Vade, prophetа ad populum meum Israel, et nunc audi verbum Domini: Tu dicis, non prophetabis super Israel, et non turbabis super domum Jacob. Propter hoc haec dixit Dominus: Uxor tua in civitate fornicabitur, et filii tui et filiae tuae in gladio cadent, et humus tua funiculo metietur, et tu in terra polluta morieris, et Israel captivus migrabit de terra sua. Haec ostendit mihi Dominus Deus meus. Et ecce uncinus pomorum, et dixit: Quid tu vides, Amos. Et dixi: uncinum pomorum. Et dixit Dominus ad me, venit finis super populum meum Israel, non adjiciam ultra ut pertranseam eum, et stridebunt cardines templi in die illa, dicit Dominus Deus.* Et

ματα τοῦ ναοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος. καὶ μετὰ βραχέα, Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς καὶ τὰ ἀνεσκαμμένα αὐτῆς ἀναστήσω, καὶ ἀνοικοδομήσω αὐτήν, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, ὅπως ἐκζητήσωσί με οἱ κατάλοιποι τῶν ἀνθρώπων, καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπὶ αὐτούς, λέγει κύριος ὁ ποιῶν ταῦτα.

D

μ', μα'.

Ἑβραίων τοῦ Ἰσραήλ. Μετὰ Ἱεροβαὰλ ιγ' ἐβασίλευσεν τοῦ Ἰσραὴλ Μαναὴμ ἔτη ιβ'. ὁμοῦ σιβ'.

α', β', γ', δ', ε'.

R 252 P 107 Φοὺλ βασιλεὺς Ἀσσυρίων ἐπιβὰς τῇ Σαμαρείᾳ, λαβὼν παρὰ Μαναὴμ τοῦ βασιλέως Ἰσραὴλ ͵α τάλαντα ἀργυρίου, ἀνεχώρησεν.

ς', ζ', η', θ', ι', ια', ιβ'.

Ἐν ταῖς ἡμέραις Μαναὴμ βασιλέως Ἰσραήλ, ἤγουν τῶν δέκα φυλῶν, ἀνέβη Φοὺλ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὴν γῆν, καὶ ἔδωκεν αὐτῷ Μαναὴμ ͵α τάλαντα ἀργυρίου τοῦ εἶναι χεῖρα αὐτοῦ μετ' αὐτοῦ, διαγράψας τὸν λαὸν καὶ πάντα δυνατόν, καὶ λαβὼν τὸ ἀργύριον ὁ Ἀσσύριος ὑπέστρεψεν εἰς τὴν χώραν αὐτοῦ.

Ἑβραίων τοῦ Ἰσραήλ. Μετὰ Μαναὴμ ιδ' ἐβασίλευσεν τοῦ Ἰσραὴλ ὁ υἱὸς αὐτοῦ Φακεείας ἔτη ιβ'. ὁμοῦ σκδ'.

12. Φονᾶ PV. 16. Φονᾶ PV. Φούλ m. P.

post pauca. *In die illa suscitabo tabernaculum David, quod cecidit, et reaedificabo aperturas murorum ejus, et ea quae corruerant instaurabo, et reaedificabo illud sicut in diebus antiquis, ut requirant me reliquiae hominum, et omnes nationes, eo quod invocatum sit nomen meum super eos, dicit Dominus faciens haec.*

XL. XLI.

Post Hierobaal, XIII. regnavit super Israel Manahem annos XII. Colliguntur anni CCXII.

I. II. III. IV. V.

Phua Rex Assyriorum Samariam aggressus, acceptis a Manahem Rege Israel mille argenti talentis, recessit.

VI. VII. VIII. IX. X. XI. XII.

In diebus Manahem Regis Israel, seu decem tribuum, venit Phua Rex Assyriorum in illius ditiones, et dedit illi Manahem multa talenta argenti, ut esset ei in auxilium, descripto populo, et quovis divite. Rex autem Assyriorum accepto argento, in regionem suam reversus est.

Post Manahem, XIV. regnavit in Israel illius filius Phaceeias annis XII. Colliguntur anni CCXXIV.

α′, β′, γ′, δ′, ε′, ς′, ζ′, η′, ϑ′, ι′. B

Ἑβραίων τοῦ Ἰσραὴλ ιδ′ Ζαχαρίας μῆνας ς′. μεθ᾽ ὃν ιε′ Σελοὺμ μῆνα α′. μεθ᾽ ὃν Φακεείας υἱὸς Μαναὴμ ἔτη ι′.

ια′, ιβ′.

Οὗτος Φακεείας ἐπιβουλευθεὶς ὑπὸ Φακεὲ υἱοῦ Ῥομελίου τοῦ τριστάτου αὐτοῦ ἀπέθανεν, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ ὁ εἰρημένος Φακεὲ υἱὸς Ῥομελίου ιε′ τοῦ Ἰσραὴλ ἔτη λ′.

ὁμοῦ σνδ′.

α′, β′, γ′, δ′, ε′, ς′, ζ′, η′, ϑ′, ι′, ια′, ιβ′, ιγ′, ιδ′, ιε′, ις′, ιζ′, ιη′, ιϑ′, κ′, κα′, κβ′, κγ′, κδ′, κε′, κς′, κζ′, κη′, κϑ′, λ′. C

Ἐν ταῖς ἡμέραις Φακεὲ ἀνέβη Θεγλὰθ Φανασσὰρ βασιλεὺς Ἀσσυρίων, καὶ ἔλαβε τὴν Ἀὶν καὶ τὴν Βεδμύλχα καὶ τὴν Ἀϊνὼν καὶ τὴν Κενὲξ καὶ τὴν Ἀσὼρ καὶ τὴν Γαλαὰδ καὶ τὴν Γαδδὶ καὶ τὴν Γαλιλαίαν πᾶσαν καὶ τὴν γῆν Νεφθαλείμ, καὶ ἀπῴκισεν αὐτοὺς εἰς Ἀσσυρίους. εἶτα μετὰ ταῦτα πολεμήσας Φακεὲ υἱὸς Ῥομελίου ἅμα τῷ Ῥαασσὼν βασιλεῖ Ἀσσυρίας κατὰ τῆς Ἱερουσαλήμ, ἔλαβεν αὐτήν.

Τὸν Φακεὲ ἐπάταξεν Ὡσηὲ υἱὸς Δαλή, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ ἐν Σαμαρείᾳ ἔτη ϑ′. ὁμοῦ σξγ′. D

α′.

3. ιβ′ P. 6. ὁ εἰρημένος om. P. 7. 16. Ῥωμελίου P et infra. 12. Post ἔλαβε quae addit P πόλεις ϑ′, in margine ponit V. πόλεις repetit etiam m. R. *ib.* τὴν om. P. *ib.* Ἀὶν P. *ib.* Βεθμαλχά m. P. 14. Νεφθαλήμ P. 17. καὶ ἔλαβεν P.

I. II. III. IV. V. VI. VII. VIII. IX. X.

Hebraeorum Israelis (Rex) XIV. Zacharias, mensibus VI. Post quem Phaceeias filius Manahem an. XII. regnarunt.

XI. XII.

Hic Phaceeias insidiis Phacee filii Romeliae, ipsius Magistri militum circumventus occubuit: et loco illius regnavit Phacee filius Romeliae XV. super Israel an. XXX. Colliguntur anni CCLIV.

I. II. III. IV. V. VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV. XXVI. XXVII. XXVIII. XXIX. XXX.

In diebus Phacee, ascendit Theglath Phanassar Rex Assyriorum, et cepit urbes IX. Ain, et Bedmalcha, et Aïnon, et Chenex, et Asor, et Galaad, et Gaddi, et universam Galilaeam, et terram Nephtalim, et transtulit eorum incolas in Assyriam. Post haec deinde Phacee filius Romeliae una cum Raasson Rege Assyriae bellum movit adversus Hierusalem, eamque expugnavit.

Hosee, filius Dale, interfecit Phacee, et illius loco regnavit in Samaria an. IX. Colliguntur anni CCLXIII.

I.

R 254 Ὡσηὲ τὸ πονηρὸν ἐνώπιον κυρίου ποιήσας παρὰ πάντας τους ἔμπροσθεν αὐτοῦ εἰδώλοις ἐδούλευσεν, οἰκοδομῶν αὐτοῖς οἴκους, καὶ τὰ τέκνα αὐτοῦ διῆγεν ἐν πυρί, καὶ τὸ βδέλυγμα τῶν ἐθνῶν, καὶ ἔθυεν καὶ ἐθυμία ἐν τοῖς ὑψηλοῖς καὶ ἐν τοῖς βουνοῖς καὶ ὑποκάτω παντὸς ξύλου πυκάζοντος.

V 87 β′, γ′, δ′, ε′.

Καὶ ἐπὶ Ὡσηὲ ἀνέβη Σαλμανάσαρ βασιλεὺς Ἀσσυρίων· καὶ ἐγένετο αὐτοῦ Ὡσηὲ δοῦλος, τουτέστιν συντελεστής.

ς′, ζ′.

P 108 Ὡσηὲ βασιλεὺς Ἰσραὴλ ἀπέστειλεν πρὸς Ἀδραμελὲχ τὸν Αἰθίοπα εἰς βοήθειαν ἑαυτοῦ.

η′, θ′.

Τούτῳ τῷ θ′ ἔτει τῆς βασιλείας Ὡσηὲ υἱοῦ Δαλὴ πρώτη αἰχμαλωσία γέγονε τοῦ Ἰσραὴλ τῶν δέκα φυλῶν, βασιλευομένων μὲν ἐν Σαμαρείᾳ, νῦν δὲ μετοικισθεισῶν εἰς ὄρη Μήδων καὶ Χαλδαίων, ἐπιστρατεύσαντος τῇ Σαμαρείᾳ καὶ πολιορκήσαντος αὐτὴν Σαλμανάσαρ τοῦ τῶν Χαλδαίων βασιλέως, ὃς καὶ αὐτὸν τὸν Ὡσηὲ υἱὸν Δαλὴ βασιλέα τοῦ Ἰσραὴλ δέσμιον λαβὼν ἀπῆλθεν. ἐβασιλεύθησαν δὲ ἐν Σαμαρείᾳ ἔτεσιν διακοσίοις ἑξήκοντα τρισί.

B μετῳκίσθησαν δὲ αἱ δέκα φυλαὶ τοῦ Ἰσραὴλ ἐκ τῆς Ἰουδαίας ἀφ' οὗ μὲν οἱ πρόγονοι αὐτῶν ἐξῆλθον ἐξ Αἰγύπτου μετὰ ἔτη ͵βφ′,

3. τῶν om. P. 4. θυμία P. 13. ἔτει θ′ P. 15. μετῳκισθεισῶν P. 16. τῇ — πολ. om. P. 17. αὐτὸς P.

Hosee, malum in conspectu Dei faciens, contra quam illius decessores, idola coluit, et fana illis aedificavit, filiosque suos per ignem traduxit, et gentium abominationem, ac sacrificavit sacrificia in excelsis, et in collibus, et subter omne lignum frondosum.

II. III. IV. V.

Et Hosee aggressus est Salmanazar Rex Assyriorum, et factus est Hosee illius servus, id est Tributarius.

VI. VII.

Hosee Rex Israel misit ad Adramelech Aethiopem, quo sibi auxilio esset.

VIII. IX.

Hoc anno IX. regni Hosee filii Dale, prima contigit servitus seu captivitas decem tribuum Israel, quae in Samaria Regibus parebant. Nunc autem eae traductae sunt in Medorum et Chaldaeorum montes, Salmanasar Chaldaeorum Rege bellum iis inferente, qui Hosee filio Dale Rege Israel captivo facto, recessit. In Samaria porro CCLXIII. annis Regibus paruere. Ex Judaea vero translatae sunt X. tribus post an. DCCCCXXXII. ex quo majores earum ex Aegypto profecti erant. Ex quo autem Sa-

ἀφ' οὗ δὲ τὴν χώραν Σαμαρείας κατέσχον στρατηγήσαντος αὐτῶν Ἰησοῦ υἱοῦ Ναυῆ, εἰσὶν ἔτη ωϟβ', ἀφ' οὗ δὲ ἀποστάντες Ῥοβοὰμ τοῦ ἐκγόνου Δαβὶδ ἐβασιλεύθησαν ὑπὸ Ἱεροβοὰμ δούλου γενομένου Σολομῶνος, εἰσὶν ἔτη σξβ' καὶ μῆνες ζ', ἅτινα συντρέχει ἤγουν καταλήγει εἰς τὸ τέταρτον ἔτος Ἐζεκίου βασιλέως Ἰούδα, καθ' ὃ καὶ τὸ πάσχα σεσημείωται γεγενῆσθαι λαμπρῶς καὶ φιλοτίμως ἀπὸ Σολομῶνος. οἳ καὶ μετοικισθέντες εἰς Σαμάρειαν Χουθέοι ἐκλήθησαν, τὴν τῆς χώρας ἐν ᾗ κατῳκίσθησαν προσηγορίαν λαβόντες, διὰ τὸ ἐκ τῆς Χουθὰς οὕτω καλουμένης χώρας τότε μετατεθῆναι. ἔστι δὲ αὕτη ἡ Χουθὰς χώρα ἐν τῇ Περσίδι καὶ ποταμὸς τοῦτο ἔχων ὄνομα. καὶ μετοικισθέντες εἰς Σαμάρειαν ἕκαστος κατ' ἔθνος ἴδιον εἶχε θεόν. ὕστερον δὲ Σαμαρεῖς ἐκλήθησαν, τὴν τῆς χώρας ἐν ᾗ κατῳκίσθησαν προσηγορίαν λαβόντες. C

Τούτῳ τῷ ἔτει Σίβυλλα ἡ Ἐρυθραία ἐν Αἰγύπτῳ ἐγνωρίζετο.

Γεγόνασι δὲ καὶ ἄλλαι ια' Σίβυλλαι.

Σίβυλλα ἡ Ἑβραία.
Σίβυλλα ἡ Περσίς. R 256
Σίβυλλα ἡ Δελφίς. D
Σίβυλλα ἡ Ἀδαὴ ἡ Κιμμερία.
Σίβυλλα ἡ Σαμία.

2. ὑποστάντες P. 4. 7. Σολομῶντος P. 5. Ἐξεχίου P sola. 6. ὃν P sola. 8. ἐν ᾗ — προσηγορίαν] ἐπίκλησιν P. 10. τῆς χώρας P. 15. Ἐρυθρία V hic et p. seq. v. 7. 21. Κιμερία PV.

mariae regionem obtinuere, Jesu filio Nave eorum duce, anni DCCCXCII. computantur. Ex quo, dum defecerunt a Roboam nepote Davidis, iis dominatus est Hieroboam Solomonis servus, anni sunt CCLXII. et menses VII. qui concurrunt, seu desinunt in IV. annum Ezechiae Regis Juda, quo Pascha splendide ac magnifice celebratum esse a Solomone annotatum est. Jam vero qui in Samariam translati sunt, Chuthei sunt appellati, ex regionis nomine, quod ex Chuta, regione sic nuncupata, tunc fuerint translati. Est autem illa Chutae regio in Perside, ubi ejusdem nomenclaturae est fluvius. Cumque in Samariam fuissent deducti, unusquisque secundum gentem suum habuit Deum. Postmodum vero Samaritani appellati sunt, tracto a regione quam incoluere nomine.

Hoc anno Sibylla Erythraea in Aegypto claruit.

Fuere et aliae XI. Sibyllae.

Sibylla Hebraea.
Sibylla Persica.
Sibylla Delphica.
Sibylla Adaena, seu Cimeria.
Sibylla Samia.

Σίβυλλα ἡ Ῥοφία.
Σίβυλλα ἡ Κυμαία.
Σίβυλλα ἡ Λιβοίη.
Σίβυλλα ἡ Τρωάς.
Σίβυλλα ἡ Φρυγία.
Σίβυλλα ἡ Τιβουρτία.

Σίβυλλα ἡ Ἐρυθραία ἡ προγεγραμμένη ἦν ἀπὸ πολίχνης Ἐρυθρίας καλουμένης, ἀντικρὺ Χίου, ἡ καὶ ἑποποιὸς οὖσα, ἧς καὶ
P 109 στήλη ἐστὶν ἐν τῇ αὐτῇ Ἐρυθρίᾳ ἄχρι τοῦ νῦν κατὰ τὴν στερεὰν ἀντικρὺ Χίου.

Ἑβραίων τοῦ Ἰούδα. Μετὰ Ἰωαθὰμ ἐβασίλευσεν τῶν δύο φυλῶν Ἰούδα καὶ Βενιαμὶν Ἀχὰζ υἱὸς αὐτοῦ ἔτη ις'. ὁμοῦ ,δψξε'.

α'.

Ῥαασσὼν υἱὸς Ἀρὰμ καὶ Φακεὲ υἱὸς Ῥομελίου περιεκάθισαν τῇ Ἱερουσαλὴμ πρώτῳ ἔτει τοῦ Ἀχὰζ βασιλέως Ἰούδα, καὶ οὐκ ἴσχυσαν αὐτὴν λαβεῖν.

V 88 β'.

Οὐρίας ἀρχιερεὺς ἐγνωρίζετο καὶ Ζαχαρίας υἱὸς Βαραχίου·
B περὶ ὧν εἶπεν ὁ θεὸς τῷ Ἡσαΐᾳ, Μάρτυράς μοι πιστοὺς ποίησον τοὺς μέλλοντας προφητεύειν τῷ Ἀχὰζ τὸ Ἰδοὺ ἡ παρθένος ἐν γα-

1. Ῥοδία P. 3. Λιβοία P, Λιβοίη V, Λιβυκή m. P. 7. ἡ alterum om. P. ibid. et 9. Ἐρυθρᾷ — Ἐρυθρᾶς Schurzfleisch. Not. Bibl. Vin. p. 85. 8. καὶ] δὲ P. 9. ἐστὶν om. P. ibid. αὐτῇ om. P. 11. Βενιαμὴν PV. 15. τῷ ἔτει P. 19. εἶπεν] VIII. 2. 20. τὸ] VII. 14.

Anni a m. c.

Sibylla Rhodia.
Sibylla Cumana.
Sibylla Libyca.
Sibylla Trojana.
Sibylla Phrygia.
Sibylla Tiburtina.

Sibylla Erythraea supramemorata ex Erythria, oppidulo, e regione Chii, ita appellato, ortum duxit. Fuit porro versificatrix, ejusque statua usque hodie Erythriae e regione Chii in continenti visitur.

Post Jonatham, regnavit super duas tribus Juda et Benjamin Achaz illius filius, an. XVI. Colliguntur anni IV. MDCCLXV.

4750.

I.

6. Raasson filius Aram, et Phacee filius Romeliae, Hierusalem obsederunt anno I. Achaz Regis Juda, neque hanc potuerunt expugnare.

II.

Urias summus Pontifex agnoscebatur, ut et Zacharias filius Barachiae, de quibus dixit Deus ad Esaiam: *Testes mihi fideles facias qui*

στρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. καὶ τὸ Ταχέως σκύλευσον, ὀξέως προνόμευσον, καὶ τὰ ἑξῆς.

Προεφήτευον Ἡσαΐας, Ὡσηέ, καὶ Μιχαίας.

ς' Ὀλυμπιάς.

γ', δ', ε', ς'.

Ἀχὰζ βασιλεὺς Ἰούδα καὶ Βενιαμὶν ἀπέστειλεν ἀγγέλους πρὸς Θιλὰθ Φαλσὰρ βασιλέα Ἀσσυρίων, προτρέπων αὐτὸν καὶ R 258
λέγων, Εἰ δοῦλός σου καὶ υἱός σου ἐγώ, βοήθησόν μοι καὶ ἀνά-
βηθι καὶ ῥῦσαί με ἐκ χειρὸς Συρίας καὶ ἐκ χειρὸς βασιλέως Ἰσραήλ, C
ὅτι ἐπανέστησαν κατ' ἐμοῦ, πέμψας αὐτῷ χρυσίον καὶ ἀργύριον. καὶ δὴ ἐπείσθη αὐτῷ ὁ βασιλεὺς Ἀσσυρίων, καὶ ἀνῆλθεν ἐπὶ Δαμασκόν, καὶ συνέλαβεν αὐτήν. τὸν δὲ Φακεὲ ἐπάταξεν Ὡσηὲ υἱὸς Ἥλα, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ ἐν Σαμαρείᾳ ἔτη θ'.

ζ' Ολυμπιάς.

ζ'.

Τούτῳ τῷ ζ' ἔτει τοῦ Ἀχὰζ οἱ Ἰδουμαῖοι συμβαλόντες αὐτῷ πολλοὺς αἰχμαλώτους ἔλαβον.

η', θ', ι'.

2. προνόμωσον P. 7. Βενιαμὴν PV. 8. Θιλὰθ] Θιλαδ R.
10. Συρίας — Ἰσραήλ om. P 12. ἐπίσθη R, ἐπίστη P et V (?).
17. ζ' ἔτει] ἔτει ἑβδόμῳ P.

prophetaturi sunt Achaz: illud nempe: *Ecce virgo concipiet, et filium pa-* Anni a m. c.
riet, et vocabunt nomen ejus Emmanuel. Et illud: *Praedare celeriter, quamprimum spolia collige, etc.*

Prophetarunt Esaias, Osee, et Michaeas.

VI. Olympias.

III. IV. V. VI.

Achaz Rex Juda et Benjamin, misit nuntios ad Thilath Phalsar Regem Assyriorum, illum hisce verbis adhortatus: *Si servus tuus, et filius tuus ego sum, opitulare mihi, et accede, ac libera me, quoniam in me insurrexerunt.* Misitque illi aurum et argentum, fidemque illi adhibuit Rex Assyriorum, venitque Damascum, et urbem accepit. Osee vero filius Ela percussit Phacee, ejusque loco regnavit in Samaria annos IX.

VII. Olympias.

4756.

VII. 4.

Hoc anno Achaz VII. Idumaei praelio cum eo congressi multos captivos abduxere.

VIII. IX. X.

Τούτῳ τῷ ἔτει ἀνέβη Σαλμανύσαρ εἰς Σαμάρειαν.

D *Τούτῳ τῷ δεκάτῳ ἔτει τοῦ Ἀχὰζ καὶ τετάρτῳ ἔτει ἑβδόμης Ὀλυμπιάδος εἰκοστοτέταρτον τῆς οἰκείας ἡλικίας ἄγοντες ἐνιαυτὸν Ῥῶμος καὶ Ῥῆμος κτίζουσι τὴν Ῥώμην, ὅθεν μετεκλήθησαν Ῥωμαῖοι· οἵτινες καὶ τὰ ὅπλα τοῦ Ἡρακλέους ἀπέθεντο ἐν τῇ παρ' αὐτῶν κτισθείσῃ πόλει Ῥώμῃ, ἥτις πρώην ἐκαλεῖτο κώμη Βαλέντζια ἐν τῷ Βοαρίῳ φόρῳ. οἱ δὲ αὐτοὶ δύο ἀδελφοὶ ἀνενέωσαν τὸ λεγόμενον Παλλάντιον, τὸν βασιλικὸν οἶκον τοῦ Πάλλαντος. ἔκτισαν δὲ καὶ ναὸν μέγαν τῷ Διί, ὅντινα ἐκάλεσαν Καπετώλιον ῥωμαϊστί, ὅ ἐστιν ἡ κεφαλὴ τῆς πόλεως, ἀγαγόντες καὶ*

P 110 *τὸ Παλλάδιον ξόανον ἀπὸ πόλεως Σίλβης ἀπέθεντο αὐτὸ ἐν τῇ Ῥώμῃ. οἵτινες ἀδελφοὶ ἐν τῷ βασιλεύειν αὐτοὺς εἰς ἔχθραν ἦλθον πρὸς ἀλλήλους, καὶ ἐφονεύθη ὑπὸ Ῥώμου Ῥῆμος ὁ ἀδελφὸς αὐτοῦ· καὶ ἐβασίλευσεν μόνος Ῥῶμος. ἔξοτε δὲ ἐφόνευσεν τὸν ἴδιον ἀδελφόν, ἐσείετο πᾶσα ἡ πόλις Ῥώμη, καὶ οἱ δῆμοι αὐτῆς ἐστασίαζον, καὶ ἐγίνοντο πόλεμοι ἐμφύλιοι ἐπὶ τῆς αὐτοῦ μόνου βασιλείας. καὶ ἀπελθὼν εἰς τὸ μαντεῖον ἐπηρώτησεν διὰ τί γίνεται ἐπὶ τῆς αὐτοῦ βασιλείας ταραχή. καὶ ἐρρέθη αὐτῷ ἐκ τῆς Πυθίας ὅτι Εἰ μὴ συγκαθήσει σοι ὁ ἀδελφός σου ἐν τῷ βασιλικῷ θρόνῳ, οὐ μὴ στῇ ἡ πόλις σου Ῥώμη οὔτε ἡσυχάσει ὁ*

B *δῆμος οὔτε ὁ πόλεμος. καὶ ποιήσας τῆς εἰκόνος τοῦ αὐτοῦ ἀδελ-*

3. *εἰκοστὸν τέταρτον* P, *εἰκοστὸ τέταρτον* V. 5. *Ἡρακλέως* PV. 6. *Ῥώμης* P et eraso ς V. 8. *τὸν — Πάλλαντον* PV. Correxi auctore Malala p. 171. 7. 10. *ἡ* om. P. *ibid. καὶ*] δὲ P. Quod mihi fraudi fuit, quum Malalam ederem V nondum utens. 11. *τῆς πόλεως* P. 13. *ὁ* om. P. 19. *τῆς* om. P.

Hoc anno venit Salmanasar in Samariam.

Hoc anno Achaz x. et anno iv. Olympiadis vii. Romulus et Remus, cum annum agerent quartum et vigesimum, Romam condunt, unde nomen accepere Romani: qui quidem arma Herculis in urbe abs se condita deposuere, cum antea vicus Valentia in Foro Boario appellaretur. Duo porro isti fratres Pallantis Regiam, quae Palatium dicebatur, instaurarunt. Excitarunt etiam fanum ingens Jovi, cui Capitolii latinum nomen imposuere, quod est Caput urbis. Adducto autem Alba urbe Palladio, illud Romae collocarunt. Atque hi quidem fratres dum simul imperarent, mutuis se odiis sunt prosecuti, ac Remus a fratre Romulo interfectus est, isque solus deinceps regnavit. Verum ex quo fratrem occidit, ortus est Romae tumultus, urbisque civibus in seditiones prolapsis, eo regnante civilia bella exarsere. Ille autem ad oraculum profectus, sciscitatus est, quae causa esset cur se regnante tumultuarentur cives. Responsumque datum est ab Oraculo ejusmodi: *Nisi frater tuus tibi in regio solio assideat, nec stabit urbs Roma, nec quiescent cives, neque bellum cessabit.* Is vero confecta fratris sui, et quae vultum ejus

φοῦ ἐκτύπωμα τοῦ χαρακτῆρος αὐτοῦ χρυσοῦν στηθάριν στήλην ἔθηκεν ἐν τῷ θρόνῳ αὐτοῦ ἐν ᾧ ἐκάθητο, καὶ οὕτως ἐβασίλευσε τὸν ὑπόλοιπον αὐτοῦ χρόνον, συγκαθημένου αὐτῷ τοῦ R 260
ὁλοχρύσου ἐκτυπώματος τοῦ αὐτοῦ ἀδελφοῦ Ῥήμου, καὶ ἔπαυσεν
5 ὁ σεισμὸς τῆς πόλεως καὶ ἡσύχασεν ἡ δημοτικὴ ταραχή. καὶ εἴ τι δ' ἂν ἐκέλευεν θεσπίζων, ἔλεγεν ὡς ἀφ' ἑαυτοῦ καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, λέγων Ἐκελεύσαμεν, Ἐθεσπίσαμεν. ὅπερ ἔθος κατέσχεν ἐξ ἐκείνου παρὰ τοῖς βασιλεῦσιν ἕως τοῦ παρόντος, τὸ λέγειν, Ἐκελεύσαμεν, Ἐθεσπίσαμεν. καὶ ἐπέπεμψεν εἰς ἑκάστην πόλιν V 89
10 ὑπὸ Ῥωμαίους οὖσαν στηθάρια ὁλόχρυσα αὐτοῦ καὶ τοῦ ἀδελ- C
φοῦ αὐτοῦ ἐπὶ τῷ τίθεσθαι αὐτὰ πλησίον τῶν ἀρχόντων. ὁ δὲ αὐτὸς βασιλεὺς Ῥῶμος μετὰ τὸ πληρῶσαι αὐτὸν τὰ τείχη καὶ κοσμῆσαι τὴν πόλιν, ἔκτισε καὶ τῷ Ἄρει ναόν, καὶ ἐν αὐτῷ τῷ μηνὶ ἐποίησεν ἑορτὴν μεγάλην, θύσας τῷ Ἄρει, καλέσας καὶ τὸν
15 μῆνα μάρτιον, πρώην λεγόμενον πρῖμον, ὅπερ ἑρμηνεύεται Ἄρεως, ἥνπερ ἑορτὴν κατ' ἔτος οἱ Ῥωμαῖοι πάντες ἐπιτελοῦσιν ἕως νῦν, καλοῦντες τὴν ἡμέραν τῆς πανηγύρεως Μάρτις ἐν κάμπῳ. καὶ εὐθέως πάλιν ἀρξάμενος ἔκτισε Κερκέσιον ἐν τῇ Ῥώμῃ, ὅπερ Ἱππικὸν ὠνόμασεν, θέλων διασκεδάσαι τὸ πλῆθος τοῦ δήμου
20 Ῥώμης, ὅτι ἐστασίαζον καὶ ἐπήρχοντο αὐτῷ διὰ τὸν ἀδελφὸν αὐ- D
τοῦ· καὶ ἐπετέλεσεν πρῶτος ἱππικὸν ἀγῶνα ἐν τῇ πόλει Ῥώμῃ εἰς ἑορτὴν τοῦ Ἡλίου καὶ τῶν ὑπ' αὐτὸν τεσσάρων στοιχείων, του-

3. χρόνον αὐτοῦ P. ib. αὐτῷ τοῦ] αὐτῷ P. 10. τοῦ om. P.
13. τῷ om. P. 15. Ἄρεος P. 22. καὶ ὑπ' αὐτῶν P.

referret pectorali statua, hanc in eodem quo residebat solio collocavit, sicque deinceps, assidente sibi Remi fratris ex solido auro confecta figura, urbis motus conquievit, sedataque popularis seditio. Sed et si quidpiam edicto praeciperet, suo et fratris nomine id se agere aiebat, hacce utens formula, *Jussimus*, *Decrevimus*, qui quidem mos exinde apud Reges usque ad haecce tempora obtinuit, quibus solenne est hisce uti verbis, *Jussimus*, *Decrevimus*. Misit praeterea ad singulas Romanis subditas urbes ex auro solido confectas sui et fratris pectorales statuas, quo juxta magistratus collocarentur. Rex vero Romulus, confectis moenibus, ornataque urbe, Marti templum exaedificavit, ac eodem ipso mense solenne festum peregit, facto Marti sacrificio, inditoque mensi eidem Martii nomine, cum Primus antea nuncuparetur, hoc est Martis: quam quidem festivitatem universi Romani quotannis celebrant ad hanc usque tempestatem isto festi die, in campo Martis appellato. Nec multo post Circum Romae condere coepit, quem Hippodromum nuncupavit, cum Romanae plebis motus compescere in animo haberet, quae ob fratris perpetratam caedem, seditiones conflabat, ipsique insidias moliebatur. Primus ergo Circenses ludos Romae peregit in honorem Solis, et subjectorum Soli quatuor elementorum, hoc est terrae, maris, ignis, et aëris, ratus

τέστιν τῆς γῆς καὶ τῆς θαλάσσης καὶ τοῦ πυρὸς καὶ ἀέρος, λογισάμενος ὅτι διὰ τοῦτο εὐτυχῶς φέρονται οἱ τῶν Περσῶν βασιλεῖς εἰς τοὺς πολέμους, ὡς τιμῶντες τὰ τέσσαρα ταῦτα στοιχεῖα· ἐν τῇ Ῥώμῃ γὰρ οὐκ ἐτίμων αὐτὰ τὰ τέσσαρα στοιχεῖα οὐδὲ ἐν μιᾷ ἑορτῇ. ὁ δὲ τῆς Πισαίων χώρας βασιλεὺς Οἰνόμαος ἀγῶνα ἐπετέλει ἐπὶ τὰ Εὐρώπεια μέρη μηνὶ δύστρῳ τῷ καὶ μαρτίῳ κε' τῷ Ἡλίῳ Τιτᾶνι ὡς ὑψουμένῳ, ἀγωνιζομένης, φησίν, γῆς καὶ θαλάσσης, τουτέστιν Δημήτρας καὶ Ποσειδῶνος, καὶ τῶν ὑποκειμένων στοιχείων τῷ Ἡλίῳ. καὶ ἐβάλλετο κλῆρος μετὰ τοῦ αὐτοῦ Οἰνομάου βασιλέως καὶ τοῦ ἐρχομένου ἀπὸ οἱασδήποτε χώρας καταγωνίσασθαι αὐτοῦ· καὶ ὅτε μὲν ὁ κλῆρος ἐκάλει τὸν Οἰνόμαον ἀγωνίσασθαι ὑπὲρ τοῦ Ποσειδῶνος, ἐφόρει σχῆμα ἱμάτιον κυανόν, ὅ ἐστι τῶν ὑδάτων· καὶ ὁ ἀνταγωνιζόμενος κατ' αὐτοῦ ἐφόρει τὸ χλοῶδες σχῆμα, ὅ ἐστιν τῆς γῆς. καὶ πάλιν εἰ ἤνεγκεν ὁ κλῆρος τῷ Οἰνομάῳ φορέσαι τὸ τῆς Δημήτρας σχῆμα, ἐφόρει τὸ χλοῶδες σχῆμα, καὶ ὁ ἀνταγωνιζόμενος αὐτοῦ ἐφόρει τὸ σχῆμα τοῦ Ποσειδῶνος, ὅ ἐστιν τῶν ὑδάτων, τὸ κυανόν. καὶ ὁ ἡττώμενος ἐφονεύετο. καὶ πλῆθος ἄπειρον ἤρχετο θεωρῆσαι τὸν αὐτὸν ἐτήσιον βασιλικὸν ἀγῶνα ἀπὸ ἑκάστης χώρας καὶ πόλεως. καὶ οἱ μὲν τὰς παραλίους οἰκοῦντες πόλεις καὶ τὰς νήσους πολῖται καὶ τὰς κώμας τὰς παραλίους ναῦται ηὔχοντο τὸν φοροῦντα τὸ κυανὸν σχῆμα, τουτέστιν τοῦ Ποσειδῶνος, νικῆσαι,

P 111 R 262 B

5. *Πισέων* P. 6. *σύστρῳ τῷ μαρτίῳ* P. 7. *ὑψουμένῳ* Malalas p. 173. 13., *ὑψωμένῳ* PV. 8. *Δήμητρος* P. 11. *αὐτοῦ*] *αὐτὸν* Malalas. 21. *ηὔχοῦντο* P sola.

ea de causa Persarum Reges bella feliciter peragere, ut qui quatuor haec elementa colerent. Neque enim antea quatuor ista Romae colebantur elementa, neque festum ullum institutum. Pisensium vero Rex Oenomaus certamen peregit in Europae partibus mensis Systri, seu Martii, xxv. die, in Solis Titanis, velut excelsi, honorem, certantibus, ut aiunt, terra et mari, hoc est Cerere et Neptuno, subjectisque Soli elementis. Sors vero mittebatur inter ipsum Regem Oenomaum, et alterum ex quacumque ille venisset regione, qui cum eo esset decertaturus: ita ut si forte sors Oenomaum pro Neptuno decertare statueret, tum is vestem indueret caeruleam, quod is color sit aquarum: qui porro cum illo pugnaturus esset, viridi uteretur, quod terrae color sit. Rursum siquidem sors Oenomaum Cereris habitum deferre designasset, viridi cultu ornaretur, et alter adversarius caeruleo habitu indueretur, Neptuni scilicet, qui color est aquarum: ac victus quidem morte lueret. Ad regium vero istud et anniversarium certamen infinita hominum multitudo ex singulis regionibus ac civitatibus confluebat. Qui porro maritimas urbes cives vel insulas, ac vicos littorales incolebant nautae, victoriam illi adprecabantur qui cyaneam vestem ferebat, id est Neptuni, cum inde au-

ελευθέρων, ἵν᾽ ἐκ δουλείας ἡμᾶς ἐλευθερώσῃ καὶ ἐκ τῆς ἁμαρτίας καὶ τοῦ θανάτου τὴν ἐξουσίαν αὐτοῦ καταργήσῃ διαβόλου, καὶ τὴν ἐν τῷ ἐκείνου ἐπιβουλῇ ἀπάτην ἐκκόψῃ. Ἐπὶ τοῦτο γὰρ ἐφανερώθη ὁ Κύριος, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου, καθὼς ἔφη ἀπόστολος· καὶ ἵνα ἐξαγάγῃ τὸν ἄνθρωπον ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μεταθῇ εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ· καὶ ἵνα ἐκ τῆς πλάνης ἐκείνης ἐλευθερώσῃ ἡμᾶς, καὶ ἐκ τῆς ἀπάτης ἐκείνης ἐξαγάγῃ ἡμᾶς, καὶ ἐκ τῆς ἐξουσίας τοῦ θανάτου ἐκείνου ἐξαγάγῃ ἡμᾶς, καὶ ἐκ τῆς ἐξουσίας τοῦ ἄδου ἐκείνου ἐξαγάγῃ ἡμᾶς, καὶ ἐκ τῆς ἀπωλείας ἐκείνης ἐλευθερώσῃ ἡμᾶς, καὶ ἐκ τῆς ἀπάτης ἐκείνης ἐλευθερώσῃ ἡμᾶς, καὶ ἐκ τῆς ἐξουσίας τοῦ ἐχθροῦ ἐκείνου ἐξαγάγῃ ἡμᾶς, καὶ ἐκ τῆς ἀπάτης τοῦ ἐχθροῦ ἐκείνου ἐλευθερώσῃ ἡμᾶς, καὶ ἐκ τῆς ἐξουσίας τοῦ ἐχθροῦ ἐκείνου ἐξαγάγῃ ἡμᾶς.

Διὰ τοῦτο ἔλαβε σάρκα ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἵνα ἐκ τῆς ἁμαρτίας ἐλευθερώσῃ ἡμᾶς, καὶ ἐκ τῆς ἀπάτης τοῦ ἐχθροῦ ἐκείνου ἐλευθερώσῃ ἡμᾶς, καὶ ἐκ τῆς ἐξουσίας τοῦ ἐχθροῦ ἐκείνου ἐξαγάγῃ ἡμᾶς, καὶ ἐκ τῆς ἀπάτης τοῦ ἐχθροῦ ἐκείνου ἐλευθερώσῃ ἡμᾶς, καὶ ἐκ τῆς ἐξουσίας τοῦ ἐχθροῦ ἐκείνου ἐξαγάγῃ ἡμᾶς.

Ἐν τῷ ἀναβῆναι τὸν Κύριον εἰς τὸν οὐρανὸν ἐκάθισε τὸν ἄνθρωπον ἐν δεξιᾷ τοῦ Θεοῦ, καθὼς ἔφη ἀπόστολος· καὶ

Χάρακος τοῦ σοφωτάτου ἱστορίαις ἐμφέρεται, ὃς συνεγράψατο καὶ ταῦτα, ὅτι τὸ τοῦ Ἱππικοῦ γυμνάσιον εἰς τὴν τοῦ κόσμου διοίκησιν ἐπινενόηται, τουτέστιν τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῆς θαλάσσης. τοὺς γὰρ δώδεκα οἴκους ἱστόρησαν τοῦ ζωδιακοῦ κύκλου τοῦ διοικοῦντος τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τῶν ἀνθρώπων τὸν παροδικὸν βίον, τὸ δὲ πέλμα τοῦ Ἱππικοῦ τὴν γῆν πᾶσαν εἶναι, τὸν δὲ εὔριπον τὴν θάλασσαν ἀπὸ τῆς γῆς μεσαζομένην, τὸν δὲ ἐπὶ τὰς θύρας καμπτὸν τὴν ἀνατολήν, καὶ τὸν
R 264 *ἐπὶ τὴν σφενδόνα τὴν δύσιν, τὰ δὲ ἑπτὰ σπατία τὸν δρόμον καὶ*
B *τὴν κίνησιν τῆς ἀστρώας τῶν ἑπτὰ ἀστέρων τῆς μεγάλης ἄρκτου. ὁ δὲ αὐτὸς Ῥῶμος βασιλεὺς πρὸς τιμὴν καὶ αὐτὸς τοῦ Ἡλίου καὶ τῶν ὑπ' αὐτὸν τεσσάρων στοιχείων τὸν ἀγῶνα ἐν τῇ Ῥώμῃ πρῶτος ἐφευρὼν ἐπετέλεσεν ἐν τῇ αὐτῇ χώρᾳ τῆς δύσεως, ἤτοι τῆς Ἰταλίας, ἅρμασι τετραπώλοις, τουτέστιν τῇ γῇ καὶ τῇ θαλάσσῃ καὶ πυρὶ καὶ ἀέρι. καὶ ἐπέθηκεν ὁ Ῥῶμος τοῖς αὐτοῖς τέτρασι στοιχείοις τὰ ὀνόματα ταῦτα, τῇ γῇ τὸ Πράσινον μέρος, ὅ ἐστιν τὸ χλοῶδες, τῇ δὲ θαλάσσῃ, τουτέστι τοῖς ὕδασι, τὸ Βένετον μέρος, ὡς κυανόν, τῷ πυρὶ τὸ Ῥουσαῖον μέρος πυρῶδες, καὶ τῷ*
ἀέρι τὸ λευκόν. κἀκεῖθεν ἐπενοήθη τέσσαρα μέρη ἐν Ῥώμῃ.
C *ἐκάλεσε δὲ τὸ Πράσινον μέρος Πραίσεντον, ὅ ἐστιν ῥωμαϊκὴ λέ-*

4. *τοὺς γὰρ δώδεκα οἴκους*] *τὰς δὲ δεκαδύο θύρας τοὺς δώδεκα οἴκους* Malalas. 7. *εὔριππον* V. 9. *σπαθία* PV. *σπατία* cum Cedreno Chilmeadus ad Malalam et Ducangius Gloss. v. *σπάτιον*. 10. *ἀστρώας*] *ἀστρονομίας* Malalas, *ἀστροθεσίας* Ducangius, *τὴν ἀστρώαν* Chilmeadus ad Malalam. Infra p. 219 D. *ἐπειδὴ μηδὲ τῇ ἀστρώᾳ τοῦτο συμβαίνει κινήσει.* *ib.* *τῆς* Malalas, *καὶ τῆς* PV. *ib.* *μεγάλης* om. P. 12. *αὐτοῦ* P.

et hoc subditur, equestris certaminis exercitationem ad orbis gubernationem exprimendam adinventam, coeli scilicet, terrae ac maris. Duodecim quippe Zodiaci circuli domos effingere, a quo terra et mare, ac caduca hominum vita regitur. Solo enim Circi terram universam designari, Euripo mare quod in terrae medio consistit: flexum vero versus januas, orientem: eum autem qui ad metas est, occasum: septem spatia, cursum et motum septem planetarum ac ursae majoris. Quinetiam idem Romulus in ipsius Solis honorem, et quatuor elementorum a se repertum certamen primus Romae celebravit in eadem Occidentis sive Italiae regione, quadrijugo curru, quo terram, mare, ignem et aerem designaret. His porro quatuor elementis sua nomina Romulus imposuit, terrae, Prasina, id est herbacea, vel viridi: mari seu aquis, Veneta seu caerulea: aëri denique Alba Factione assignata. Prasinam autem factionem Praesentem appellavit, voce a Latino ducta, quae Permanens quidpiam sonat, quod terra cum silvis ac saltibus virens semper existat ac permaneat. Venetam vocavit a provincia, quae Venetia dicitur, Romae subdita, cu-

ξις, ἥτις ἑρμηνεύεται ἐμπαράμονον· πραισεντεύειν γὰρ λέγεται τὸ παραμένειν, διότι ἡ χλοώδης γῆ διὰ παντὸς ἵσταται σὺν τοῖς ἄλσεσι. τὸ δὲ Βένετον ἐκάλεσεν ἐκ τοῦ εἶναι ὑπὸ τὴν Ῥώμην ἐπαρχίαν χώραν λεγομένην Βενετζίαν, ἧστινος μητρόπολίς ἐστιν Ἀκυληία· κἀκεῖθεν ἐξέρχονται τὰ κυανά, τουτέστιν τὰ Βενέτζια βάμματα τῶν ἱματίων, καὶ προσεκόλλησεν τῷ Πρασίνῳ μέρει, ὅ ἐστιν τῇ γῇ, τὸ λευκόν, φησὶ τὸν ἀέρα, καθότι βρέχει καὶ ὑπουργεῖ καὶ ἁρμόττει τῇ γῇ. τῷ Βενέτῳ μέρει, ὅ ἐστι τοῖς ὕδασι, προσεκόλλησε συμμίξας τὸ Ῥουσαῖον μέρος, ὅ ἐστιν τὸ πῦρ, καθότι σβέννυσι τὸ πῦρ ὡς ὑπρτεταγμένον αὐτῷ. καὶ λοιπὸν οἱ τὴν D Ῥώμην οἰκοῦντες διεμερίσθησαν τὰ μέρη, καὶ οὐκέτι ὡμονόησαν πρὸς ἀλλήλους διὰ τὸ ἐρᾶν ἕκαστον τῆς ἰδίας νίκης καὶ ἀντιποιεῖσθαι τοῦ ἰδίου μέρους, ὥσπερ θρησκείας τινός· καὶ ὑπῆρξε μέγα σχίσμα ἐν τῇ Ῥώμῃ, καὶ μεγάλην ἔχθραν εἶχον πρὸς ἀλλήλους τὰ μέρη, ἀπότε ἐπενόησεν αὐτοῖς τὴν τοῦ ἱππικοῦ θέαν ὁ Ῥῶμος. ἐν δὲ τῇ βασιλείᾳ τοῦ αὐτοῦ Ῥώμου ὁ στρατὸς αὐτοῦ ἐγένετο πολὺς ἐπείσακτος, καὶ πλῆθος ἦν ἐν τῇ Ῥώμῃ ἀγρίων ἀνθρώπων, καὶ οὐκ ἦσαν πρὸς τὰ πλήθη τῶν ἀνθρώπων γυναῖκες, καὶ ἐπεθύμουν τῆς τοῦ βίου ἡδονῆς τὰ τῶν νεανιῶν στρατεύματα, P 113 καὶ ἐπήρχοντο κατὰ τὴν ἀγορὰν ταῖς γυναιξί, καὶ ἐγένετο ταραχὴ V 91 καὶ ἐμφύλιος πόλεμος. καὶ ἠθύμει ὁ Ῥῶμος, ἀμηχανῶν τί πρά- R 266

4. *Βενεττίαν* P. 5. *Βενέττια* P. 7. *φησί* post *καθότι* ponit P. 11. *τὰ*] *εἰς τὰ* P sola. 14. *ἀλλήλους*] *ἄλλους* V. 15. *ἀπότε*] *ἀφότε* Chilmeadus, *ὁπότεν δ'* m. R. V. p. 298. B. 16. *ἐν δὲ* Malalas, *ἐν* PV. 17. *ἀγρίων ἀνθρώπων* Malalas, *ἀγριανῶν* PV, quod decepit Ducangium in Gloss. 19. *τὰ τῶν*] *τούτων* PV.

jusque Metropolis est Aquileia, unde nempe colores caerulei, seu tincturae Venetae, quibus inficiuntur panni, afferuntur: quae quidem Factio Veneta Prasinae, qua designatur terra, adjungitur. Albae nomine donavit aërem, quod is terram riget, eidemque subserviat, ac commodum praestet. Venetae Factioni, quae aquam exhibet, Russatam adjunxit, qua ignis denotatur, quod illa veluti sibi subditum ignem extinguat. Qui porro tum Romam incolebant hac ratione in Factiones divisi, nusquam deinceps invicem coaluerunt, dum quisque Factionem suam superiorem esse cupit, ac victoriam adipisci, atque ex nescio qua superstitione depugnat. Hinc exorta Romae intestina dissidia, et inter factiones enatae graves ad invicem inimicitiae. Ex quo igitur Circenses ludos Romanis dedit Romulus, quamdiu is regnavit, ex militibus extraneis ut plurimum conflatus erat illius exercitus, cum haud pauci Romam ex agris confluerent, quibus pro tanto numero deerant uxores. Cumque vitae voluptatis cupiditate flagraret ejusmodi juvenum multitudo, passim ii feminas in foro adoriebantur, unde turbae enascebantur, ac civiles seditiones. Anxius igitur Romulus, quidve ageret incertus, cum nulla esset

ξει· οὐδεμία γὰρ ἠνείχετο τῶν γυναικῶν καταμῖξαι τοῖς στρατιώταις, ὡς ἀγρίοις καὶ βαρβάροις, καὶ ἐξεφώνησε νόμον ὥστε λαμβάνειν τοὺς στρατιώτας πρὸς γάμον παρθένους, ἃς ἐκάλεσαν βροΐτιδας. καὶ οὐδεὶς εἵλατο αὐτοῖς δοῦναι τὴν ἰδίαν θυγατέρα, ἀλλ' ἔλεγον ὅτι οὐκ ἔστιν αὐτοῖς καθ' ἑκάστην ἐλπὶς ζωῆς διὰ τοὺς πολέμους, ἀλλὰ πάντες τοῖς τῆς πόλεως ἐζεύγνυον τὰς ἑαυτῶν θυγατέρας. καὶ ἀθυμῶν ὁ Ῥῶμος ἀπῄει εἰς τὸ μαντεῖον· καὶ ἐδόθη αὐτῷ χρησμὸς ὥστε ἐπιτελέσαι ταῖς γυναιξὶ
B θέαν ἱππικοῦ, ἵνα ἀγάγηται ἑαυτῷ ὁ στρατὸς γυναῖκας. καὶ συνάξας τὸ πλῆθος τοῦ στρατοῦ ἐν τῷ Παλατίῳ ἐπετέλεσεν ἱππικόν, κελεύσας γυναῖκας καὶ μόνον θεωρῆσαι τὸ ἱπποδρόμιον αὐτοῦ. καὶ ὡς παραξένου τινὸς θέας μελλούσης γίνεσθαι ἀπὸ πάσης τῆς περιχώρου καὶ τῶν πόρρωθεν πόλεων καὶ κωμῶν ἐν τῇ πόλει Ῥώμῃ πλήθη γυναικῶν παρεγένοντο, καὶ ἀνεπλήρωσαν τὸ Ἱππικὸν γυναῖκες ὕπανδροι καὶ νεώτεραι παρθένοι. ἦλθον δὲ καὶ θυγατέρες τῶν λεγομένων Σαβενῶν, χώρας πλησίον τῆς Ῥώμης οὔσης, γυναῖκες εὐπρεπεῖς. καὶ δεδωκὼς ὁ Ῥῶμος μανδᾶτα λάθρᾳ γυναῖκα οἷσαν ὕπανδρον Ῥωμαίαν πολίτιδα μὴ θεωρῆσαι, κελεύσας καὶ τῷ ἰδίῳ πάλιν στρατῷ ὥστε ὑπάνδρῳ γυναικὶ
C μὴ τολμῆσαι ἅψασθαι, ἀλλὰ τὰς παρθένους ἁρπάσαι καὶ τὰς μὴ ἐχούσας ἄνδρας, καὶ ἀνελθὼν ἐν τῷ Ἱππικῷ ὁ Ῥῶμος ἐθεώρει· καὶ ἐν τῷ ἐπιτελεῖσθαι τὸν ἀγῶνα ἀπολυθεὶς ἀπὸ τοῦ Παλατίου

1. οὐδεμία Chilmeadus, οὐδεὶς PVMalalas. 4. εἵλετο P. 10. Παλλατίῳ P. *ibid.* ἐτέλεσεν P. 13. τῆς om. P. 19. καὶ πάλιν ἰδίῳ P. 20. τὰς μόνας παρθένους P. 22. Παλλατίου P.

femina quae cum militibus misceri vellet, utpote agrestibus et barbaris, legem promulgavit, qua milites jussit sibi in uxores adsciscere virgines, quas Brutides appellabant. Sed nemo erat qui filiam suam iis vellet tradere, cum horum singulis haud superesse vitae spem propter bella dicerent, quin potius suas filias civibus collocabant. Romulus igitur consilio destitutus ad oraculum proficiscitur, a quo datum est responsum, ut feminis Circenses exhiberet, ex quibus miles sibi uxores adsciscerent. Coactis ergo in Palatium copiis, Circenses peregit, quibus feminas duntaxat interesse statuit. Cumque inauditum hactenus futurum esset spectaculum, e vicinis regionibus, remotioribusque adeo urbibus ac vicis Romam advolavit mulierum multitudo, Circumque feminae conjugio illigatae et juniores virgines promiscue implerunt. Advenere etiam Sabinorum, quorum regio Romae proxima erat, filiae, feminae caeterum forma praestantes. Dederat porro Romulus clam in mandatis, ut nulla Romana matrona spectaculo interesset: rursumque militibus suis edixerat, ut nullam ex nuptis feminam contingerent, sed solas raperent virgines, et quae conjuges non haberent. Tum Romulus Circo conscenso, Circenses spectavit, qui cum peragerentur, dimissus ex Palatio miles in

ὁ στρατὸς ὥρμησεν ἐν τῷ Ἱππικῷ, καὶ ἐκ τῶν βάθρων ἁπέσπω-
σαν τὰς παρθένους κόρας καὶ τὰς μὴ ἐχούσας ἄνδρας, καὶ ἔλαβον
ἑαυτοῖς γυναῖκας. τοῦτο πρὸς ἅπαξ ἐποίησεν ὁ Ῥῶμος γενέσθαι,
καθὼς ὁ σοφώτατος Βηργίλιος ποιητής, ὡσαύτως δὲ καὶ Ἀπολ-
λώνιος Ῥωμαίων ἱστοριογράφος συνεγράψατο, ὁμοίως δὲ καὶ
Σίλβιος. ἕτεροι δὲ ἱστορικοὶ συνεγράψαντο τὸ πρῶτον ἱππο-
δρόμιον ἐπιτελεσθῆναι τοῖς Ῥωμαίοις εἰς βουρδῶνας. D

Τὸν δὲ Ῥῶμον καὶ τὸν Ῥῆμον ἱστοροῦσιν ἀπὸ λυκαίνης γα-
λακτοτροφηθῆναι, διότι ὁ βασιλεὺς ὁ Ἀμούλιος ὁ αὐτῶν πάππος
ἐκέλευσεν αὐτοὺς ῥιφῆναι εἰς τὰς ὕλας, ὡς πορνογεννήτους, ἐπει-
δὴ ἡ Ἰλία ἡ μήτηρ αὐτῶν, ἱέρεια οὖσα τοῦ Ἄρεως, ἐφθάρη πορ-
νευθεῖσα ὑπό τινος στρατιώτου, περὶ οὗ λέγουσι μυθολογοῦντες
τὸν Ἄρεα αὐτὴν ἐγγαστρῶσαι, καὶ ἐγέννησεν αὐτοὺς διδύμους, καὶ R 268
διὰ τοῦτο ὁ πάππος αὐτῶν ἔῤῥιψεν αὐτοὺς εἰς τὰς ὕλας. καὶ
ηὗρεν τοὺς αὐτοὶς παῖδας χωρική τις βόσκουσα πρόβατα, καὶ
σπλαγχνισθεῖσα, ὅτι ἦσαν εὔμορφοι, λαβοῦσα ἀνεθρέψατο αὐ- P 114
τοὺς τῷ ἰδίῳ γάλακτι. εἰς δὲ τὴν χώραν ἐκείνην λυκαίνας κα-
λοῦσιν ἕως ἄρτι τὰς χωρικὰς τὰς βοσκούσας τὰ πρόβατα, ὡς ἀεὶ
τὸν βίον καὶ τὴν διαγωγὴν ἐχούσας μετὰ τῶν ἀλόγων καὶ τῶν
λύκων.

Τούτου ἕνεκεν ὁ Ῥῶμος ἐπενόησεν τὰ λεγόμενα Βρουμάλια,
εἰρηκώς, φησίν, ἀναγκαῖον εἶναι τρέφειν τὸν κατὰ καιρὸν βασιλέα

1. ἀπέσπασαν P. 4. Ἀπολλώνιος] Πλίνιος Malalas. 5. Ῥω-
μαῖος P. ibid. ἐγράψατο P. 6. Σίλβιος] Λίβιος Malalas.
9. ὁ Ἀμούλιος] Θαμούλιος PV, ὅτε βασιλεὺς ὁ Ἀμούλιος Malalas.
11. Ἠλία PV. ib. ἱερὰ P. 22. φησὶν om. P sola.

Circum irruit, raptasque ex gradibus puellas virgines, ac feminas quae viris carebant, sibi in conjuges adjunxit. Hoc semel duntaxat fecit Romulus, ut doctissimus Virgilius Poeta pariter ac Apollonius Romanae historiae scriptor, et Silvius tradiderunt. Caeteri vero historici primos Circenses ludos in mulis tum primum a Romanis actos scripsere.

Romulum autem ac Remum narrant a lupa fuisse lactatos. Rex enim Amulius eorum avus in silvis veluti nothos exponi praeceperat, quod mater Silvia Martis Sacerdos a quodam milite fuisset compressa: unde hanc a Marte fuisse gravidatam finxere. Cum autem gemellos edidisset, eaquepropter ab illorum avo in silvis essent expositi, hos inventos mulier quaedam rustica, quae greges pascebat, miseratione commota, ut qui essent admodum formosi, acceptosque lacte suo enutrivit. In hacce autem regione rusticas mulieres quae greges pascunt, Lupas hodieque vocant, ut quae vitam agant cum bestiis ac lupis, continuoque cum iis versentur.

Romulus porro Brumalia, uti appellantur, ea de causa instituit. Cum enim necesse esse diceret ut statuto tempore Senatores suos omnes, vel

τὴν ἑαυτοῦ σύγκλητον πᾶσαν καὶ τοὺς ἐν ἀξίαις καὶ πάσας τὰς ἔνδον τοῦ Παλατίου οὔσας στρατιὰς ὡς ἐντίμους ἐν τῷ καιρῷ τοῦ χειμῶνος, ὅτε τὰ πολεμικὰ ἔνδοσιν ἔχει, καὶ ἤρξατο πρώτους καλεῖν καὶ τρέφειν τοὺς ἀπὸ τοῦ α ἔχοντας τὸ ὄνομα, καὶ λοιπὸν
B ἀκολούθως ἕως τοῦ ω, κελεύσας καὶ τὴν ἑαυτοῦ σύγκλητον θρέ-
V 92 ψαι τῷ αὐτῷ σχήματι· καὶ ἔθρεψαν καὶ αὐτοὶ τὸν ὄχλον ἅπαντα, ἕκαστος οὓς ἠβούλετο. οἱ οὖν ἑκάστου ἀριθμοῦ πάνδουροι ἀπὸ ἑσπέρας εἰς τοὺς οἴκους ἀπιόντες τῶν καλούντων οὓς ἤθελον ἐπ' ἀρίστῳ εἰς τὴν ἑξῆς ηὔλουν πρὸς τὸ γνῶναι ἐκεῖνον ὅτι παρ' αὐτῷ τρέφονται αὔριον. καὶ κατέσχεν τὸ ἔθος τῶν Βρουμαλίων παρὰ τῇ Ῥωμαίων πολιτείᾳ ἕως τοῦ νῦν. τοῦτο δὲ ἐποίησεν ὁ αὐτὸς Ῥῶμος θέλων ἐξαλεῖψαι τὴν ἑαυτοῦ ὕβριν, ὅτι οἱ Ῥωμαῖοι ἐχθροὶ ὄντες αὐτοῦ καὶ μισοῦντες αὐτὸν λοιδοροῦντες ἔλε-
C γον ὅτι οὐκ ἐχρῆν αὐτὸν βασιλεύειν, διότι ἐξ ἀλλοτρίων ἐτράφησαν οἱ δύο ἀδελφοὶ ἕως ὅτου τελείας γεγόνασιν ἡλικίας καὶ ἐβασίλευσαν, σημαίνοντες ὅτι ἀπὸ τοῦ Φαυστόλου τοῦ γεωργοῦ καὶ τῆς γυναικὸς αὐτοῦ Λυκαίνης ἐτράφησαν ἐκ τῶν ἀλλοτρίων ἐσθίοντες. ὄνειδος γὰρ ὑπῆρχε παρὰ Ῥωμαίοις καὶ πᾶσι τοῖς ἀρχαίοις τὸ ἐκ τῶν ἀλλοτρίων τρέφεσθαί τινα· ὅθεν καὶ ἐν τοῖς συμποσίοις τοῖς λεγομένοις φιλικοῖς ἕκαστος τῶν συνερχομένων εἰς τὸ συμπόσιον τὸ ἴδιον βρῶμα καὶ πόμα μεθ' ἑαυτοῦ κομίζει, καὶ εἰς τὸ κοινὸν τὰ πάντα παρατίθεται, καὶ ἐσθίουσι κρατοῦντες τὸ ἀρχαῖον ἔθος.

7. οὓς] ὡς m. P solius. *ibid.* ἐβούλετο P. 8. ἑσπέραν V secunda manu. *ib.* οὓς] ὡς PV. 11. Ῥωμαίᾳ P. 16. Φαυστόλου τοῦ] Φαυστολόγου PV. Φαύστου τοῦ Malalas.

qui in dignitatibus erant, Palatinasque adeo militias, ut honoratiores, hiberna tempestate, quando scilicet vacant res bellicae, Rex epulis exciperet, primos in convivium accire coepit, epulisque pascere, qui ab A. nomen ducerent, et sic deinceps usque ad postremam literam, jussis Senatoribus ut eadem pariter ratione convivia exhiberent, singulique pro libito plebem omnem invitarent, quod ita peragebatur. Singularum turmarum tubicines ad eorum aedes profecti qui ad convivium invitabantur, quo se in sequentem diem invitatos scirent, pridie sub vesperam tubae cantu indicabant: isque exinde Brumaliorum in Romana Republica usque ad haecce tempora mos obtinuit. Ideo autem hoc egit Romulus, quo maculae sibi objectae memoriam aboleret: cum Romani, quibus odio erat, minime dignum esse qui regnaret, gemellosque istos fratres ex alieno ad perfectam usque aetatem educatos regnum invasisse, subinde non sine contumelia objectarent, hacque ratione indicarent ab Faustulo agricola ejusque uxore Lupa enutritos, ex alieno victitasse. Apud Romanos quippe veteresque omnes quemquam alienis enutriri pro opprobrio semper habitum est. Unde in conviviis quae Cara appellantur, singuli qui ad

Τούτου οὖν χάριν ἐπενόησεν τοῦτο ὁ αὐτὸς Ῥῶμος πρὸς τὸ D
ἐξιλεώσασθαι τὴν ὕβριν ἑαυτοῦ, καλέσας καὶ τὸ ὄνομα τῆς κλήσεως
αὐτοῦ ῥωμαϊστὶ Βρουμάλια, ὅ ἐστιν τραφῆναι ἐκ τῶν ἀλλοτρίων,
καθὼς ὁ σοφώτατος Λικίνιος Ῥωμαῖος ἱστοριογράφος ἐξέθετο.

η' Ὀλυμπιάς. R 270

ια', ιβ'.

Τούτῳ τῷ ἔτει Ἡσαΐας τὴν κατὰ Βαβυλῶνος ὅρασιν εἶδεν.

ιγ', ιδ'.

Ἀχὰζ ὁ βασιλεὺς Ἰούδα ἕτερον θυσιαστήριον προσέταξεν Οὐ- P 115
ρίᾳ τῷ ἱερεῖ ποιῆσαι ὅμοιον τοῦ ἐν Δαμασκῷ εἰς τὴν Ἱερου-
σαλήμ.

θ' Ὀλυμπιάς.

ιε', ις'.

Τούτῳ τῇ ις' ἔτει τῆς ἑαυτοῦ βασιλείας Ἀχὰζ καθεῖλε τὴν
θάλασσαν τὴν χαλκῆν ἀπὸ τῶν μόσχων τὴν ὑπὸ Σολομῶνος γε-
νομένην· καὶ ἐπὶ τούτου ἦν ἀρχιερεὺς ὁ λεχθεὶς Οὐρίας.

Μετὰ Ἀχὰζ ἐβασίλευσε τῶν δύο φυλῶν τοῦ Ἰούδα Ἐζεκίας
υἱὸς αὐτοῦ ἔτη κθ'. ὁμοῦ ,δψλδ'.

4. *Λικίννιος* PV. 7. *εἶπεν* R.

convivium conveniunt, cibum et potum suum secum deferunt, et in commune omnia apponunt, sicque epulantur, more veteri observato.

Hujus rei gratia Romulus, quo nempe deleta objecta macula plebem sibi conciliaret, convivia ista instituit, quibus Brumaliorum nomen indidit, voce latina, quae idem sonat quod alienis enutriri, quemadmodum tradidit doctissimus Licinius Romanus Historicus.

VIII. Olympias.

XI. XII.

Hoc anno Esaias visionem de Babylone vidit.

XIII. XIV.

Achaz Rex Juda aliud altare, ei simile quod Damasci erat, ab Uria Sacerdote Hierosolymis fieri praecepit.

IX. Olympias.

XV. XVI.

Hoc anno XVI. regni sui Achaz sustulit mare aereum a vitulis ab Solomone factum: et illo regnante erat supradictus Urias summus Pontifex.

Post Achaz, regnavit super duas tribus Juda, Ezechias, filius ejus annis XXIX. Colliguntur anni IV. MDCCXCIV.

α'.

B Οὗτος ὁ Ἐζεκίας ἐν πάσαις ταῖς ἐντολαῖς τοῦ θεοῦ πορευθεὶς καὶ τὰ ὑψηλὰ καθελὼν καὶ τὰς στήλας συντρίψας καὶ τὸν ὄφιν ὃν ἐκρέμασε Μωϋσῆς καθεῖλεν· αὐτῷ γὰρ ἐθυσίαζον πολλοί.

Ἀλλὰ καὶ βιβλίον Σολομῶνος, ὡς φασιν Ἑβραῖοι, ἰαμάτων παντὸς πάθους ἐγκεκολαμμένον εἰς τοῖχον εὑρὼν τοῦ ναοῦ ἐξέκοψεν.

Ἐπὶ τούτου προεφήτευον Ἡσαΐας, Ὡσηέ, Ἰωήλ, Μιχαίας, Ἀμώς, Ἰωνᾶς καὶ Ναούμ.

Οὗτος ὁ Ἐζεκίας λατρεύσας τῷ θεῷ ἀνεκτήσατο τὴν Ἱερουσαλὴμ καὶ τὸν Ἰουδάμ, καὶ ᾠκοδόμησε τὸ κατεσκαμμένον τεῖχος C τῆς Ἱερουσαλήμ, καὶ τὴν πηγὴν τοῦ Σιλωὰμ ἀπέστρεψεν ἔσω τῶν τειχῶν.

V 93 β'.

ι' Ὀλυμπιάς.

γ', δ'.

Ἀπὸ Σολομῶνος τοῦ βασιλέως οὐκ ἀχθέντος τοῦ πάσχα νῦν ἐπὶ Ἐζεκίου ἐπετελέσθη λαμπρῶς καὶ φιλοτίμως· ὅτε καὶ οἱ ἐξ Ἱερουσαλὴμ μέτοικοι γεγόνασι.

ε'.

Τούτῳ τῷ ἔτει Θαλῆς ὁ Μιλήσιος φιλόσοφος ἐν Τενέδῳ ἀπέθανεν.

I.

Hic Ezechias in omnibus mandatis Dei ambulans, evertit excelsa, statuasque contrivit, et Serpentem quem Moyses suspenderat dejecit: illi quippe multi sacrificabant.

Sed et Librum Solomonis, ut dicunt Hebraei, de remediis ad omnes aegritudines, muro templi affixum inveniens, discidit.

Illo regnante prophetarunt Esaias, Osee, Joel, Michaeas, Amos, Jonas, et Naum.

Hic Ezechias, cum Deum coleret, instauravit Hierosolyma, et Judam, et reaedificavit murum destructum Hierosolymorum, et fontem Siloam intra moenia avertit.

II.

X. Olympias.

III. IV.

Omissa a Solomonis temporibus Paschalis solennitas magno cum splendore et magnificentia tum primum sub Ezechia peracta est: quando cives Hierosolymitani alio translati sunt.

V.

Hoc anno Thales Milesius Philosophus in Tenedo obiit.

ς'.

ια' Ὀλυμπιάς. D

ζ', η', ϑ', ι'.

ιβ' Ὀλυμπιάς. R 272

ια', ιβ', ιγ'.

Ἀρχιερεὺς Σοβνᾶς ἐγνωρίζετο, ὃν διεδέξατο Ἐλιακεὶμ ὁ τοῦ Χελκίου προδόντος τοῦ Σοβνᾶ τὸν λαὸν καὶ αὐτομολήσαντος πρὸς Σενναχηρεὶμ βασιλέα τῆς Συρίας.

ιδ'.

Τούτῳ τῷ ιδ' ἔτει τῆς βασιλείας Ἐζεκίου ἀνέβη Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις τῆς Ἰουδαίας τὰς ὀχυρὰς, καὶ ἔλαβεν αὐτάς. ἐπιβαλὼν δὲ τῷ Ἐζεκίᾳ ἀργυρίου τάλαντα τ' καὶ χρυσίου τάλαντα λ', καὶ ταῦτα λαβὼν παρ' αὐτοῦ, ἔτι περιεκάθητο συμπάσαις ταῖς παρεμβολαῖς αὐτοῦ ταῖς ἐν Ἱερουσαλήμ, βουλόμενος καὶ αὐτὴν πολιορκῆσαι, ὡς καὶ τὰς ἄλλας. P 116

Ἀκούσας δὲ ὁ Σενναχηρεὶμ ὅτι Θαρθᾶς βασιλεὺς Αἰθιόπων ἐξῆλθεν πολιορκῆσαι αὐτόν, ἀπέστειλεν πρὸς Ἐζεκίαν λέγων, Μή σε ἀπατάτω ὁ θεός σου ἐφ' ᾧ σὺ πέποιθας ἐπ' αὐτῷ, λέγων, Οὐ μὴ παραδοθῇ Ἱερουσαλὴμ εἰς χεῖρας βασιλέως Ἀσσυρίων. οὐκ ἤκουσας ἃ πεποιήκασι βασιλεῖς Ἀσσυρίων πάσῃ τῇ γῇ, ὡς ἀπώ-

6. Σοβνὰϱ P. sola tacente V. ibid. διετάξατο R. 12. ἐπιβάλλων P. 7. τοῦ προδόντος Σοβνᾷ P 21. ἀπώκησαν PV.

VI. Anni a m. c.

XI. Olympias.

VII. VIII. IX. X.

XII. Olympias.

XI. XII. XIII. 4776.

Sobnar summus Pontifex agnoscebatur, cui successit Eliacim, Helciae qui exercitum Sobnae prodidit, et ad Sennacherim Regem Syriae defecit, filius.

XIV.

Hoc regni Ezechiae anno XIV. profectus est Sennacherim Rex Assyriorum adversus urbes Judaeae munitas, easque expugnavit. Ezechiam vero adortus, argenti CCC. et auri XXX. talentis ab eo acceptis, nihilo secius, cum suis universis copiis urbem Hierosolymitanam circumsedit, quam ut et caeteras alias urbes obsidere constituerat.

Cum vero Sennacherim Tbartham (Tharacam) Regem Aethiopum, bellum sibi illaturum adventare accepisset, misso ad Ezechiam legato, *Ne*, inquit, *fallat te Deus tuus, in quem spem tuam reposuisti, cui sic ais, Non tradatur Hierusalem in manus Regis Assyriorum. Nunquid au-*

B κισαν αὐτήν, καὶ σὺ ῥυσθήσῃ; τοῦ δὲ Ἐζεκίου γνησίως τὸν θεὸν ἐπικαλεσαμένου, καὶ τοῦ θεοῦ ἐπακούσαντος αὐτόν, ἐξελθὼν ἄγγελος κυρίου ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἐν μιᾷ νυκτὶ ρπέ χιλιάδας. ἀναστάντες δὲ τὸ πρωὶ ηὗρον πάντα τὰ σώματα νεκρά· καὶ οὕτω διεσώθη ὅ τε λαὸς καὶ Ἱερουσαλήμ. καὶ ὑποστρέψας ὁ Σενναχηρεὶμ ᾤκησεν εἰς Νινευή. ἐν δὲ τῷ προσκυνεῖν αὐτὸν Ἀρσὰχ τὸν πάτραρχον αὐτοῦ Ἀδραμέλεχ καὶ Σαρασὰρ υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν ἐν μαχαίραις. δείκνυται κἀντεῦθεν σαφῶς ὅσον ἰσχύει δικαίου προσευχὴ ἐν πάσαις ταῖς ἐντολαῖς τοῦ θεοῦ περιπατοῦντος.

C Κατὰ τὸν αὐτὸν χρόνον ἀῤῥωστήσαντι τῷ Ἐζεκίᾳ καὶ μέλλοντι τελευτᾶν προσδωρεῖται ὁ θεὸς διὰ Ἡσαΐου τοῦ προφήτου ἔτη ζωῆς ιε δι' ἀναποδισμοῦ φωστῆρος ἡμερινοῦ δέκα ἀναβαθμίσι γενομένου. ἐν ᾧ καιρῷ καὶ Μαρωδὰχ υἱὸς Βαλαδὰν

R 274 ἀπέστειλεν ἐπιστολὰς καὶ πρέσβεις καὶ δῶρα τῷ Ἐζεκίᾳ. ἤκουσεν γὰρ ὅτι ἐμαλακίσθη Ἐζεκίας ἕως θανάτου, καὶ ἀνέστη ἐκ τῆς ἀῤῥωστίας αὐτοῦ, καὶ εἶδεν τὰ δῶρα, καὶ ἐχάρη ἐπ' αὐτοῖς Ἐζεκίας.

V 94 ιγ' Ὀλυμπιάς.

D ιε', ις', ιζ', ιη'.

Προεφήτευον Ἡσαΐας, Ὡσηὲ καὶ Μιχαίας.

5. καὶ alterum om. P. 7. Ἀῤῥὰχ P. *ib.* πάτραχον RV. 12. προδωρεῖται P. 13. ἀναβαθμήσει V, ἀναβαθμήσεις P. 18. ὁ Ἐζεκίας P.

Anni a m. c. *disti quaecumque egere Reges Assyriorum in universa terra, atque ut hanc incolis spoliarint: tu vero evades incolumis?* Ezechia autem enixe Deum deprecante, Deoque preces ejus exaudiente, egressus Angelus Domini, sustulit ex Assyriorum castris una nocte CLXXXV. millia. Illi vero mane surgentes, invenere omnia cadavera, sicque servatus est, ac exercitus Hierusalem. Reversus deinde Sennacherim, Ninive habitavit: qui dum Arrach adoraret, Deum patrium suum, ab Adramelech et Sarasar filiis suis gladiis confossus occubuit. Atque hinc evidenter apparet, quantum valeant preces justi, qui in omnibus Dei mandatis ambulat.

Eadem tempestate, aegrotante Ezechia, mortique proximo, vitam illi Deus per Esaiam Prophetam ad annos XV. prorogavit, diurno luminari, (seu sole) per decem gradus regresso: quo quidem tempore Marodach, filius Baladan, epistolas et legatos, ac munera Ezechiae misit. Audierant enim illum ad mortem aegrotare, et ab aegritudine convaluisse, viditque munera, et super iis laetatus est Ezechias.

XIII. Olympias.

4780. XV. XVI. XVII. XVIII.

Prophetabant Esaias, Osee, et Michaeas.

ιδ' Ὀλυμπιάς.

ιϑ', κ', κα', κβ'.

ιε' Ὀλυμπιάς.

κγ', κδ', κε', κς'.

ις' Ὀλυμπιάς.

κζ', κη', κϑ'.

Μετὰ Ἐζεκίαν ἐβασίλευσεν Μανασσῆς υἱὸς αὐτοῦ ἔτη νε'.

ὁμοῦ ,δωμϑ'.

α'. P 117

ιζ' Ὀλυμπιάς.

β', γ'.

Τούτῳ τῷ τρίτῳ ἔτει Μανασσοῦ καὶ δευτέρῳ ιζ' Ὀλυμπιάδος ἀπέθανεν Ῥῶμος ἐν τῷ βουλευτηρίῳ Ῥώμης κατὰ μέλος διαιρεθείς, ἄρξας ἔτη λή'. μεϑ' ὃν γέγονε δεύτερος βασιλεὺς ἐν Ῥώμῃ Νουμμᾶς Πομπήλιος ἔτη μγ'.

Οὗτος Νουμμᾶς ὁ καὶ Πομπήλιος δεξάμενος πρεσβευτὰς ἐκ τῆς χώρας τῶν λεγομένων Πελασγῶν, φορούντων χλαμύδας ἐχούσας ταβλία ῥούσαια, καθάπερ οἱ ἀπὸ τῆς Ἰσαυρίας χώρας, B *καὶ τερφθεὶς τοῦ σχήματος, ἐπενόησεν πρῶτος ἐν Ῥώμῃ χλαμύ-*

12. *δευτέρῳ*] *δευτέρας* V, om. P. 13. *μέρος* P. 17. *φορούντων*] *φοροῦντας* Malalas p. 33. 16. 18. *ταββλία* P.

XIV. Olympias.

XIX. XX. XXI. XXII.

XV. Olympias.

XXIII. XXIV. XXV. XXVI.

XVI. Olympias.

XXVII. XXVIII. XXIX.

Post Ezechiam, regnavit Manasses, illius filius, annos LV. Colliguntur anni MDCCCXLIX.

I.

XVII. Olympias.

II. III.

Hoc tertio Manassae anno, XVII. Olympiade, Romulus interiit, Romae in Senatu in partes discerptus, cum regnasset annos XXXVIII. Post quem secundus Romae Rex fuit Numa Pompilius, isque regnavit annos XLIII.

Hic Numa Pompilius legatis acceptis ex eorum regione quos Pelasgos vocant, qui chlamydes clavis purpureis adornatas, quemadmodum ii qui ex Isaurorum regione erant deferre solent, isto delectatus amictu,

δας φορεῖσθαι, τὰς μὲν βασιλικὰς πορφυρᾶς, ἐχούσας ταβλία χρυσᾶ, τὰς δὲ τῶν συγκλητικῶν καὶ τῶν ἄλλων τῶν ἐν ἀξίαις καὶ στρατείαις χλαμύδας σήμαντρον τῆς βασιλικῆς φορεσίας ταβλία πορφυρᾶ, ἀξίαν δηλοῦντα Ῥωμαϊκῆς πολιτείας καὶ ὑποταγήν, κελεύσας μηδένα συγχωρεῖσθαι εἰσελθεῖν εἰς τὸ αὐτοῦ παλάτιον πρὸς αὐτὸν δίχα τοῦ σχήματος τῆς αὐτῆς χλαμύδος. καὶ οὐ συνεχώρουν τινὶ εἰσελθεῖν οἱ φυλάσσοντες τὸ παλάτιον, εἰ μὴ ἐφόρει χλα-
R 276 μύδα ἔχουσαν φιλοτιμίαν βασιλικῆς ἐσθῆτος, καθὼς ὁ σοφώτα-
C τος Σουετώνιος Τράγκυλλος Ῥωμαίων ἱστοριογράφος συνεγράψατο.

δ', ε'.

ιη' Ὀλυμπιάς.

ς'.

Νουμᾶς Πομπήλιος τετάρτῳ ἔτει τῆς αὐτοῦ βασιλείας ἐν Ῥώμῃ κτίζει τὸ Καπετώλιον ἐκ θεμελίων.

ζ'.

Νουμᾶς Πομπήλιος κογγιάριον ἔδωκεν ἐν Ῥώμῃ ἀσσάρια ξύλινα καὶ ὀστράκινα.

η', θ'.

D

ιθ' Ὀλυμπιάς.

3. χλαμύδας] ἐχούσας addit Malalas. 9. Τραγκύλλος Malalas, Στραγκύαλος PV. 10. δ', ε' om. P.

Anni a m. c. primus Romae auctor fuit, ut chlamydes ejusmodi deinceps induerentur: ac ut regiae quidem purpureae cum aureis, Senatorum vero ac Magistratuum, vel eorum qui in militia praefecturas obtinerent, chlamydes, regio habitui consentaneae, cum purpureis duntaxat clavis essent, quae Romanae reipublicae dignitatem demonstrarent et subjectionem: edita insuper sanctione, qua nemini liceret Palatium ingredi, ac se adire, nisi cum ejusmodi chlamydis habitu. Sed nec ii qui ad Palatium excubabant, quenquam sinebant ingredi, nisi chlamydem, quae regiae munificentiae haberet symbolum, deferret, ut auctor est doctissimus Suetonius Tranquillus Romanorum Historicus.

XVIII. Olympias.

4800. VI.

Numa Pompilius anno regni IV. Romae Capitolium a fundamentis aedificat.

VII.

Numa Pompilius civibus in congiarium Romae dedit asses ligneos et scorteos.

VIII. IX.

XIX. Olympias.

A, $A' \in \mathcal{C}$
$C \in \mathcal{C}_1$
A', $A'' \in \mathcal{C}'$

Ejercicio siguiente. Ejercicio 3. V 16

Ejercicio 4.

Hallar λ siguiendo regularidad del Discurrido Lagrangiano. Se obtuvo $\lambda = 0$ obtuvo multiplicar ambos lados por $\dot{x}(t)$ dos, que $\lambda \neq 0$ $\dot{x}(t) \neq 0$ $\forall t \in [0,1]

κγ', κδ', κε'.

κγ' Ὀλυμπιάς.

κς', κζ', κη', κϑ'.

κδ' Ὀλυμπιάς.

λ', λα', λβ', λγ'.

R 278 κε' Ὀλυμπιάς.

λδ', λε', λς'.

Μανασσῆς ἐν τῇ αἰχμαλωσίᾳ ὢν ἐπέστρεψεν πρὸς τὸν ϑεὸν
C *τῶν πατέρων αὐτοῦ, καὶ ἀπεκατεστάϑη εἰς τὴν βασιλείαν αὐτοῦ.*

λζ'.

κς' Ὀλυμπιάς.

λη', λϑ', μ', μα'.

κζ' Ὀλυμπιάς.

μβ', μγ', μδ'.

Τούτῳ τῷ ἔτει Νουμμᾶς Πομπήλιος Ῥωμαίων βασιλεὺς κα-
ταστήματι τελευτᾷ.

Ἐν Ῥώμῃ τρίτος ἐβασίλευσεν Τοῦλλος ὁ καὶ Στήλιος
ἔτη λγ'.

8. ὑπέστρεψε P, ἐπέτρεψεν V.

Anni a m. c. xxiii. xxiv. xxv.

XXIII. Olympias.

4828. xxvi. xxvii. xxviii. xxix.

XXIV. Olympias.

xxx. xxxi. xxxii. xxxiii.

XXV. Olympias.

xxxiv. xxxv. xxxvi.

Manasses cum in captivitate esset, ad Deum patrum suorum reversus est, et in Regnum suum est restitutus.

xxxvii.

XXVI. Olympias.

xxxviii. xxxix. xl. xli.

XXVII. Olympias.

xlii. xliii. xliv.

Hoc anno, Romae Numa Pompilius Romanorum Rex naturali morte extinguitur.

Romae tertius regnavit Tullus, qui et Hostilius, ann. xxxiii.

	ιγ' Νουμηνία.	
	κδ' κϛ' κη'.	
	α' Νουμηνία.	
δ	δ' ε' ϛ'.	
	ιβ' Νουμηνία.	
ε	ζ' η' θ'.	
	Ἀπὸ Νουμηνίας Ἰουλίων ἕως ἐξ οὗ εἰσὶ δεκ. ἡμ.	Τ 121
	ιθ' Νουμηνία.	
ζ	ια' ιβ' ιγ'.	
	Ἀπὸ Νουμηνίας Ἰουλίων ἕως οὗ εἰσὶ δεκ. ἡμ.	Τ 122

ιδ Οὗτος δοκεῖ, κατὰ μικρὸν εἰδὼς, κεφαλαιωδῶς γνω-
σθῆναι. Καὶ ὁ μὲν κατὰ τὴν Ἀλεξάνδρειαν ἐκ τῶν Ἀλεξανδρέων
καὶ παρ' ἑαυτῷ τὸν Διονύσιον Ἀρεοπαγίτην ἀναδείκνυται. Ἀλλὰ
τοῦτο μὲν ἐπὶ τοῖς ἑξῆς ἂν εἴη. τὸ δὲ κατὰ τὴν Ῥώμην ἐκ τῶν
ἐν τοῦτοις ἐτῶν ἐστὶ, ἐπὶ Ἀντωνίνου Πίου ἐν ἔτει
ιδ' ἀπὸ τῆς ἐπὶ Τραϊανοῦ ἀρχῆς.

	ΔΙΤΟΣ Ὀλυμπιὰς.
	ΔΙΤΟΣ Ἔτος.
	ΔΙΤΟΣ Ἡμέραι.
	ϛ' ιη' ιθ'.
	Ἀπὸ Νουμηνίας Ἰουλίων ἕως οὗ εἰσὶ δεκ. ἡμ.	Τ 123

Τοῦ Ἀντωνίνου ἔτος ἐστὶ ιδ' ἀπὸ τῆς ἐπὶ Τραϊανοῦ ἀρχῆς.

	ΔΙΤΟΣ Ἔτος.
	ΔΙΤΟΣ Ἡμέραι. Ἐπὶ τῶν ἐτῶν. Ἐπὶ τῶν ἡμερῶν.
	ιδ' ιη' ιθ'.
	Ἀπὸ Νουμηνίας Ἰουλίων ἕως οὗ εἰσὶ δεκ. ἡμ.	Τ 124

Ὁλδὰ γυνὴ Σελὴμ τοῦ ἱματιοφύλακος τοῦ ἱερέως παρ' Ἑβραίοις προεφήτευσεν, καὶ Ἐλισαβελλὴμ ὁ τοῦ ἱματιοφύλακος
B τοῦ ἱερέως, καὶ Σοφωνίας καὶ Ὀδολλάμ.

ις'.

Τέταρτον ἔτος τῆς προφητείας Ἱερεμίου. ἐντεῦθεν ἐπὶ τὸ πρῶτον ἔτος Κύρου τοῦ Περσῶν βασιλέως ἔτη ἑβδομήκοντα.

V 97 λε' Ὀλυμπιάς.

ιζ', ιη'.

Τούτῳ τῷ ἔτει τὸ πάσχα νομίμως γέγονεν. ἀφ' οὗ γὰρ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐτελεύτησεν, οὐκ ἐφύλαξεν ὁ λαὸς τὸ πάσχα νομίμως, εἰ μὴ νῦν. καὶ Χελκίας δὲ ὁ ἱερεύς, πατὴρ Ἱερεμίου
C τοῦ προφήτου, τῷ ἐνεστῶτι χρόνῳ ηὗρεν ἐν τῷ ἱερῷ τὸ βιβλίον τοῦ νόμου. τῷ παρόντι χρόνῳ Ἰωσίας ὁ βασιλεὺς ἐπέθηκεν τὰ κῶλα τῶν ἀνθρώπων ἐπὶ τὰ κῶλα τῶν εἰδώλων, ὡς γέγραπται ἐν τῇ βίβλῳ τῶν Βασιλειῶν.

ιθ', κ'.

λς' Ὀλυμπιάς.

κα'.

Τούτῳ τῷ ἔτει Τοῦλλος ὁ καὶ Στήλιος ἐν Ῥώμῃ τῆς οἰκίας αὐτοῦ κεραυνωθείσης συγκατεφλέχθη αὐτῇ καὶ ἀπέθανεν. καὶ ἐβασίλευσεν ἐν Ῥώμῃ τέταρτος Ἄγκος Μάρκος ἔτη κδ'.

11. *Χελκίας*] Ἐλκίας m. P. *ibid.* δὲ om. P. 15. *βασιλέων* P.
16. *ιθ', κ'* om. PV. 21. *τέταρτος*] *τρίτος* V. *ib.* Ἄγκιος R.

Olda, uxor Selem custodis vestium sacerdotis, apud Hebraeos prophetavit, ut et Elisabellem filius custodis vestium sacerdotis, et Sophonias, et Odollam.

XVI.

Quartus annus prophetiae Hieremiae. Hinc usque ad annum I. Cyri Regis Persarum, anni LXX.

XXXV. Olympias.

XVII. XVIII.

Hoc anno, Pascha secundum legem celebratum est. Ex quo enim Jesus filius Nave e vita excessit, populus Pascha ex lege nisi hoc anno non observavit: et Helcias Sacerdos, pater Hieremiae Prophetae, hoc praesente anno librum legis in templo invenit. Hoc perinde anno Josias Rex membra hominum posuit super membra idolorum, quemadmodum scriptum est in libro Regum.

XXXVI. Olympias.

XXI.

Hoc anno, Tullus, qui et Hostilius dictus est, Romae tacta de coelo

PASSIBILE.

adj. ad omn.

Ce, Ce, Ce.

Qui potest pati. Passibilis Deus, Deus qui potest pati. Passibilis Deus, Deus qui potest pati.

Passibilis Deus, Deus qui potest pati.

Passibilis Deus, Deus qui potest pati.

B Ὁ αὐτὸς Φαραὼ Νεχαὼ βασιλεὺς Αἰγύπτου τὸν Ἰωάχαζ τὸν καὶ Σελλήμ, υἱὸν Ἰωσίου, τετάρτῳ μηνὶ τῆς βασιλείας αὐτοῦ αἰχμάλωτον ἔλαβεν, δήσας αὐτὸν δεσμοῖς χαλκοῖς, καὶ κατήγαγεν εἰς Αἴγυπτον καὶ πολὺ πλῆθος τοῦ λαοῦ, ἐν οἷς καὶ Ἱερεμίας ὁ προφήτης συγκατέβη μετ' αὐτῶν εἰς Αἴγυπτον. τὸν δὲ ἀδελφὸν αὐτοῦ Ἰωαχὰζ τοῦ καὶ Σελλὴμ Ἰεχωνίαν τὸν καὶ Ἰωακεὶμ κατέστησεν ἡγεῖσθαι τῶν ὑπολελειμμένων Ἰουδαίων ἐν Ἱερουσαλήμ, φόρον τε ἐπιθεὶς αὐτῷ ἀργυρίου τάλαντα ρ' καὶ χρυσίου τάλαντα ι' ἀνεχώρησεν τῆς Ἰουδαίας.

Μετὰ Ἰωάχαζ τὸν καὶ Σελλὴμ ἐβασίλευσε τῆς Ἰουδαίας Ἰε-
C χωνίας ὁ καὶ Ἰωακείμ, ἀδελφὸς αὐτοῦ, ἐν Ἱερουσαλὴμ ἔτη ιβ'. ὁμοῦ ,δωϟδ' καὶ μῆνας γ'.

α'.

Ἐν ἀρχῇ τῆς βασιλείας Ἰεχωνίου τοῦ καὶ Ἰωακείμ, υἱοῦ Ἰωσίου βασιλέως Ἰούδα, ἐγένετο λόγος κυρίου πρὸς Ἱερεμίαν λέγων οὕτως. Ἔσται Ἱερουσαλὴμ ὡς ἡ Σηλώμ. καὶ οἱ ἱερεῖς καὶ
V 98 οἱ ψευδοπροφῆται καὶ πᾶς ὁ λαὸς ἀκούσαντες τὸν λόγον τοῦτον συνελάβοντο τὸν Ἱερεμίαν, καὶ εἶπαν, Κρίσις θανάτου τῷ ἀνθρώπῳ τούτῳ. τοῦ δὲ Ἱερεμίου εἰπόντος ὅτι Κύριος ἐλάλησέ μοι οὕτως, οἱ αὐτοὶ ἱερεῖς εἶπον, Οὐκ ἔστι κρίσις τῷ ἀνθρώπῳ τούτῳ.

6. Ἰωαχὰζ m. P solius, Ἀχὰζ RV. 9. ι'] ι καὶ P. 12. καὶ μῆνας γ' post ιβ' ponit P sola. 18. συνέλαβον P. 20. αὐτοὶ om. P.

Idem ipse Pharao Nechao Rex Aegypti, Joachaz, qui et Sellem est appellatus, filium Josiae, quarto illius regni mense, captivum factum, et aereis catenis vinctum in Aegyptum abduxit, magnamque populi copiam, in quibus Hieremias Propheta cum iis in Aegyptum descendit. Fratrem porro ejusdem Achaz, qui et Sellem, Jechoniam, qui et Joacim ducem super reliquos Judaeos Hierosolymis constituit, argenti talentorum centum, et auri talentorum decem imposito tributo, recessitque ex Judaea.

Post Joachaz, qui et Sellem dictus, regnavit in Judaea Jechonias, qui et Joacim nuncupatus, illius frater, Hierosolymis, ann. XII. et menses III. Colliguntur anni IV. MDCCCXCIV.

I.

In ipso regni exordio Jechoniae, qui et Joacim appellatus, filii Josiae Regis Juda, factum est verbum Domini ad Hieremiam, sic dicens: *Erit Hierusalem ut Silom.* Hinc Sacerdotes et Pseudoprophetae, ac universus populus, hoc sermone audito, comprehenderunt Hieremiam, et dixerunt: *Judicium mortis homini huic.* Hieremia vero dicente: *Dominus sic ad me locutus est:* tum Sacerdotes dixere: *Non est judicium mortis huic homini.*

Προεφήτευον Οὐρίας υἱὸς Σαμαίου, Ἱερεμίας καὶ Βουζὶ D
καὶ Βαρούχ ἐκ Καριαθιαρείμ καὶ Ἐζεκιήλ, ὃς προστάσσεται παρὰ θεοῦ ἀπελθεῖν εἰς τὸν οἶκον Ῥηχαβεὶν καὶ συγκαλέσασθαι τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς Ἰωναδὰβ τοῦ πιεῖν οἶνον. καὶ οὐκ R 286
ἠβουλήθησαν, λέγοντες, Ὁ πατὴρ ἡμῶν ἐνετείλατο ἡμῖν μήτε εἰς οἶκον μεῖναι, ἀλλ' ἐν σκηναῖς, μήτε οἶνον πιεῖν ἕως θανάτου ἡμῶν. ὅθεν ὀνειδίζων ὁ θεὸς τὸν Ἰσραὴλ λέγει, Υἱοὶ Ἰωναδὰβ καὶ υἱοὶ Ῥηχαβεὶν ἐφύλαξαν λόγους πατρὸς αὐτῶν· ὁ δὲ λαός μου οὐκ ἐφυλάξαντο τὸν λόγον μου, καὶ τὰ ἑξῆς.

λϑ' Ὀλυμπιάς. P 122

β', γ'.

Οὐρίαν προφήτην Ἰεχωνίας ἀνεῖλεν, μὴ φέρων αὐτοῦ τὴν παῤῥησίαν.

δ'.

Τούτῳ τῷ τετάρτῳ ἔτει Ἰεχωνίου υἱοῦ Ἰωσίου βασιλέως Ἰούδα ἦλθεν Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς Ἱερουσαλὴμ καὶ ἐπολιόρκησεν αὐτήν. καὶ ἔδωκε κύριος ἐν χειρὶ αὐτοῦ τὸν Ἰεχωνίαν τὸν καὶ Ἰωακείμ, βασιλέα Ἰούδα, καὶ ἀπὸ μέρους τῶν σκευῶν οἴκου τοῦ θεοῦ, καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν Σενναὰρ οἴ-
κου τοῦ θεοῦ αὐτοῦ, καὶ τὰ σκεύη εἰσήνεγκεν εἰς τὸν οἶκον ϑη- B

2. *Καριαθαρείμ* P. 7. *ὁ θεὸς* om. P. 12. *αὐτοῦ φέρων* P. 15. *α' ἔτος Ναβουχοδονόσορ ἐκ τῆς προφητείας Δανιὴλ* m. P. *ibid. τετάρτῳ* om. P. 16. *Ναβουχοδονόσωρ* semper P. 19. *θεοῦ αὐτοῦ* P sola. 20. *καὶ — αὐτοῦ* om. R.

Prophetarunt Urias filius Samaeae, Hieremias, et Buzi, et Baruch ex Cariatharim, et Ezechiel, cui praeceptum est a Deo ut iret in domum Rhechabin, et convocaret filios ejus, et filios Jonadab, ut biberent vinum. At hi recusarunt, dicentes: *Pater noster praecepit nobis, uti nec in domo ulla habitaremus, sed in tabernaculis, nec vinum biberemus usque ad mortem.* Unde exprobrans Israeli, dicit: *Filii Jonadab et filii Rechabin patris sui sermones servaverunt: populus vero meus non custodivit sermonem meum;* et quae sequuntur. Anni a m. c.

XXXIX. Olympias.

II. III. 4884.

Jechonias Uriam Prophetam occidit, cum illius in dictis licentiam non ferret.

IV.

Hoc anno Jechoniae, filii Josiae, Regis Juda, venit Nabuchodonosor Rex Babylonis Hierusalem, et obsedit eam, et tradidit Dominus in manu ejus Jechoniam, qui et Joacim dictus est, Regem Juda, et partem vasorum domus Dei, et asportavit eam in terram Sennaar in domum Dei sui,

σαυροῦ τοῦ θεοῦ αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς Ἀσφανὲζ τῷ ἀρχιευνούχῳ αὐτοῦ εἰσαγαγεῖν ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας Ἰσραὴλ καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας καὶ ἀπὸ τῶν φορθομμεῖν νεανίσκους, οἷς οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος, καὶ καλοὺς τῇ ὄψει καὶ συνιέντας ἐν πάσῃ σοφίᾳ καὶ γινώσκοντας γνῶσιν καὶ διανοουμένους φρόνησιν, καὶ οἷς ἐστιν ἰσχὺς ἐν αὐτοῖς ἑστάναι ἐν τῷ οἴκῳ ἐνώπιον τοῦ βασιλέως καὶ διδάξαι αὐτοὺς γράμματα καὶ γλῶσσαν Χαλδαίων. καὶ διέταξεν αὐτοῖς ὁ βασιλεὺς τὸ τῆς ἡμέρας καθ' ἡμέραν ἀπὸ τῆς τραπέζης τοῦ βασιλέως καὶ ἀπὸ τοῦ οἴνου τοῦ πότου αὐτοῦ, καὶ θρέψαι αὐτοὺς ἔτη τρία, καὶ μετὰ
C ταῦτα στῆναι ἐνώπιον τοῦ βασιλέως. καὶ ἐγένοντο ἐν αὐτοῖς ἐκ τῶν υἱῶν Ἰούδα Δανιὴλ καὶ Ἀνανίας καὶ Μισαὴλ καὶ Ἀζαρίας, καὶ ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα τῷ Δανιὴλ Βαλτάσαρ, καὶ τῷ Ἀνανίᾳ Σεδράχ, καὶ τῷ Μισαὴλ Μισάκ, καὶ τῷ Ἀζαρίᾳ Ἀβδεναγώ. καὶ ἔθετο Δανιὴλ ἐν τῇ καρδίᾳ αὐτοῦ ὡς οὐ μὴ ἀλισγηθῇ ἐν τῇ τραπέζῃ τοῦ βασιλέως καὶ ἐν τῷ οἴνῳ τοῦ πότου αὐτοῦ. καὶ ἠξίωσεν τὸν ἀρχιευνοῦχον, ὡς οὐ μὴ ἀλισγηθῇ.

Καὶ ἔδωκεν ὁ θεὸς τὸν Δανιὴλ εἰς ἔλεον καὶ οἰκτιρμοὺς ἐνώπιον
R 288 τοῦ ἀρχιευνούχου. καὶ εἶπεν ὁ ἀρχιευνοῦχος τῷ Δανιήλ, Φοβοῦμαι ἐγὼ τὸν κύριόν μου τὸν βασιλέα τὸν ἐκτάξαντα τὴν βρῶ-
D σιν ὑμῶν καὶ τὴν πόσιν ὑμῶν, μήποτε ἴδῃ τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ παρὰ τὰ παιδάρια τὰ συνήλικα ὑμῶν, καὶ καταδικάση-

8. φορθομαιεῖν P, φορτομμὶν m. P, φαρθμμεῖν m. R. 5. συνιέντας] τοὺς συνέτας P. 9. τοῦ prius om. P. 14. Σιδρὰκ P, Σεδρὰκ R. 22. τὰ alterum om. R.

et vasa intulit in domum Dei sui. Et ait Rex Asphanez Praeposito Eunuchorum, ut introduceret de filiis Israel, et de semine regio, et tyrannorum pueros, in quibus nulla esset macula, decoros forma, et eruditos omni sapientia, cautos scientia et doctos disciplina, et qui possent stare in Palatio Regis, ut doceret eos literas et linguam Chaldaeorum. Et constituit eis Rex annonam per singulos dies de cibis suis, et de vino unde bibebat ipse, ut enutriti tribus annis postea starent in conspectu Regis. Fuerunt autem inter eos de filiis Juda, Daniel, Ananias, Misael, et Azarias. Et imposuit eis Praepositus Eunuchorum nomina, Danieli, Balthazar: Ananiae, Sidrach: Misaeli, Misach: et Azariae, Abdenago. Proposuit autem Daniel in corde suo, ne pollueretur de mensa Regis, neque de vino potus ejus. Et rogavit Eunuchorum Praepositum, ne contaminaretur.

Dedit autem Deus Danieli gratiam et misericordiam in conspectu Principis Eunuchorum. Et ait Princeps Eunuchorum ad Danielem: *Timeo ego Dominum meum Regem, qui constituit cibum vestrum et potum, qui si videat facies vestras macilentas, prae caeteris adolescentibus coaevis vestris, condemnabitis caput meum Regi.* Et dixit Daniel ad Amer-

τε τὴν κεφαλήν μου τῷ βασιλεῖ. καὶ εἶπεν Δανιὴλ πρὸς Ἀμελσάδ, ὃν κατέστησεν ὁ ἀρχιευνοῦχος ἐπὶ Δανιὴλ καὶ Ἀνανίαν καὶ Μισαὴλ καὶ Ἀζαρίαν, Πείρασον δὴ τοὺς παῖδάς σου ἡμέρας δέκα, καὶ δότωσαν ἡμῖν ἀπὸ τῶν σπερμάτων τῆς γῆς, καὶ φαγόμεθα καὶ ὕδωρ πιόμεθα, καὶ ὀφθήτωσαν ἐνώπιόν σου αἱ ἰδέαι V 99
ἡμῶν καὶ αἱ ἰδέαι τῶν παιδαρίων τῶν ἐσθιόντων τὴν τράπεζαν τοῦ βασιλέως, καὶ καθὼς ἂν ἴδῃς, ποίησον μετὰ τῶν παίδων σου. καὶ εἰσήκουσεν αὐτῶν, καὶ ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα. καὶ ἐκ τέλους τῶν δέκα ἡμερῶν ὡράθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαὶ P 123
καὶ ἰσχυραὶ ταῖς σαρξὶν ὑπὲρ πάντα τὰ παιδάρια τὰ ἐσθίοντα τὴν τράπεζαν τοῦ βασιλέως. καὶ ἐγένετο Ἀμελσὰδ ἀναιρούμενος τὸ δεῖπνον αὐτῶν καὶ τὸν οἶνον τοῦ πότου αὐτῶν, καὶ ἐδίδου αὐτοῖς σπέρματα. καὶ ἔδωκεν αὐτοῖς ὁ θεὸς σύνεσιν καὶ φρόνησιν ἐν πάσῃ γραμματικῇ σοφίᾳ, καὶ Δανιὴλ συνῆκεν ἐν πάσῃ ὁράσει καὶ ἐνυπνίοις.

Ἰεχωνίας ὁ καὶ Ἰωακείμ, υἱὸς Ἰωσίου, τὰ μὲν πάντα ἔτη ἐβασίλευσεν ια', πρὸς τῷ τέλει δὲ τοῦ τρίτου ἔτους τῆς βασιλείας αὐτοῦ ἐβασίλευσεν Ναβουχοδονόσορ ἐν Βαβυλῶνι, ὡς εἶναι τὸ πρῶτον ἔτος τῆς βασιλείας Ναβουχοδονόσορ κατὰ τὸ παρὸν τέταρτον ἔτος Ἰεχωνίου τοῦ καὶ Ἰωκαείμ, καθὼς ἔστι τοῦτο λαβεῖν ἐκ B
τῆς δευτέρας τῶν Παραλειπομένων.

Τούτῳ τῷ τετάρτῳ ἔτει τῆς βασιλείας Ἰεχωνίου τοῦ καὶ Ἰωακείμ, βασιλέως Ἰούδα, καὶ πρώτῳ Ναβουχοδονόσορ βασιλέως

1. τὴν om. P. ib. Ἀμερσὰδ P. 2. καὶ Μισαὴλ] Μισαὴλ V. 3. δὴ om. P. 11. Ἀμελσὰδ] Μέλσαρ Ἀμερσὰδ m. P. 17. τὸ τέλος P. 21. τῆς δευτέρας] XXXVI. 5. 23. πρῶτον V.

sad, quem constituerat Princeps Eunuchorum super Daniel, et Ananiam, et Misael, et Azariam: *Tenta servos tuos diebus decem, et dentur nobis legumina ad vescendum, et aqua ad bibendum, et contemplare vultus nostros, et vultus puerorum qui vescuntur cibo regio, et sicut videris, facies cum servis tuis.* Qui audito sermone hujuscemodi, tentavit eos dies decem. Post dies autem decem apparuerunt vultus eorum meliores et corpulentiores prae omnibus pueris qui vescuntur cibo regio. Porro Amelsad tollebat cibaria, et vinum potus eorum, et dabat illis legumina. Pueris autem his dedit Deus scientiam et disciplinam in omni libro et sapientia: Danieli autem intelligentiam omnium visionum et somniorum.

Jechonias, qui et Joacim, Josiae filius, universe quidem regnavit annos XI. Ad finem porro tertii anni regni ejus, regnavit in Babylone Nabuchodonosor: ita ut primus annus regni Nabuchodonosor incidat in quartum annum Jechoniae, sive Joacim, quemadmodum ex secundo Paralipomenôn libro percipere licet.

Hoc quarto anno Jechoniae, sive Joacim, Regis Juda, et primo Nabuchodonosor Regis Babylonis, factum est verbum Domini, quod locutus

Βαβυλῶνος ὁ λόγος ὃν ἐλάλησεν Ἱερεμίας ὁ προφήτης πρὸς πάντα τὸν λαὸν Ἰούδα καὶ τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ, λέγων, Ἀπὸ τρισκαιδεκάτου ἔτους τοῦ αὐτοῦ Ἰωσίου, υἱοῦ Ἀμώς, βασιλέως Ἰούδα, ἕως τῆς ἡμέρας ταύτης ταῦτα κ' καὶ τρία ἔτη. ἐγενήθη λόγος κυρίου πρός με, καὶ ἐλάλησα πρὸς ὑμᾶς ὀρθρίζων καὶ λέγων, καὶ οὐκ ἠκούσατέ μου. καὶ εἶπε κύριος, Ἀπέστειλα πρὸς ὑμᾶς τοὺς δούλους μου τοὺς προφήτας ὄρθρου, λέγων,
R 290 Ἀποστραφήτω ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ἀπὸ
C τῶν πονηρῶν ἐπιτηδευμάτων ὑμῶν, καὶ κατοικήσατε ἐπὶ τῆς γῆς ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν ἀπ' αἰῶνος καὶ ἕως αἰῶνος. μὴ πορεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων τοῦ δουλεύειν αὐτοῖς καὶ τοῦ προσκυνεῖν αὐτοῖς, ὅπως μὴ παροργίζητέ με ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν τοῦ κακῶσαι ὑμᾶς, καὶ οὐκ ἠκούσατέ μου. διὰ τοῦτο τάδε λέγει κύριος τῶν δυνάμεων, Ἐπειδὴ οὐκ ἐπιστεύσατε τοῖς λόγοις μου, ἰδοὺ ἐγὼ ἀποστελῶ, καὶ λήψομαι πᾶσαν τὴν πατριὰν τοῦ βορρᾶ, καὶ πρὸς Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος τὸν δοῦλόν μου· καὶ ἄξω αὐτοὺς ἐπὶ τὴν γῆν ταύτην. καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτὴν καὶ ἐπὶ πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῆς. καὶ ἐξερημώσω αὐτοὺς καὶ δώσω αὐτοὺς εἰς ἀφανι-
D σμὸν καὶ εἰς συριγμὸν καὶ εἰς ὀνειδισμὸν αἰώνιον, καὶ ἀπολῶ ἀπ' αὐτῶν φωνὴν χαρᾶς καὶ φωνὴν εὐφροσύνης, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης καὶ ὀσμὴν μύρου, φωνὴν μύλου καὶ φῶς λύχνου.

2. καὶ om. V. Conf. Ierem. XXV. 3 τοῦ αὐτοῦ] καὶ αὐτοῦ PV. 4. τῆς om. P. ibid. ταῦτα] καὶ ἐγένετο praeponit m. P. 5. ἐγεννήθη PV. ib. ἄλλως πως παρὰ τοῖς ο' m. P. 9. κατοικήσετε V. 11. πορεύεσθαι PV. 14. κύριος λέγει P.

est Hieremias Propheta ad universum populum Juda, et habitatores Hierusalem, dicens: *A tertio decimo anno ipsius Josiae, filii Amos, Regis Juda, usque ad hanc diem, sunt hi tres et viginti anni. Et factum est verbum Domini ad me, et locutus sum ad vos manicans et loquens, et non audistis me. Et dixit Dominus: Misi ad vos servos meos diluculo dicens: Avertatur unusquisque a via sua mala, et a malis studiis vestris, et habitabitis in terra quam dedi patribus vestris a sacculo, et usque in sacculum. Ne ambuletis post Deos alienos, ut serviatis eis, et adoretis eos, ut non ad iracundiam provocetis me in operibus manuum vestrarum; et non audistis me. Propterea haec dicit Dominus exercituum: Quoniam non credidistis verbis meis, ecce ego mittam, et assumam cognationem Aquilonis omnem; et ad Nabuchodonosor Regem Babylonis servum meum; et adducam eos super terram istam, et super habitantes eam, et super omnes gentes, quae in circuitu ejus; et desolabo eos, et dabo eos in desolationem, et in sibilum, et in opprobrium sempiternum. Et perdam ex eis vocem gaudii, et vocem laetitiae; vocem sponsi, et vocem sponsae; et odorem unguenti; vocem molae, et vocem lucernae. Et erit omnis terra*

καὶ ἔσται πᾶσα ἡ γῆ αὕτη εἰς ἐρήμωσιν καὶ εἰς ἀφανισμόν, καὶ δουλεύσουσιν ἐν τοῖς ἔθνεσιν τούτοις τῷ βασιλεῖ Βαβυλῶνος ο' ἔτη. καὶ ἐν τῷ πληρωθῆναι τὰ ο' ἔτη ἐκδικήσω ἐπὶ τὸν βασιλέα Βαβυλῶνος καὶ ἐπὶ τὸ ἔθνος ἐκεῖνο, φησὶ κύριος.

Τῷ αὐτῷ τετάρτῳ ἔτει Ἰωακεὶμ τοῦ καὶ Ἰεχωνίου βασιλέως Ἰούδα Ἱερεμίας ὁ προφήτης προστάσσεται παρὰ κυρίου κεφαλῖδα βιβλίου λαβεῖν, καὶ γράψαι ἐν αὐτῇ πάντας τοὺς λόγους κυ- P 124
ρίου τοὺς ἐπὶ Ἱερουσαλὴμ χρηματισθέντας ἀπὸ ἡμερῶν Ἰωσίου βασιλέως Ἰούδα ἕως τοῦ τετάρτου ἔτους Ἰωακείμ, Ἴσως ἐπιστραφήσονται δι' ἅπερ λογίζομαι εἰς αὐτούς, καὶ οὐκ ἐπεστρέψατε. μετὰ δὲ τὸ ἀναγνῶναι ταῦτα τὸν Βαρουχ υἱὸν Νηρίου εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ τοὺς λόγους τούτους ἀπέστειλεν Ἰωακεὶμ Ἰουδεὶν λαβεῖν τὸ βιβλίον· καὶ λαβὼν Ἰουδεὶν τὸ βιβλίον ἀνέγνω. καὶ ὡς ἀνέγνω τρεῖς ἢ τέσσαρις σελίδας τῷ Ἰωακεὶμ ἐν οἴκῳ χειμερινῷ, V 100
ὅπου ἦν καὶ ἐσχάρα πυρός, ἀπέτεμεν αὐτὸ τῇ σμίλῃ τοῦ γραμματέως καὶ ἔῤῥιπτεν εἰς τὸ πῦρ τὸ ἐπὶ τῆς ἐσχάρας, ἕως οὗ ἐξέλιπεν τὸ βιβλίον ἐν τῷ πυρί, καὶ οὐκ ἐπέστρεψαν πρὸς τὸν κύριον. καὶ B
ὀργισθεὶς κύριος εἶπεν Ἰωακεὶμ τῷ καὶ Ἐλιακεὶμ διὰ Ἱερεμίου τοῦ προφήτου, Ἔκαυσας τὸ βιβλίον τοῦτο εἰπών, Διὰ τί ἔγραψας ἐπ' αὐτῷ λέγων, Ἐλεύσεται Ναβουχοδονόσορ καὶ διαφθερεῖ R 292
τὴν γῆν ταύτην, καὶ ἐκλείψει ἀπ' αὐτῆς ἄνθρωπος καὶ κτῆνος. διὰ τοῦτο εἶπεν κύριος Ἰωακείμ, Οὐκ ἔσται αὐτῷ καθήμενος ἐπὶ θρόνου Δαβίδ. καὶ ἔλαβεν ἑτέραν κεφαλῖδα βιβλίου Ἱερεμίας,

3. τὰ om. P. 11. Βαρὰχ P. 13. καὶ om. P. 14. τέσσαρας P. *ib.* τῷ] τοῦ P. 16. ἐξέλειπεν P. 18. τῷ Ἰ. P. *ib.* τῷ καὶ] καὶ τῷ P. 20. διαφθηρεῖ V. 22. Ἰωαχείμ P.

haec in desolationem, et in vastitatem. Et servient in his gentibus Regi Babyloni septuaginta annos. Et post septuaginta annos vindicabo super Regem Babylonis, et super gentem illam, dicit Dominus.

Hoc eodem quarto anno Joacim sive Jechoniae Regis Juda, Hieremias Propheta jubetur a Domino volumen libri accipere, et scribere in eo universa quae locutus est Dominus contra Hierusalem a diebus Josiae Regis Juda, usque ad annum quartum Joacim: *Fortasse propterea quae cogito super eos, convertentur, et non conversi estis.* Quae verba cum legisset Baruch filius Neriae in aures universi populi, misit Joacim Judin ut tolleret volumen, quod Judin acceptum legit; et cum tres quatuorve pagellas legisset Joacim Regi in domo hiemali sedenti, ubi et foculus ignis erat, scalpello scribae scidit illud, et projecit in ignem arulae, donec consumeretur totum volumen. Et non sunt reversi ad Dominum. Iratus ergo Dominus dixit Joacim et Eliacim per Hieremiam Prophetam: *Tu combussisti volumen istud, dicens: Quare scripsisti in eo, dicens: Veniet Nabuchodonosor, et vastabit terram hanc, et cessare faciet ab eo hominem et jumentum. Propterea dicit Dominus Joacim: Non erit*

καὶ ἔδωκεν αὐτὴν τῷ Βαρούχ, καὶ ἦν γεγραμμένα ἐν αὐτῇ πάντα ἅπερ ἦν κατὰ Ἰωακείμ.

ε'.

Ἱερεμίας ὁ προφήτης ῥίπτεται εἰς λάκκον βορβόρου ὑπὸ Μελχίου υἱοῦ Ἰωακείμ. Ἀβδεμέλεχ δὲ ὁ Αἰθίοψ, εὐνοῦχος τοῦ αὐτοῦ Ἰωακείμ, ἀκούσας τοῦτο ἐλάλησεν τῷ βασιλεῖ μάτην βεβλῆσθαι τὸν Ἱερεμίαν ἐν τῷ λάκκῳ. καὶ ἐπιτραπεὶς ὑπὸ τοῦ βασιλέως, λαβὼν λ' ἄνδρας ἀνήγαγεν αὐτὸν ἐκ τοῦ λάκκου τοῦ βορβόρου.

Ἐκ τῆς προφητείας Δανιήλ.

Ἐν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας Ναβουχοδονόσορ ἐνυπνιάσθη Ναβουχοδονόσορ ἐνύπνιον, καὶ ἐξέστη τὸ πνεῦμα αὐτοῦ καὶ ὁ ὕπνος αὐτοῦ ἐγένετο ἀπ' αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς καλέσαι τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους καὶ τοὺς φαρμάκους καὶ τοὺς Χαλδαίους τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ τὸ ἐνύπνιον αὐτοῦ. καὶ ἦλθον, καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως· καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς, Ἐνυπνιάσθην, καὶ ἐξέστη τὸ πνεῦμά μου τοῦ γνῶναι τὸ ἐνύπνιον. καὶ ἐλάλησαν οἱ Χαλδαῖοι τῷ βασιλεῖ συριστί, Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι, σὺ εἶπον τὸ ἐνύπνιον τοῖς παισί σου, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελοῦμεν. ἀπεκρίθη ὁ βασι-

3. ε' om. P. *ibid.* Ναβουχοδονόσορ β' m. R, Ναβουχοδονόσωρ m. P. 10. τοῦ Δανιήλ P. Est c. 2. 13. ὁ prius om. P. 16. ἦλθεν P.

Anni am. c. *ex eo qui sedeat super thronum David.* Et accepit aliud volumen Hieremias, et dedit illud Baruch, in quo erant scripta universa, quae erant contra Joacim.

Hieremias Propheta projicitur in lacum coeni a Melchia filio Joacim. Abdemelech autem Aethiops Eunuchus ipsius Joacim, hoc audiens, ac injuste Hieremiam projectum fuisse in lacum, locutus est ad Regem. Commisso ergo sibi negotio, accepit triginta viros, et Hieremiam e lacu coeni extraxit.

Ex Prophetia Danielis.

In anno secundo regni Nabuchodonosor, vidit Nabuchodonosor somnium, et conterritus est spiritus ejus; et somnium ejus fugit ab eo. Et dixit Rex ut vocarent incantatores, et magos, et maleficos, et Chaldaeos, ut indicarent regi somnium ejus. Et venerunt, et steterunt coram Rege. Et dixit Rex ad eos: „Somnium somniavi, et stupefactus est spiritus meus meus, ut non possem scire somnium.“ Et dixerunt Chaldaei ad Regem Syriace: „Rex in aeternum vive; dic somnium servis tuis, et interpretationem ejus indicabimus.“ Respondit Rex, et dixit Chaldaeis: „Sermo recessit a me; nisi indicaveritis mihi somnium, et inter-

λεὺς καὶ εἶπε τοῖς Χαλδαίοις, Ὁ λόγος ἀπ᾽ ἐμοῦ ἀπέστη· ἐὰν οὖν μὴ γνωρίσητέ μοι τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγείλητέ μοι, εἰς ἀπώλειαν ἔσεσθε καὶ οἱ οἶκοι ὑμῶν εἰς διαρπαγὴν ἔσονται. ἐὰν δὲ τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ γνωρίσητέ μοι, δώματα καὶ δωρεὰς καὶ τιμὴν πολλὴν λήψεσθε παρ᾽ ἐμοῦ. πλὴν τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγείλατέ μοι. ἀπε- P 125 R 294
κρίθησαν δεύτερον καὶ εἶπον, Ὁ βασιλεὺς εἰπάτω τὸ ἐνύπνιον τοῖς παισὶν αὐτοῦ, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγελοῦμεν. καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν, Ἐπ᾽ ἀληθείας οἶδα ἐγὼ ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε, καθότι εἴδετε ὅτι ἀπέστη ἀπ᾽ ἐμοῦ τὸ ῥῆμα. ἐὰν οὖν τὸ ἐνύπνιον μὴ ἀπαγγείλητέ μοι, οἶδα ὅτι ῥῆμα ψευδὲς καὶ διεφθαρμένον συνέθεσθε εἰπεῖν ἐνώπιόν μου, ἕως οὗ καιρὸς παρέλθῃ· τὸ ἐνύπνιόν μου εἴπατέ μοι, καὶ γνώσομαι ὅτι καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγείλητέ μοι. ἀπεκρίθησαν πάντες οἱ Χαλδαῖοι ἐνώπιον τοῦ βασιλέως καὶ εἶπον, Οὐκ ἔστιν ἄνθρωπος ἐπὶ τῆς ξηρᾶς, ὅστις τὸ ῥῆμα τοῦ βασιλέως δυνήσεται γνωρίσαι· καθότι πᾶς βασιλεὺς μέγας καὶ ἄρχων ῥῆμα τοιοῦτον B
οὐκ ἐπερωτᾷ ἐπαοιδὸν μάγον καὶ Χαλδαῖον, ὅτι ὁ λόγος ὃν ὁ βασιλεὺς ἐπερωτᾷ βαρύς, καὶ ἕτερος οὐκ ἔστιν ὃς ἀναγγελεῖ αὐτὸν ἐνώπιον τοῦ βασιλέως, ἀλλ᾽ οἱ θεοί, ὧν οὐκ ἔστιν ἡ κατοικία μετὰ πάσης σαρκός. τότε αὐτὸς ὁ βασιλεὺς ἐν θυμῷ καὶ ὀργῇ πολλῇ εἶπεν ἀπολέσαι πάντας τοὺς σοφοὺς Βαβυλῶνος· καὶ τὸ δόγμα ἐξῆλθεν, καὶ οἱ σοφοὶ ἀπεκτείνοντο· καὶ ἐζήτησαν Δανιὴλ καὶ τοὺς φίλους αὐτοῦ ἀνελεῖν. τότε Δανιὴλ ἀπε- V 101

6. ἐπαγγείλατε P. 13. μου om. P. 14. ἀπαγγελεῖτε P sola. 16. δυνήσηται PV. 18. ὃν βασιλ. P. 19. ἀγγελεῖ P. 23. ἀπεκταίνοντο R.

pretationem ejus, peribitis vos, et domus vestrae diripientur. Si autem somnium et conjecturam ejus narraveritis, dona et munera, et honores multos accipietis a me. Somnium igitur et interpretationem ejus indicate mihi.“ Responderunt secundo, et dixerunt: „Rex dicat somnium servis suis, et interpretationem ejus indicabimus.“ Respondit Rex, et ait: „In veritate scio, quod tempus redimitis, scientes quod recesserit a me verbum. Si ergo somnium non indicaveritis mihi, scio quod verbum mendax et corruptum composuistis, ut dicatis coram me, donec tempus praetereat: somnium dicite mihi, et sciam, quia et conjecturam ejus annunciabitis mihi.“ Responderunt omnes Chaldaei in conspectu regis, et dixerunt: „Non est homo super terram, qui possit verbum Regis notum facere, quia omnis Rex magnus et Princeps, verbum tale non interrogat incantatorem, magum et Chaldaeum: quia sermo quem Rex interrogat gravis, et alius non est, qui renuntiet eum coram Rege, nisi Dii, quorum non est habitatio cum omni carne.“ Tunc Rex in furore et ira multa dixit perdere omnes sapientes Babylonis. Et sententia egressa est, et sapientes interficiebantur: et quaerebant Danielem et amicos ejus in-

κρίθη βουλὴν καὶ γνώμην τῷ Ἀριὼχ τῷ ἀρχιμαγείρῳ τοῦ βασι-
λέως, ὃς ἐξῆλθεν ἀνελεῖν τοὺς σοφοὺς Βαβυλῶνος, καὶ ἐπυνθά-
C νετο αὐτοῦ λέγων, Ἄρχων τοῦ βασιλέως, περὶ τίνος ἐξῆλθεν ἡ
γνώμη ἡ ἀναιδὴς αὕτη ἐκ προσώπου τοῦ βασιλέως; ἐγνώρισε δὲ
τὸ ῥῆμα Ἀριὼχ τῷ Δανιήλ· καὶ Δανιὴλ ἠξίωσεν ὅπως χρόνον
δῷ αὐτῷ καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγείλῃ τῷ βασιλεῖ. καὶ
εἰσῆλθε Δανιὴλ εἰς τὸν οἶκον αὐτοῦ καὶ τῷ Ἀνανίᾳ καὶ τῷ Μι-
σαὴλ καὶ τῷ Ἀζαρίᾳ τοῖς φίλοις αὐτοῦ τὸ ῥῆμα ἐγνώρισε. καὶ
οἰκτιρμοὺς ἐζήτουν παρὰ τοῦ θεοῦ τοῦ οὐρανοῦ ὑπὲρ τοῦ μυστη-
ρίου τούτου, ὅπως ἂν μὴ ἀπόλωνται Δανιὴλ καὶ οἱ φίλοι αὐτοῦ
μετὰ τῶν ἐπιλοίπων σοφῶν Βαβυλῶνος. τότε τῷ Δανιὴλ ἐν
D ὁράματι τῆς νυκτὸς τὸ μυστήριον ἀπεκαλύφθη, καὶ εὐλόγησε τὸν
θεὸν τοῦ οὐρανοῦ Δανιήλ, καὶ εἶπεν, Εἴη τὸ ὄνομα τοῦ κυ-
ρίου εὐλογημένον ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, ὅτι ἡ σύν-
εσις καὶ ἡ σοφία αὐτοῦ ἐστιν, καὶ αὐτὸς ἀλλοιοῖ καιροὺς καὶ
χρόνους, καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ, διδοὺς σοφίαν τοῖς σο-
φοῖς καὶ φρόνησιν τοῖς εἰδόσιν σύνεσιν. καὶ αὐτὸς ἀποκαλύ-
πτει βαθέα καὶ ἀπόκρυφα, γινώσκων τὰ ἐν τῷ σκότει, καὶ τὸ
φῶς μετ' αὐτοῦ ἐστιν. σοὶ ὁ θεὸς τῶν πατέρων μου ἐξομολο-
γοῦμαι καὶ αἰνῶ ὅτι σοφίαν καὶ δύναμιν ἔδωκάς μοι καὶ ἐγνώ-
ρισάς μοι ἃ ἠξιώσαμεν παρὰ σοῦ· καὶ τὸ ὅραμα τοῦ βασιλέως
ἐγνώρισάς μοι. καὶ ἦλθε Δανιὴλ πρὸς Ἀριώχ, ὃν κατέστησεν ὁ βα-
P 126 σιλεὺς ἀπολέσαι τοὺς σοφοὺς Βαβυλῶνος· καὶ εἶπεν αὐτῷ, Τοὺς

11. τῷ om. R. 13. τοῦ alterum om. P. 14. καὶ — αἰῶνος om. P. 19. μου] ἡμῶν m. P. 21. τὸ om. P. 22. ἐκατέστηκεν P, ἐκατέστησεν R.

terficere. Tunc Daniel respondit consilium et sapientiam Arioch Principi coquorum Regis, qui egressus est, ut interficeret sapientes Babylonis, et interrogabat eum, dicens: „Princeps regis, pro quo egressa est sententia Regis impudens haec a facie Regis?“ Notum fecit autem verbum Arioch Daniel. Et rogavit Daniel ut tempus daret sibi, et conjecturam ejus annunciaret Regi. Et ingressus Daniel in domum suam, et Ananiae, et Misael, et Azariae amicis suis verbum notum fecit. Et miserationes quaerebant a Deo coeli super mysterio hoc, ne perirent Daniel et amici ejus cum caeteris sapientibus Babylonis. Tunc Danieli in visione noctis mysterium revelatum est, et benedixit Deum coeli Daniel, et dixit: „Sit nomen Domini benedictum a saeculo quia intellectus et sapientia ipsius est. Et ipse mutat tempora et annos: constituit Reges, et transfert, dans sapientiam sapientibus, et prudentiam scientibus intellectum. Et ipse revelat profunda et abscondita, sciens quae in tenebris, et lumen in eo est, Tibi Deus patrum nostrorum confiteor, et laudo, quia sapientiam et virtutem dedisti mihi, et nota fecisti mihi, quae rogavimus te, et visionem Regis notam fecisti mihi.“ Et venit Daniel ad Arioch quem constituerat Rex, ut perderet sapientes Babylonis; et

σοφοὺς Βαβυλῶνος μὴ ἀπολέσῃς· εἰσάγαγέ με ἐνώπιον τοῦ βασιλέως, καὶ τὴν σύγκρισιν τῷ βασιλεῖ ἀναγγελῶ. τότε Ἀριὼχ ἐν R 296
σπουδῇ εἰσήγαγε τὸν Δανιὴλ ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπεν αὐτῷ, Εὕρηκα ἄνδρα ἐκ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, ὅστις τὸ σύγκριμα τῷ βασιλεῖ ἀπαγγελεῖ. καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπε τῷ Δανιήλ, οὗ τὸ ὄνομα Βαλτάσαρ, Εἰ δύνασαί μοι ἀναγγεῖλαι τὸ ἐνύπνιον ὃ εἶδον καὶ τὴν σύγκρισιν αὐτοῦ; καὶ ἀπεκρίθη Δανιὴλ ἐνώπιον τοῦ βασιλέως καὶ εἶπε, Τὸ μυστήριον ὃ ὁ βασιλεὺς ἐπερωτᾷ οὐκ ἔστιν σοφῶν, μάγων, ἐπαοιδῶν, Γαζαρηνῶν, ἀναγγεῖλαι τῷ βασιλεῖ, ἀλλ' ἔστιν θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων μυστήρια. καὶ ἐγνώρισεν τῷ βασιλεῖ Να- B
βουχοδονόσορ ἃ δεῖ γενέσθαι ἐπ' ἐσχάτου τῶν ἡμερῶν.

Τὸ ἐνύπνιόν σου καὶ αἱ ὁράσεις τῆς κεφαλῆς σου ἐπὶ τῆς κοίτης σου τοῦτο ἔστιν. σύ βασιλεῦ, οἱ διαλογισμοί σου ἐπὶ τῆς κοίτης σου ἀνέβησαν, τί δεῖ γενέσθαι μετὰ ταῦτα. καὶ ὁ ἀποκαλύπτων μυστήρια ἐγνώρισέν σοι ἃ δεῖ γενέσθαι· καὶ ἐμοὶ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας τοὺς ζῶντας τὸ μυστήριον τοῦτο ἀπεκαλύφθη, ἀλλ' ἕνεκεν τοῦ τὴν σύγκρισιν τῷ βασιλεῖ γνωρίσαι, ἵνα μὴ τοὺς διαλογισμοὺς τῆς καρδίας σου γνῷς. σὺ βασιλεῦ ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία μεγάλη, καὶ ἡ εἰκὼν ἐκείνη ἡ πρόσοψις αὐτῆς ὑπερφερής ἐστιν πρὸ προσώπου σου, καὶ ἡ C
ὅρασις αὐτῆς φοβερά. εἰκών, ἧς ἡ κεφαλὴ ἐκ χρυσίου καθαροῦ, αἱ χεῖρες καὶ τὸ στῆθος καὶ οἱ βραχίονες αὐτῆς ἄργυρος, ἡ κοι-

2. ἀγγελῶ P. 19. μὴ om. P. 20. καὶ ἡ] ἡ P.

dixit illi: „Sapientes Babylonis ne perdas. Introduc me in conspectu Regis, et interpretationem Regi narrabo.“ Tunc Arioch festinus introduxit Danielem coram Rege, et dixit ei: „Inveni virum de filiis captivitatis Judaeae, qui solutionem Regi annunciabit.“ Et respondens Rex dixit Danieli, cujus nomen Balthasar: „An potes mihi renuntiare somnium quod vidi, et interpretationem ejus?“ Et respondit Daniel in conspectu Regis, et dixit: „Mysterium, quod Rex interrogat, non est sapientum, magorum, incantatorum, aruspicum indicare tibi: sed est Deus in coelo revelans mysteria.“ Et notum fecit Regi Nabuchodonosor, quae oportet fieri in novissimis diebus.

„Somnium tuum, et visiones capitis tui, in lectulo tuo hujuscemodi sunt. Tu Rex, cogitationes tuae in cubili tuo ascenderunt, quid oportet fieri post haec. Et revelans mysteria nota fecit tibi, quae oportet fieri. Et mihi non in sapientia existente in me, praeter omnes viventes, mysterium hoc revelatum est; sed ideo ut conjecturam Regi manifestaret, ut cogitationes cordis tui scias. Tu Rex videbas, et ecce imago una multa, imago illa magna, et facies ejus elevata, stans a facie tua, et visio ejus terribilis. Imago, cujus caput auri puri; manus et pectus, et brachia ejus argentea; venter et femora aerea; tibiae ferreae, pedes,

λία καὶ οἱ μηροὶ χαλκοῖ καὶ αἱ κνῆμαι σιδηραῖ, οἱ πόδες μέρος μέν τι σιδηροῦν καὶ μέρος τι ὀστράκινον. ἐθεώρεις ἕως ἀπετμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν· καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος. τότε ἐλεπτύνθησαν εἰς ἅπαξ τὸ ὄστρακον, ὁ σίδηρος, ὁ χαλκός, ὁ ἄργυρος, ὁ χρυσός, καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς, καὶ ἐστήριξεν αὐτὰ τὸ πλῆθος τοῦ
V 102 πνεύματος, καὶ τόπος οὐχ ηὑρέθη αὐτοῖς, καὶ ὁ λίθος ὁ πατά-
D ξας τὴν εἰκόνα ἐγενήθη εἰς ὄρος μέγα, καὶ ἐπλήρωσεν πᾶσαν τὴν γῆν. τοῦτό ἐστιν τὸ ἐνύπνιον, καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ βασιλέως.

Σὺ βασιλεῦ, βασιλεὺς βασιλέων, ᾧ ὁ θεὸς τοῦ οὐρανοῦ βα-
R 298 σιλείαν ἰσχυρὰν καὶ κραταιὰν καὶ ἔντιμον ἔδωκεν ἐν παντὶ τόπῳ, ἐν ᾧ κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων, θηρία τε ἀγροῦ καὶ πετεινὰ οὐρανοῦ καὶ ἰχθύας θαλάσσης ἔδωκεν ἐν τῇ χειρί σου, καὶ κατέστησέν σε κύριον πάντων, σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ. καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἑτέρα ἥττων σου, ἥ ἐστιν ὁ ἄργυρος, καὶ βασιλεία τρίτη, ἥ ἐστιν ὁ χαλκός, ἡ κυριεύσει πάσης τῆς γῆς. καὶ βασιλεία τετάρτη ἔσται ἰσχυρὰ ὡς ὁ σίδηρος· ὃν
P 127 τρόπον ὁ σίδηρος λεπτύνει καὶ δαμάζει πάντα τὰ ἐπὶ τῆς γῆς· οὕτω πάντας λεπτυνεῖ καὶ δαμάσει. καὶ ὅτι εἶδες τοὺς πόδας

2. μέρος] μέρος δέ P sola. 6. ἐγένετο P. 7. ἐξῆρεν P, om. R., addit m. 12. ᾧ] ὡς RV. 16. σε om. P. 17. ἐστιν ἄργυρος P. 20. λεπτυνεῖ P. 21. καὶ δαμάσει om. V.

pars quidem quaedam ferrea, pars autem quaedam fictilis. Videbas donec abscissus est lapis ex monte sine manibus, et percussit imaginem super pedes ferreos, et fictiles, et comminuit eos in finem. Tunc comminuta sunt omnino testa, ferrum, argentum, aurum, et facta sunt quasi pulvis ab area aestiva, et extulit ea multitudo venti, et locus non est inventus illis. Et lapis qui percussit imaginem factus est in montem magnum, et implevit omnem terram. Hoc est somnium; et conjecturam ejus dicemus coram Rege."

„Tu Rex, Rex Regum, cui Deus coeli regnum forte, et validum et gloriosum dedit in omni loco, in quo habitant filii hominum, bestiasque agri, et volatilia coeli dedit in manu tua, et constituit te Dominum omnium: tu es caput aureum. Et post te surget regnum aliud minus te, quod est argentum: et regnum tertium, quod est aes, quod dominabitur omni terrae. Et regnum quartum erit forte quasi ferrum: quemadmodum ferrum comminuit et domat omnia quae sunt in terra, ita omnes comminuet. Et quia vidisti pedes et digitos partem quidem quandam testeam et luteam, partem autem aliquam ferream, regnum divisum erit, et a radice ferrea erit in eo: quemadmodum vidisti ferrum mixtum testae et digiti pedum pars quidem quaedam ferrea, pars autem

καὶ τοὺς δακτύλους μέρος μέν τι ὀστράκινον καὶ κεραμεοῦν, μέρος δέ τι σιδηροῦν, βασιλεία διῃρημένη ἔσται, καὶ ἀπὸ τῆς ῥίζης τῆς σιδηρᾶς ἔσται ἐν αὐτῇ, ὃν τρόπον εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ. καὶ οἱ δάκτυλοι τῶν ποδῶν μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον, καὶ μέρος τι τῆς βασιλείας ἔσται ἰσχυρότερον, καὶ ἀπ' αὐτῆς ἔσται συντριβόμενον. ὅτι δὲ εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ, συμμιγεῖς ἔσονται ἐν σπέρματι ἀνθρώπων, καὶ οὐκ ἔσονται προσκολλώμενοι οὕτως μετὰ τούτου, καθὼς ὁ σίδηρος οὐκ ἀναμίγνυται μετὰ τοῦ ὀστράκου. καὶ ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται, καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται, καὶ λεπτυνεῖ καὶ λικμήσει πάσας τὰς βασιλείας, καὶ αὐτὴ ἀναστήσεται εἰς τοὺς αἰῶνας, ὃν τρόπον εἶδες ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐλέπτυνε τὸ ὄστρακον, τὸν σίδηρον, τὸν χαλκόν, τὸν ἄργυρον, τὸν χρυσόν. ὁ θεὸς ὁ μέγας ἐγνώρισεν τῷ βασιλεῖ ἃ δεῖ γενέσθαι μετὰ ταῦτα· καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ. B

Τότε ὁ βασιλεὺς Ναβουχοδονόσορ ἔπεσεν ἐπὶ πρόσωπον, καὶ τῷ Δανιὴλ προσεκύνησε, καὶ μαναὰ καὶ εὐωδίαν εἶπε σπεῖσαι αὐτῷ. καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπε τῷ Δανιήλ, Ἐπ' ἀληθείας ὁ θεὸς ἡμῶν αὐτός ἐστιν θεὸς θεῶν καὶ κύριος κυρίων καὶ βασιλεὺς τῶν βασιλέων καὶ ἀποκαλύπτων μυστήρια, ὅτι ἠδυνήθης ἀποκαλύψαι τὸ μυστήριον τοῦτο. C

1. κεραμέου V, κεράμιον P. 4. μέν τι] μέντοι P. 6. ἀπ'] ἐπ' R, ὑπ' P. 10. ἡμέραις βασιλέων P. 12. οὐκ V. 15. τὸν ἄργυρον om. P. 16. ὁ alterum om. P.

quaedam testea; pars quaedam regni erit fortis, et ex ea erit contritum. Quia vidisti ferrum mixtum testae; commixti erunt in semine hominum, et non erunt adhaerentes hic cum hoc, sicut ferrum non miscetur cum testa. Et in diebus Regum illorum, suscitabit Deus coeli regnum, quod in aeternum non corrumpetur: et regnum ejus populo alteri non relinquetur, comminuet, et ventilabit omnia regna; et hoc suscitabitur in aeternum: quemadmodum vidisti, quia de monte abscissus est lapis sine manibus, et comminuit testam, ferrum, aes, argentum, aurum. Deus magnus nota fecit Regi, quae oportet fieri post haec, et verum somnium, et fidelis conjectura ejus."

Tunc Rex Nabuchodonosor cecidit in faciem suam, et Danielem adoravit, et munera, et odores dixit libare ei. Et respondens Rex, dixit Danieli: „In veritate Deus vester Deus Deorum, et Dominus Dominorum, et Rex regum, et revelans mysteria; quia potuisti revelare mysterium hoc."

Καὶ ἐμεγάλυνεν ὁ βασιλεὺς τὸν Δανιήλ, καὶ δώματα μεγάλα
R 300 *καὶ πολλὰ ἔδωκεν αὐτῷ, καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης χώρας Βαβυλῶνος, καὶ ἄρχοντα σατραπῶν καὶ ἐπὶ πάντας τοὺς σοφοὺς Βαβυλῶνος· καὶ Δανιὴλ ᾐτήσατο παρὰ τοῦ βασιλέως, καὶ κατέστησεν ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος τὸν Σεδρὰκ καὶ Μισὰκ καὶ Ἀβδεναγώ· καὶ Δανιὴλ ἦν ἐν τῇ αὐλῇ τοῦ βασιλέως.*

D

μ' Ὀλυμπιάς.

ς', ζ', η', θ'.

μα' Ὀλυμπιάς.

ι'.

Τούτῳ τῷ δεκάτῳ ἔτει Ἰεχωνίου τοῦ καὶ Ἰωακεὶμ Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος ἑβδόμῳ ἔτει τῆς αὐτοῦ βασιλείας τὴν Ἰουδαίων χειρωσάμενος καὶ γκγ' τῶν Ἰουδαίων αἰχμαλώτους λαβών, καὶ τῶν ἱερῶν σκευῶν τῶν ἐν τῷ νεῷ τὰ πλεῖστα λαβών, φόρον τε Ἰεχωνίᾳ τῷ καὶ Ἰωακεὶμ ἐπιτάξας τελεῖν ἀργυρίου τάλαντα ρ' καὶ χρυσίου τάλαντα ι', ἀνεχώρησεν.

V 103
P 128 *Ἀπὸ ις' ἔτους Φακεὲ υἱοῦ Ῥομελίου βασιλέως Ἰσραήλ, ἦγουν δευτέρου ἔτους καὶ αὐτοῦ τῆς βασιλείας Ἰωάθαν βασιλέως τῶν δύο φυλῶν Ἰούδα καὶ Βενιαμίν, ἐπὶ τὸ παρὸν δέκατον ἔτος Ἰεχωνίου τοῦ καὶ Ἰωακεὶμ πληροῦνται ἔτη ρν', ἅπερ Ἐζε-*

2. *πάσας* P. 6. *ἦν* om. R. *ib. τοῦ* om. P. 7. *ϛ' Ναβουχοδονόσορ.* m. R. *γ' Ναβουχοδονόσωρ* m. P. 18. *τῆς* om. P.

Anni a m. c. Et magnificavit Rex Daniel, et dona magna et multa dedit ei, et constituit eum super omnes regiones Babylonis, et Principem Satraparum super omnes sapientes Babylonis. Et Daniel postulavit a Rege, et constituit super opera regionis Babylonis Sidrach, et Misac, et Abdenago. Et Daniel erat in atrio Regis.

XL. Olympias.

4888. VI. VII. VIII. IX.

XLI. Olympias.

X.

Hoc anno decimo Jechoniae, seu Joacim, Nabuchodonosor Babylonis Rex, septimo regni sui anno, subjugata Judaea, et III. MXXIII. ex Judaeis captivis factis, maximaque vasorum templi parte ablata, Jechoniae, seu Joacim, argenti centum, et auri decem talentorum imposito tributo, recessit.

Ab anno XVI. Phacee, filii Romeliae Regis Israel, qui quidem secundus annus fuit Joatham Regis duarum tribuum Juda et Benjamin, usque ad praesentem decimum annum Jechoniae, seu Joacim, complentur anni

ούκ ἔστι τῆς τοῦ μ' ζητεῖν ἐν τῷ κανόνι ἀναλογίας καὶ ἐπὶ τοῦτο μόνον ἔλθε τὸν νοῦν. Παραγγελία ἑορτῶν κινητῶν.

1.	Τῶν ἁγίων Θεοφανείων	ιθ Ἰανουαρίου.
2.	Ὑπαπαντὴ Δεσπότου	β Φεβρουαρίου.
3.	Καθαρὰ	ιη Φεβρουαρίου.
4.	Τὸ Πάσχα	κε Μαρτίου.
5.	Ἀναλήψιμος	μβ Μαΐου.
6.	Πεντηκοστὴ	ιβ Ἰουνίου.
7.	Τριάς	κθ Ἰουνίου.

Τοῦτο μὲν παραπλησίως τοῖς Θεοφιλεστάτοις τῶν Ἑβραίων ἐπὶ τοσοῦτον ἐπὶ τῆς παρούσης ἐκθέσεως τῶν κινητῶν ἑορτῶν· ἐν δὲ τῷ ἑξῆς κανόνι τὰ τῶν ἑορτῶν ἐκείνων ἐπιμελέστερον ἐκθησόμεθα, μᾶλλον δὲ τὸν ἐπιδέξιον αὐτὸν ἀναγνώστην ἐκθήσει. Ἐπιτίθεμαι τοίνυν τὸν ἑξῆς κανόνα τῶν ἑορτῶν, ὃν ἐκ τῶν ἐκείνων ἐκθέσεων ἐκθήσεται ὁ ἀδελφὸς καὶ ἀναγνώστης ὁ μετὰ ταῦτα ἀναγνώσεται.

1 Corinthians 5:7 ἐτέθη γὰρ τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν, Χριστός.

Τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν, Χριστός.

Τὸν ἁγίων Θεοφανείων ἡμέραν ἐν ἧτινι ἐβαπτίσθη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ Ἰορδάνῃ ποταμῷ.

Ὑπαπαντὴ Δεσπότου ἡμέραν ἐν ἧτινι ὑπεδέξατο ὁ Συμεὼν ἐν ταῖς ἀγκάλαις αὐτοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ ἱερῷ.

Καθαρὰ ἡμέραν ἐν ἧτινι ἐκαθαρίσθη ἡ Θεοτόκος Μαρία μετὰ τὸν τόκον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τὸ Πάσχα ἡμέραν ἐν ἧτινι ἀνέστη ἐκ νεκρῶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

Ἀναλήψιμος ἡμέραν ἐν ἧτινι ἀνελήφθη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τοὺς οὐρανούς.

Πεντηκοστὴ ἡμέραν ἐν ἧτινι ἐπεδήμησε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ τοὺς ἁγίους ἀποστόλους.

Τριὰς ἡμέραν ἐν ἧτινι ἐφανερώθη ἡ ἁγία Τριὰς τοῖς ἁγίοις ἀποστόλοις.

Ἐπιτίθεμαι τοίνυν τὸν ἑξῆς κανόνα τῶν ἑορτῶν, ὃν ἐκ τῶν ἐκείνων ἐκθέσεων ἐκθήσεται ὁ ἀδελφὸς καὶ ἀναγνώστης ὁ μετὰ ταῦτα ἀναγνώσεται.

Ἐκ τῶν ἐκείνων ἐκθέσεων ἐκθήσεται ὁ ἀδελφὸς καὶ ἀναγνώστης ὁ μετὰ ταῦτα ἀναγνώσεται.

βασιλεύσῃς, ὅτι ἁμιλλᾶσαι πρὸς τὴν κέδρον. ὁ πατήρ σου ἔφαγεν καὶ ἔπιεν καὶ ἐποίησεν δίκαια, καὶ καλῶς ἦν αὐτῷ, καὶ σὲ ἔδει οὕτω ποιεῖν. διὰ τοῦτο, φησίν, οὐ μὴ κόψονται αὐτόν. οἴμοι, κύριε, οἴμοι, ἀδελφέ, οὐδὲ μὴ κλαύσονται ὠὐτόν, ὦ ἀδελφέ, οἴμοι, ἀδελφέ. ταφῇ ὄνου ταφήσεται. συμψῃσθεὶς ὡς κοπρία ῥιφήσεται ἐπέκεινα τῆς πύλης Ἱερουσαλήμ. ὅπερ καὶ γέγονεν οὐ μετ᾽ οὐ πολύ.

ιβ'.

Τούτῳ τῷ ἔτει Ἱερεμίας ἐκ προσώπου τοῦ θεοῦ προφητεύων λέγει Ἰεχωνίᾳ τῷ καὶ Ἰωακείμ, Παραδοθήσῃ εἰς χεῖρας Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος σὺ καὶ ἡ μήτηρ σου ἡ τεκοῦσά σε, καὶ ἐκεῖ ἀποθανεῖσθε. ὃ καὶ γέγονεν εὐθύ. Ναβουχοδονόσορ γὰρ ἀπὸ Μαρέων τῆς Αἰγύπτου ἕως τοῦ ποταμοῦ Εὐφράτου πάντα οἷα ἦν τῆς βασιλείας Αἰγύπτου ἀποσπάσας, τῇ γῇ Βαβυλωνίων προσκτησάμενος, ἐλθὼν πάλιν εἰς Ἱερουσαλὴμ Ἰεχωνίαν τὸν καὶ Ἰωακεὶμ τῷ μηνὶ τῷ τρίτῳ δωδεκάτῳ ἔτει τῆς βασιλείας
P 129 αὐτοῦ, δήσας αὐτὸν Ναβουχοδονόσορ ἐν πέδαις χαλκαῖς ἐνάτῳ ἔτει τῆς ἑαυτοῦ βασιλείας αἰχμάλωτον ἔλαβεν, καὶ πλεῖστον μέρος τοῦ λαοῦ ἀπῆξεν εἰς Βαβυλῶνα, καὶ ὡς ἠβούλετο ἐχρῆτο αὐτοῖς κατὰ τὴν προφητείαν Ἱερεμίου· ἐν οἷς καὶ τὸν Δανιὴλ καὶ τοὺς σὺν αὐτῷ τρεῖς παῖδας καὶ τὸν Ἐζεκιὴλ ἤγαγεν αἰχμα-

1. βασιλεύσεις P. ib. ἁμιλλᾷ σε P. 4. οἴμμοι V. 5. συμψηφισθεὶς V, συμψιθεὶς P. 7. οὐ μετ᾽ οὐ] Aut prius aut posterius οὐ delendum videatur, ut est p. 277. A. 294. B. Sed conf. p. 258. C. 277. B. 9. θ' ἔτος τοῦ Ναβουχοδονόσ. m. R. θ' Ναβουχοδονόσωρ m. P. 17. Ναβουχοδονόσορ uncis includit P tacente V. ibid. ἐννάτῳ PV. 18. τῷ ἔτει P. 19. ἐβούλετο P.

bis, quoniam te confers cedro. Pater tuus comedit et bibit, et fecit justitiam, et bene erat ei, et te oportebat ita facere. Propterea, dicit (Dominus,) non plangent eum, vae mihi, Domine, vae mihi, frater: neque flebunt eum, o frater, heu mihi frater. Sepultura asini sepelietur: computrefactus projicietur ultra portum Hierusalem. Quod et paullo post factum est.

XII.

Hoc anno Hieremias ex persona Dei prophetans Jechoniae, seu Joacim, ait: *Traderis in manus Nabuchodonosor Regis Babylonis, tu et mater tua quae te genuit, et ibi moriemini.* Quod et accidit: quippe Nabuchodonosor a Mareis Aegypti usque ad flumen Euphratem quaecumque erant regni Aegypti, avulsa, terrae Babylonis subjecit: ac Hierusalem rursum profectus, Jechoniam, seu Joacim, menso tertio anni XII. regni ejus, aereis vinctum catenis, captivum factum anno regni sui IX. unaque cum illo maximam populi partem, Babylonem abduxit, iisque pro suo arbitratu usus est, juxta Hieremiae Prophetiam: in quibus erant

λώτους· πλὴν βασιλεύσας ιβ' ἔτη ὁ αὐτὸς Ἰεχωνίας ὁ καὶ Ἰωακεὶμ ἀπέθανεν, καὶ βασιλεύει μετ' αὐτὸν Ἰωακεὶμ υἱὸς αὐτοῦ, ἔκγονος Ἰωσίου, ὅντινα ἡ βίβλος τῶν Παραλειπομένων καὶ τὸ εὐαγγέλιον Ἰεχωνίαν ὀνομάζει, ὅστις τρίμηνον ἐβασίλευσεν.

Μετὰ Ἰεχωνίαν τὸν καὶ Ἰωακεὶμ ἐβασίλευσεν Ἰεχωνίας ἔκγονος Ἰωσίου μῆνας γ'. ὁμοῦ ,ϡϟδ' καὶ μῆνας γ'.

Ἐπὶ τούτου πάλιν ἀνέβη Ναβουχοδονόσορ τρίτῳ μηνὶ τῆς βασιλείας αὐτοῦ ἐν Ἱερουσαλήμ, καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ. καὶ ἐξῆλθεν Ἰεχωνίας αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ παῖδες αὐτοῦ πρὸς τὸν βασιλέα Βαβυλῶνος, καὶ ἔλαβεν αὐτοὺς Ναβουχοδονόσορ τῷ ἐνάτῳ ἔτει τῆς αὐτοῦ βασιλείας. καὶ εἰσῆλθεν εἰς τὴν πόλιν ὁ βασιλεὺς τῶν Ἀσσυρίων, καὶ ἐξήνεγκεν τοὺς θησαυροὺς τοῦ τε ναοῦ καὶ τοῦ βασιλέως, καὶ συνέκοψεν τὰ σκεύη ἃ ἐποίησεν Σολομῶν, καὶ ἀπώκισεν τὴν Ἱερουσαλὴμ καὶ πάντας τοὺς ἄρχοντας καὶ πάντας τοὺς δυνατοὺς ἰσχύϊ καὶ ὅλον τὸν λαὸν ιζ' χιλιάδας αἰχμαλώτους καὶ πάντα τέκτονα καὶ τὸν συγκλείοντα, καὶ οὐχ ὑπελείφθησαν πλὴν πενομένων τοῦ λαοῦ τῆς γῆς, ἐν οἷς καὶ αὐτὸν τὸν Ἰεχωνίαν μετῴκισεν εἰς Βαβυλῶνα καὶ τὴν μητέρα καὶ τὰς γυναῖκας αὐτοῦ καὶ τοὺς εὐνούχους. ἔλαβεν ἑτέραν κεφαλῖδα βιβλίου Ἱερεμίας, καὶ ἔδωκεν αὐτὴν τῷ Βαρούχ, καὶ ἦν γεγραμμένα αὐτῇ πάντα ἅπερ ἦν κατὰ Ἰεχωνία. καὶ ἐβασίλευσεν μετ' αὐτὸν Σεδεκίας ὁ καὶ Ματθανίας, υἱὸς αὐτοῦ, ἔτη ια'. ὁμοῦ ,δϡε' καὶ μῆνας ς'.

V 104
B
R 304
C

1. ἔτη ιβ' P. 3. τῶν Παραλειπομένων] I. 3. ib. εὐαγγέλιον] Matth I. 11. 11. ἐννάτῳ PV. 13. τε om. R. 14. 253. 14. ἀπῴκησεν PV. 15. τὸν ὅλον λαὸν R. 16. πάντα τὸν τέκτονα P. 18. μετῴκησεν PV. 22. Σεδεχίας P. ib. ι' Ναβουχοδονόσορ. m. R.

etiam Daniel, et cum eo tres pueri, et Ezechiel. Jechonias vero, qui et Joacim, cum regnasset annos XII. decessit, ac post illum regnavit Joacim filius ejus, Josiae nepos, quem liber Paralipomenôn et Evangelium Jechoniam nominant, qui tribus duntaxat mensibus regnavit.

Post Jechoniam, seu Joacim, regnavit Jechonias, Josiae nepos, menses III. Colliguntur anni IV. MDCCCXCIV. et menses III.

Illo regnante venit rursum Nabuchodonosor tertio mense illius regni Hierosolymam, urbeque obsessa, et vallata, egressi sunt Jechonias, ipse et mater et filii ejus ad Regem Babylonis, et capti sunt a Nabuchodonosor anno regni illius nono, ingressusque urbem Assyriorum Rex, abstulit Thesauros templi et Regis: et vasa, quae fecerat Solomon, confregit, et traduxit ex urbe Hierusalem principes omnes ac potentiores una cum universo populo ad XVII. millia, et in captivitatem abduxit, atque adeo ómnem artificem et inclusorem, relictis tantummodo ex plebe terrae pauperibus: in quibus et ipsum Jechoniam, et matrem, et uxores ejus, et Eunuchos abduxit Babylonem. Hieremias accepit aliud volumen, et dedit Barucho; erantque in eo scripta quaecunque contra Jechoniam

α'.

μβ' Ὀλυμπιάς.

β'.

D Τούτῳ τῷ ἔτει Ἄγκιος Μάρκος τελευτᾷ ἐν Ῥώμῃ καταστήματι· καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἄγκιος Ταρκύνιος ὁ καὶ Πρίσκος ἐν αὐτῇ τῇ Ῥώμῃ ἔτη λή'.

γ'.

Ἐπὶ τῆς Ἰουδαίας προεφήτευεν Ἱερεμίας καὶ Βαρούχ.

δ'.

Τούτῳ τῷ ἔτει Ματθανίας ὁ καὶ Σεδεκίας ἀπέστειλε πρὸς
P 130 Ἱερεμίαν τὸν Πάσχωρ υἱὸν Μελχίου καὶ Σοφωνίαν υἱὸν Μαδαασαίου τοῦ ἱερέως ἐπερωτῆσαι περὶ Ναβουχοδονόσορ, ἐπελθόντος αὐτῷ καὶ τῇ Ἰουδαίᾳ, εἰ ποιήσει κύριος ἔλεος μετ' αὐτῶν. καὶ εἶπεν αὐτοῖς Ἱερεμίας ἐκ προσώπου κυρίου ὅτι πολεμήσει κύριος τὴν πόλιν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ ἐν χειρὶ ἐντεταμένῃ καὶ ἐν βραχίονι ὑψηλῷ μετὰ θυμοῦ καὶ ὀργῆς καὶ παροξυσμοῦ μεγάλου. καὶ μετὰ ταῦτα τὸν Ματθανίαν τὸν καὶ Σεδεκίαν, βασιλέα Ἰούδα, καὶ τοὺς παῖδας αὐτοῦ καὶ τὸν λαὸν τὸν καταλειφθέντα ἐν τῇ πόλει ἀπὸ τοῦ θανάτου καὶ τῆς μαχαίρας

1. ια' Ναβουχοδ. m. P. 4. Ἄγκος P. 5. Ἄγκιος] Λούκιος m. P. 6. ιβ' Ναβουχοδ. m. P. 10. ιγ' Ναβουχοδ. m. P. 11. Πάχωρ P. ibid. Μαδασσαίου P. 12. περὶ τοῦ N. P. 17. κατὰ R. 18. τὸν alterum om. P.

Anni a m. c. fuerant praedicta: et regnavit post illum Sedecias, qui et Matthanias dictus, ann. XI. Colliguntur anni IV. MDCCCCV. et menses VI.

I.

XLII. Olympias.

4895. 6. II.

Hoc anno Ancus Marcius Romae naturali morte extinguitur: cui successit Lucius Tarquinius, qui et Priscus dictus, ac Romae pariter regnavit ann. XXXVIII.

III.

In Judaea prophetabant Hieremias et Baruch.

IV.

Hoc anno Matthanias, qui et Sedecias, misit ad Hieremiam Pachor, filium Melchiae, et Sophoniam, filium Madassaei Sacerdotis, ut de Nabuchodonosor, qui se, Judaeamque aggressus erat, illum rogarent, an Deus facturus esset misericordiam cum eis. Quibus ex persona Dei respondit Hieremias, in haecce verba: *Dominus urbem oppugnabit, et incolas ejus in manu extenta, et brachio excelso, cum furore et indignatione, et impetu magno. Post haec Matthaniam, sive Sedeciam, Regem Juda, ejusque*

καὶ τοῦ λιμοῦ παραδώσει ἐν χειρὶ Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος, καὶ κατακόψουσιν αὐτοὺς ἐν στόματι μαχαίρας, καὶ R 306
οὐ φείσομαι ἐπ' αὐτοῖς καὶ οὐκ οἰκτερῶ αὐτούς. καὶ ἀπέστειλεν B
Ματθανίας ὁ καὶ Σεδεκίας τοῖς ἐν Βαβυλῶνι ἃ ἔμαθεν ἐκ προ-
φητείας Ἱερεμίου περὶ τῶν ο' ἐτῶν τῆς αἰχμαλωσίας. Ἀνανίας
δὲ ὁ ψευδοπροφήτης ἐνιστάμενος ταῖς Ἱερεμίου προφητείαις τῷ
αὐτῷ τετάρτῳ ἔτει τελευτᾷ.

Τούτῳ τῷ τετάρτῳ ἔτει Ματθανίου τοῦ καὶ Σεδεκίου καὶ πέμπτῳ ἔτει τῆς αἰχμαλωσίας Ἐλιακεὶμ τοῦ καὶ Ἰωακεὶμ εἰκοστὸν ἔνατον ἔτος τυγχάνει μεθ' ὃ τὸ πάσχα γέγονεν νομίμως κατὰ τὸ ὀκτωκαιδέκατον ἔτος τοῦ Ἰωσίου.

Τούτῳ τῷ τετάρτῳ ἔτει Ἐζεκιὴλ ὁ τοῦ Βουζὶ τοῦ ἱερέως υἱὸς τετάρτῳ μηνὶ πέμπτῃ τοῦ μηνὸς ἤρξατο προφητεύειν ἐν Βαβυλῶνι ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ, μεθ' οὗ ἦσαν προφητεύον- C
τες Ναούμ, Μαλαχίας καὶ Δανιήλ. Μαλαχίας προφητεύων εἶπεν, Οὐκ ἔστι μοι θέλημα ἐν ὑμῖν, λέγει κύριος παντοκράτωρ, V 105
καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν, διότι ἀπὸ τῶν ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν τὸ ὄνομά μου δοξασθήσεται.

Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ ἐγνωρίζοντο ἐν Βαβυλῶνι. ἐν δὲ τῇ Ἰουδαίᾳ προεφήτευον Ἱερεμίας καὶ Βαρουχ υἱὸς Νηρίου.

Τούτῳ τῷ τετάρτῳ ἔτει μηνὶ πέμπτῳ Ἐζεκιὴλ προφητεύει περὶ ὧν ἐποίει ὁ οἶκος Ἰσραὴλ ἀνομιῶν. καὶ δεκάτῃ πάλιν τοῦ

3. οἰκτειρῶ V. 10. ἔννατον PV. 17. θυσίας P. 20. δὲ om. P.

filios, et populum relictum in civitate a morte, et gladio, et fame tradet in manu Nabuchodonosor Regis Babylonis. Et occident eos in ore gladii, et non parcam eis, et non miserebor eis. Tum misit Matthanias, qui et Sedecias, his qui Babylone erant, quae didicerat ex Prophetia Hieremiae de LXX. annis captivitatis. Ananias vero Pseudopropheta, qui Hieremiae prophetiis contradixerat, eodem anno IV. moritur.

Hoc quidem anno IV. Matthaniae, seu Sedeciae, et anno V. captivitatis Eliacim seu Joacim, nonus et vicesimus annus extitit, quo Pascha secundum legem anno Josiae XVIII. actum est.

Hoc anno IV. Ezechiel, Buzi Sacerdotis filius, mense IV. mensis die V. coepit prophetare in Babylone, ad fluvium Chobar: cum quo prophetantes erant Nahum, Malachias et Daniel. Malachias autem prophetans, dixit: *Non est mihi voluntas in vobis, ait Dominus omnipotens, et sacrificia de manibus vestris non accipiam, quoniam ab ortu solis usque ad occasum laudabitur nomen meum.*

Ananias, et Azarias, et Misael clari habebantur Babylone. In Judaea prophetabant Hieremias, et Baruch filius Neriu.

Hoc quarto anno, mense quinto, Ezechiel prophetat de impietatibus quas faciebat domus Israel: et rursum X. ejusdem V. mensis, idem ipse,

D αὐτοῦ πέμπτου μηνὸς ὁ αὐτὸς ἐπὶ πλεῖον ἀνομούντων αὐτῶν καὶ τοῦ Θαμούζ, ὅπερ ἑρμηνεύεται Ἄδωνις, θρηνούντων, προφητεύει, ἐλέγχων καὶ ὀνειδίζων τὸν Ἰσραὴλ τὰς ἀνομίας αὐτῶν.

Προεφήτευεν Βαρουχ ἐν Αἰγύπτῳ καὶ Ἐζεκιὴλ καὶ Ἀμβακοὺμ καὶ Ναούμ, Μαλαχίας ὁ νεώτερος καὶ Ἀγγαῖος καὶ Ζαχαρίας.

ε'.

Τούτῳ τῷ ἔτει Ἐζεκιὴλ ἤρξατο τῆς προφητείας ἐν Βαβυλῶνι.

μγ' Ὀλυμπιάς.

ς'.

P 131 Τούτῳ τῷ ἔτει ὁ βασιλεὺς Ματθανίας ὃ καὶ Σεδεκίας καὶ οἱ ἔνδοξοι αὐτοῦ καὶ οἱ ἱερεῖς ἐμίαναν τὸν οἶκον κυρίου τὸν ἐν Ἱερουσαλὴμ ἐν τοῖς εἰδώλοις τῶν ἐθνῶν.

ζ'.

Ἑβραίων ἀρχιερεὺς Σαραίας ὁ πατὴρ Ἰωσεδὲκ ἐγνωρίζετο.

η', θ'.

Τούτῳ τῷ ἐνάτῳ ἔτει Σεδεκίου τοῦ καὶ Ἰεχωνίου βασιλέως
R 308 Ἰούδα, ἐν τῷ μηνὶ τῷ δεκάτῳ, Ναβουχοδονόσορ μετὰ δυνάμεως πολλῆς ὅσης αὐτοῦ εἰς Ἱερουσαλὴμ παραγενόμενος ἐν τῷ ὀγδόῳ
B καὶ δεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐπολιόρκησεν αὐτήν, καὶ ἔλαβεν ἐξ αὐτῆς αἰχμαλώτους Ἰουδαίους ,ωλβ', καὶ ἀπήγαγεν εἰς

1. μηνὸς om. P. 2. Θαμούζ P. 4. ιδ' Ναβουχοδον. m. R. ib. καὶ alterum om. P. 8. Τούτῳ — Βαβυλῶνι om. P. 11. ιε' Ναβουχοδον. m. R. ib. οἱ om. P. 17. ις' Ναβουχοδον. ιζ'. ιη' m. R. ibid. ἔτει ἐννάτῳ P.

Anni a m. c. cum ii magis impie agerent, et Thamiz, quod Adonidem sonat, lamentarentur, prophetans arguit, et exprobravit Israeli impietates eorum.

Prophetavit Baruch in Aegypto, et Ambacum, Naum, Malachias junior, et Aggaeus, et Zacharias.

4894. v.

XLIII. Olympias.

VI.

Hoc anno Rex Matthanias, qui et Sedecias, et illius proceres, et Sacerdotes polluerunt domum Domini Hierosolymis, inductis gentium idolis.

VII.

Hebraeorum summus Pontifex Saraeas, pater Josedec agnoscitur.

VIII. IX.

Hoc anno IX. Sedeciae seu Jechoniae Regis Juda, mense X. Nabuchodonosor Rex cum suis quantas cogere potuit copiis veniens Hierusa-

Βαβυλῶνα. ἐν ᾧ καιρῷ καὶ τὴν εἰκόνα τὴν ἑαυτοῦ χρυσῆν ἔστησεν εἰς τὸ ὑπὸ πάντων ἐκεῖσε προσκυνεῖσθαι αὐτήν· καὶ ἦν τὸ ὕψος αὐτῆς πηχῶν ἑξήκοντα, εὖρος αὐτῆς πηχῶν ἕξ. καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δειρὰ ἐν χώρᾳ Βαβυλῶνος. καὶ ἀπέστειλεν συναγαγεῖν τοὺς ὑπά-
5 *τους καὶ στρατηγοὺς καὶ τοπάρχας, ἡγουμένους καὶ τυράννους καὶ τοὺς ἐπ' ἐξουσιῶν καὶ ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος τῆς χρυσῆς, ἧς ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς. καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρατηγοί, ἡγούμενοι, τύ-* C
ραννοι μεγάλοι ἐπ' ἐξουσιῶν καὶ πάντες οἱ ἄρχοντες τῶν χω-
10 *ρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος ἧς ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος ἧς ἔστησεν Ναβουχοδονόσορ· καὶ ὁ κῆρυξ ἐβόα ἐν ἰσχύϊ, Ὑμῖν λέγεται, ἔθνη, λαοί, φυλαί, γλῶσσαι, ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης καὶ ψαλτη-*
15 *ρίου, καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς. καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ ἐγένετο, ὅτε ἤκουσαν οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμ-* D
20 *βύκης τε καὶ ψαλτηρίου, καὶ παντὸς γένους μουσικῶν, πίπτοντες οἱ λαοί, φυλαί, γλῶσσαι προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ ἣν* V 106
ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς, τότε προσῆλθον ἄνδρες

1. *περὶ τῆς εἰκόνος* m. P. 3. *πέδῳ* P. 13. *φωνῆς τῆς*] *φωνῆς* P. 17. *προσκυνήσει* PV. 19. *σαμβούκης* P.

lem, urbem obsidione cinxit, captivosque ex ea Judaeos DCCCXXXII. Babylonem abduxit. Qua quidem tempestate suam ipsius statuam auream, quo ab omnibus illic adoraretur, erexit. Erat autem illius altitudo cubitorum LX. latitudo vero cubitorum VI. et statuit eam in campo Deera provinciae Babylonis. Itaque Nabuchodonosor Rex misit ad congregandos Satrapas, Magistratus, et Judices, Duces et Tyrannos, Optimates et Praefectos, omnesque Principes regionum, ut convenirent ad Dedicationem statuae quam erexerat Nabuchodonosor Rex. Tunc congregati sunt Satrapae, Magistratus, et Judices, Duces, Tyranni et Optimates, qui erant in potestatibus constituti, et universi principes regionum, ut convenirent ad dedicationem statuae, quam erexerat Nabuchodonosor Rex. Stabant autem in conspectu statuae, quam posuerat Nabuchodonosor Rex, et Praeco clamabat valenter: *Vobis dicitur populis, tribubus et linguis, in hora qua audietis sonitum tubae, et fistulae, et cytharae, et sambucae et psalterii, et symphoniae, et universi generis musicorum, cadentes adorate statuam auream, quam constituit Nabuchodonosor Rex. Si quis autem non prostratus adoraverit, eadem hora mittetur in fornacem ignis ardentis.* Post haec igitur, statim ut audierunt omnes populi sonitum tubae, et fistulae, et citharae, et sambucae, et Psalterii, symphoniae, et omnis generis musicorum, ca-

Χαλδαῖοι, καὶ διέβαλον τοὺς Ἰουδαίους, καὶ ὑπολαβόντες εἶπον Ναβουχοδονόσορ τῷ βασιλεῖ, Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. σὺ βασιλεῦ ἔθηκας δόγμα, Πᾶς ἄνθρωπος, ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης καὶ ψαλτηρίου, καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικῶν, καὶ
P 132 μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. εἰσὶν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράκ, Μισὰκ
R 310 καὶ Ἀβδεναγώ· οἱ ἄνδρες ἐκεῖνοι οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου, καὶ τοῖς θεοῖς σου οἱ λατρεύουσιν καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦσιν. τότε Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ. καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως, καὶ ἀπεκρίθη Ναβουχοδονόσορ καὶ εἶπεν αὐτοῖς, Εἰ ἀληθῶς, Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησα
B οὐ προσκυνεῖτε; νῦν οὖν εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικοῦ, πεσόντες προσκυνεῖτε τῇ εἰκόνι ᾗ ἐποίησα· ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ τίς ἐστιν ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου;

1. εἶπαν R. 3. πάντα ἄνθρωπον V: quo recepto scribendum ἐμβληθήσεσθαι. *ib.* ἀκούσει P. 4. σαμβούκης P. 5. καὶ σ.] σ. P. 6. προσκυνήσει RV, προσκύνει P. 8. nescio an 12. Μισὰκ καὶ] καὶ Μισὰκ V, hic Μισὰκ R. 15. τῇ εἰκόνι] εἰκόνι P. 17. σαμβούκης PV. 20. τὴν κάμινον] τὸν κάμινον P. 21. ὃς] θεός, ὃς P sola.

dentes omnes populi, tribus, et linguae, adoraverunt statuam auream quam constituerat Nabuchodonosor Rex. Statimque et in ipso tempore accedentes viri Chaldaei accusaverunt Judaeos, dixeruntque Nabuchodonosor Regi: *Rex, in aeternum vive. Tu, Rex, posuisti decretum, ut omnis homo qui audierit sonitum tubae, fistulae et citharae, sambucae, et psalterii, et symphoniae, et universi generis musicorum prosternat se et adoret statuam auream: si quis autem non procidens adoraverit, mittatur in fornacem ignis ardentis. Sunt ergo viri Judaei quos constituisti super opera regionis Babyloniae, Sidrach, Misach, et Abdenago. Viri isti contempserunt, Rex, decretum tuum, et Deos tuos non colunt, et imaginem auream quam statuisti non adorant.* Tunc Nabuchodonosor in furore et ira praecepit, ut adducerentur Sidrach, Misach et Abdenago: qui confestim adducti sunt in conspectu Regis. Pronunciansque Nabuchodonosor, dixit eis: *Vere ne, Sidrach, Misach, et Abdenago, Deos meos non colitis, et imaginem, quam constitui non adoratis? Nunc ergo si estis parati, quacumque hora audieritis sonitum tubae, fistulae, citharae, sambucae, psalterii et symphoniae, et omnis generis musicorum, prosternite vos et adorate statuam quam feci. Quod si non adoraveritis:*

Ἀπεκρίθη Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγὼ λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ, Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι· ἔστι γὰρ θεὸς ἐν οὐρανῷ, ᾧ ἡμεῖς λατρεύομεν, [δυνατὸς] ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται C ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν. τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ, καὶ εἶπεν, Ἐκκαύσατε τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ· καὶ ἄνδρας ἰσχυροὺς εἶπεν πεδήσαντας τὸν Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγὼ ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν καὶ τιάραις καὶ περικνημῖσι καὶ ἐνδύμασιν αὐτῶν ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυσεν. καὶ ἡ κάμινος ἐξεκαύ- D θη ἐκ περισσοῦ, καὶ οἱ τρεῖς οὗτοι Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγὼ ἔπεσον εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι· καὶ περιεπάτουν ἐν μέσῳ τοῦ πυρὸς ὑμνοῦντες τὸν θεὸν καὶ εὐλογοῦντες τὸν κύριον. καὶ συστὰς Ἀζαρίας προσηύξατο οὕτως, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς εἶπεν, Εὐλογητὸς εἶ, κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνε- R 312

3. σοι om. V. 4. δυνατὸς addidit m. R. 5. τῶν om. P. 9. καὶ Μισάκ P. 12. ἐκβαλεῖν P. *ibid.* τὴν alterum om. P. 16. τοῦ om. P. 22. ὁ θεὸς om. P.

hac eadem hora mittemini in fornacem ignis ardentis. Et quis est Deus qui eximet vos de manu mea?

Respondentes Sidrach, Misach, et Abdenago, dixerunt Regi Nabuchodonosor: *Non oportet nos de hac re respondere tibi: est enim Deus in coelo quem colimus, potens eripere nos de camino ignis ardentis, et de manibus tuis, ó Rex, liberare. Quod si noluerit, notum sit tibi, Rex, quia Deos tuos non colimus, et statuam auream, quam erexisti, non adoramus.* Tunc Nabuchodonosor repletus est furore, et aspectus faciei illius immutatus est super Sidrach, Misach, et Abdenago. Et praecepit ut succenderetur fornax septuplum quam succendi consueverat, donec tandem succenderetur, et viris fortissimis jussit ut ligantes Sidrach, Misach, et Abdenago, mitterent eos in fornacem ignis ardentis. Et confestim viri illi vincti cum braccis suis, et tiaris, et calceamentis, et vestibus missi sunt in medium fornacis ignis ardentis: nam jussio Regis urgebat. Fornax autem succensa erat nimis. Viri autem tres Sidrach, Misach, et Abdenago ceciderunt in medio camino ignis ardentis colligati, et ambulabant in medio flammae laudantes Deum, et benedicentes Domino. Stans autem Azarias oravit sic; aperiensque os suum in medio ignis,

τὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, Ὅτι δίκαιος
εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν, καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ
P 133 καὶ εὐθεῖαι αἱ ὁδοί σου καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθιναί, καὶ
κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα ὅσα ἐποίησας ἡμῖν καὶ
ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ,
ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα διὰ τὰς ἁμαρ-
V 107 τίας ἡμῶν, ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπό σου
καὶ ἐξημάρτομεν ἐν πᾶσι καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν
οὐδὲ συνετηρήσαμεν οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα
εὖ ἡμῖν γένηται. καὶ πάντα ὅσα ἡμῖν ἐπήγαγες, καὶ πάντα ὅσα
ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας, καὶ παρέδωκας ἡμᾶς
εἰς χεῖρας ἐχθρῶν ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ
B πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖ-
ξαι τὸ στόμα ἡμῶν· αἰσχύνη καὶ ὄνειδος ἐγενήθη τοῖς δούλοις
σου καὶ τοῖς σεβομένοις σε. μὴ δὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ
τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ
ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον
ὑπό σου καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου,
οἷς ἐλάλησας πρὸς αὐτοὺς λέγων, Πληθῦναι τὸ σπέρμα αὐτῶν
ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος
τῆς θαλάσσης. ὅτι, δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ
ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρ-

2. ἐπὶ] καὶ ἐπὶ P. 4. κατὰ] καὶ κατὰ P. 7. καὶ om. V.
9. οὐδὲ ἐποιήσαμεν om. P.

ait: *Benedictus es, Domine Deus patrum nostrorum, et laudabile et glorificatum nomen tuum in saecula. Quia justus es et in omnibus quae fecisti nobis, et universa opera tua vera, et rectae viae tuae, et omnia judicia tua vera, et judicia veritatis fecisti, juxta omnia, quae fecisti nobis, et super civitatem sanctam tuam patrum nostrorum Hierusalem. Quia in veritate et judicio induxisti super nos haec omnia propter peccata nostra; quia peccavimus et inique fecimus recedentes a te, et deliquimus in omnibus, et mandata tua non audivimus, neque observavimus, neque fecimus, quemadmodum praeceperas nobis, ut bene sit nobis. Et omnia quaecunque induxisti nobis, et universa quaecunque fecisti nobis in vero judicio fecisti. Et tradidisti nos in manus inimicorum iniquorum inimicissimorum apostatarum, et Regi iniquo, et pessimo ultra omnem terram. Et nunc non possumus aperire os: confusio et opprobrium facti sumus servis tuis, et his qui colunt te. Ne tradas nos in perpetuum, propter nomen tuum: et ne dissipes testamentum tuum, neque auferas misericordiam tuam a nobis, propter Abraham dilectum tuum, et Isaac servum tuum, et Israel sanctum tuum. Quibus locutus es ad eos, dicens, quia multiplicares semen eorum sicut stellas coeli, et sicut arenam, quae est in littore maris. Quia Domine imminuti sumus plusquam omnes gentes, sumusque humiles*

τίας ἡμῶν, καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος οὐδὲ ὁλοκαύτωσις οὐδὲ θυσία οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ ὁλοκαρπῶσαι ἐναντίον σου καὶ εὑρεῖν ἔλεος, ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν, ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτως γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον, καὶ ἐκτελέσαι ὄπισθέν σου, ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί. νῦν οὖν ἀκολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου, μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου, κύριε. καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά. καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυνάμεως καὶ δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη, καὶ γνώτωσαν ὅτι σὺ εἶ κύριος ὁ θεὸς μόνος καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην. C R 314 D

Καὶ οὐ διέλιπον οἱ ἐμβαλόντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως καίοντες τὴν κάμινον νάφθαν καὶ πίσσαν καὶ στυπεῖον καὶ κληματίδα· καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσεράκοντα ἐννέα, καὶ διώδευσεν καὶ ἐνεπύρισεν οὓς ηὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων. ὁ δὲ ἄγγελος τοῦ κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξεν τὴν P 134

2. οὐδὲ θ.] καὶ θ. P. 17. ἐμβάλλοντες PV. ib. τοῦ Βαβυλῶνος βασιλέως P. 18. στυππίον P, στιππύον V. 21. τὴν om. P.

in universa terra hodie propter peccata nostra. Et non est in tempore isto Princeps et Propheta, et dux, neque holocaustum, neque sacrificium, neque oblatio, neque incensum, non locus primitiarum coram te, ut possimus invenire misericordiam tuam, sed in anima contrita, et spiritu humilitatis suscipiamur, sicut in holocaustis arietum et taurorum, et sicut in millibus agnorum pinguium, sic fiat sacrificium nostrum in conspectu tuo hodie, et impleat post te, quia non est confusio confidentibus in te. Nunc igitur sequimur te in toto corde, et timemus te, et quaerimus faciem tuam. Ne confundas nos, sed facias nobiscum secundum mansuetudinem tuam, et secundum multitudinem misericordiae tuae: et erue nos secundum mirabilia tua, et da gloriam nomini tuo, Domine. Et confundantur omnes qui ostendunt servis tuis mala, et confundantur in omni potentia et potestate; et robur eorum conteratur. Et sciant quia tu es Dominus Deus solus, et gloriosus super orbem terrarum.

Et non cessabant, qui miserant eos ministri Regis succedentes fornacem naphtha, et pice, et stupa, et malleolis. Et effundebatur flamma super fornacem in cubitos quadraginta novem, et erupit, et incendit quos invenit circa fornacem Chaldaeorum. Angelus autem Domini de-

φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου, καὶ ἐποίησεν τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζων. καὶ οὐχ ἥψατο αὐτῶν καθόλου τὸ πῦρ· καὶ οὐκ ἐλύπησεν οὐδὲ ἐνώχλησεν αὐτούς. τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ἐδόξαζον καὶ εὐλόγουν τὸν θεὸν ἐν τῇ καμίνῳ, λέγοντες, Εὐλογητὸς εἶ, κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς
B αἰῶνας, καὶ εὐλογημένον τὸ ὄνομά σου τὸ ἅγιον καὶ ὑπερύμνητον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας. εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας. καὶ μετὰ βραχέα. Εὐλογεῖτε Ἀνανία, Ἀζαρία καὶ
V 108 Μισαὴλ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας, ὅτι ἐξείλατο ἡμᾶς ἐξ ᾅδου καὶ ἔσωσεν ἡμᾶς, ἐκ χειρὸς θανάτου καὶ ἐῤῥύσατο ἡμᾶς ἐκ καμίνου μέσης καιομένης φλογὸς καὶ ἐκ μέσου πυρὸς ἐῤῥύσατο ἡμᾶς. ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. εὐλογεῖτε πάντες οἱ σεβόμενοι τὸν κύριον, τὸν θεὸν τῶν θεῶν, ὑμνεῖτε καὶ
C ἐξομολογεῖσθε, ὅτι εἰς πάντας τοὺς αἰῶνας τὸ ἔλεος αὐτοῦ.
R 316 Καὶ Ναβουχοδονόσορ ἤκουσεν ὑμνούντων αὐτῶν, καὶ ἐθαύμασεν, καὶ ἐξανέστη ἐν σπουδῇ, καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ, Οὐχὶ ἄνδρας τρεῖς ἐβάλομεν ἐν μέσῳ τοῦ πυρὸς πεπεδημένους; καὶ εἶπον τῷ βασιλεῖ, Ἀληθῶς, βασιλεῦ. καὶ εἶπεν ὁ βασιλεύς, Ὧδε ἐγὼ ὁρῶ ἄνδρας τέσσαρις λελυμένους καὶ περιπατοῦντας ἐν μέ-

12. ἐξείλετο R. 20. τρεῖς ἄνδρας P. 22. τέσσαρας P. *ibid.* λελυμένους] πεπεδημένους V.

scendit cum Azaria et sociis ejus in fornacem, et excussit flammam ignis de fornace, et fecit medium fornacis, quasi ventum roris flantem. Et non tetigit eos omnino ignis, neque contristavit, nec quicquam molestiae intulit. Tunc hi tres quasi ex uno ore laudabant et glorificabant, et benedicebant Deum in camino dicentes: *Benedictus es, Domine Deus patrum nostrorum, et laudabilis et superexaltatus in saecula. Et benedictum nomen tuum sanctum, et superlaudabile et superexaltatum in saecula. Benedictus es in templo sanctae gloriae tuae, et superlaudabilis et supergloriosus in saecula.* Et post pauca.

Benedicite Anania, Azaria, et Misael Domino, laudate et superexaltate eum in saecula, quia liberavit nos de inferno, et salvavit nos de manu mortis, et liberavit nos de fornace media ardentis flammae, et ex medio igne liberavit nos.

Confitemini Domino, quoniam bonus, quoniam in saeculum misericordia ejus.

Benedicite omnes colentes Dominum, Deum Deorum: laudate et confitemini, quia in omnia saecula misericordia ejus.

Et Nabuchodonosor audivit laudantes eos, et miratus est, et surrexit in festinatione, et ait Optimatibus suis: *Nonne tres viros injecimus*

σῳ τοῦ πυρός, καὶ διαφθορὰ οὐκ ἔστιν ἐν αὐτοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ θεοῦ.

Τότε προσῆλθεν Ναβουχοδονόσορ πρὸς τὴν θύραν τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ εἶπεν, Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε. καὶ ἐξῆλθον Σεδράχ, Μισάχ, Ἀβδεναγὼ ἐκ μέσου τοῦ πυρός. D

Καὶ συνάγονται οἱ σατράπαι καὶ οἱ στρατηγοὶ καὶ οἱ τοπάρχαι καὶ οἱ δυνάσται τοῦ βασιλέως, καὶ ἐθεώρουν τοὺς ἄνδρας ὅτι οὐκ ἐκυρίευσε τὸ πῦρ τοῦ σώματος αὐτῶν καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτῶν οὐκ ἐφλογίσθη καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλλοιώθησαν καὶ ὀσμὴ πυρὸς οὐκ ἦν ἐν αὐτοῖς. καὶ προσεκύνησεν ὁ βασιλεὺς ἐνώπιον αὐτῶν τῷ κυρίῳ. καὶ ἀπεκρίθη Ναβουχοδονόσορ καὶ εἶπεν, Εὐλογητὸς ὁ θεὸς τοῦ Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλατο τοὺς παῖδας αὐτοῦ, ὅτι ἐπεποίθησαν ἐπ᾽ αὐτῷ καὶ τὸ ῥῆμα τοῦ βασι- P 135
λέως ἠλλοίωσαν καὶ παρέδωκαν τὰ σώματα αὐτῶν εἰς πῦρ, ὅπως μὴ λατρεύσωσι μηδὲ προσκυνήσωσι παντὶ θεῷ, ἀλλ᾽ ἢ τῷ θεῷ αὐτῶν. ἐγὼ ἐκτίθεμαι δόγμα, Πᾶς λαός, φυλή, γλῶσσα, ἡ ἐὰν εἴπῃ βλασφημίαν κατὰ τοῦ θεοῦ Σεδράχ, Μισάχ, Ἀβδεναγώ, εἰς ἀπώλειαν ἔσονται, καὶ οἱ οἶκοι αὐτῶν εἰς διαρπαγήν, καθότι οὐκ ἔστιν θεὸς ἕτερος, ὅστις δυνήσεται ῥύσασθαι οὕτως.

Τότε ὁ βασιλεὺς κατεύθυνε τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδε-

4. 6. 19. καὶ Ἀβδεναγώ P. 11. ὁ om. P. 14. ἐξείλετο P. 22. ὁ om. P.

in medium ignis compeditos? Et dixerunt Regi: *Vere, Rex.* Et dixit Rex: *Ecce ego video quatuor viros solutos et ambulantes in medio ignis, et nihil corruptionis est in eis: et species quarti similis filio Dei.*

Tunc accessit Nabuchodonosor ad ostium fornacis ignis ardentis, et ait: *Sidrach, Misach, et Abdenago, servi Dei excelsi, egredimini, et venite foras.* Et egressi sunt Sidrach, Misach, et Abdenago de medio ignis.

Et congregantur Satrapae, Magistratus, et Judices et potentes Regis, et contemplabantur viros illos, quoniam nihil potestatis habuisset ignis in corporibus eorum; et capillus capitis eorum non est adustus, et sarabara eorum non sunt immutata, et odor ignis non transiisset per eos. Et adoravit in conspectu eorum Rex Dominum. Et respondit Nabuchodonosor, et dixit: *Benedictus Deus Sidrach, Misach, et Abdenago, qui misit Angelum suum, et eruit servos suos, quia confiderunt in eo. Et verbum regis immutaverunt, et tradiderunt corpora sua in ignem, ne servirent et ne adorarent omnem Deum, praeter Deum suum. A me positum est decretum: Omnis populus, tribus, lingua, quae dixerit blasphemiam contra Deum Sidrach, Misach, et Abdenago, dispereat, et domus ejus vastetur, neque enim est alius Deus qui possit ita salvare.*

ναγὼ ἐν τῇ χώρᾳ Βαβυλῶνος, καὶ ηὔξησεν αὐτούς, καὶ ἠξίωσεν αὐτοὺς ἡγεῖσθαι πάντων τῶν Ἰουδαίων τῶν ὄντων ἐν τῇ βασιλείᾳ αὐτοῦ.

μδ' Ὀλυμπιάς.

B *ι'.*

Τούτῳ τῷ δεκάτῳ ἔτει Ματθανίου τοῦ καὶ Σεδεκίου ὁ λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν παρὰ κυρίου, ἐν ᾧ καιρῷ ἐφυλάττετο τῇ αὐλῇ τῆς φυλακῆς τοῦ βασιλέως Ἰούδα, ἐν ᾗ κατέκλεισεν
R 318 *αὐτὸν Ματθανίας ὁ καὶ Σεδεκίας, λέγων, Διὰ τί σὺ προφητεύεις λέγων, Οὕτως εἶπε κύριος, Ἰδοῦ ἐγὼ δίδωμι τὴν πόλιν ταύτην ἐν χειρὶ βασιλέως Βαβυλῶνος, καὶ λήψεται αὐτήν, καὶ Ματθανίας ὁ καὶ Σεδεκίας οὐ μὴ σωθῇ ἐκ χειρὸς τῶν Χαλδαίων, ὅτι παραδόσει παραδοθήσεται εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ λαλήσει τὸ στόμα αὐτοῦ πρὸς τὸ στόμα αὐτοῦ καὶ οἱ ὀφθαλμοὶ*
C *αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτοῦ ὄψονται, καὶ εἰσελεύσεται Ματθανίας ὁ καὶ Σεδεκίας εἰς Βαβυλῶνα, καὶ ἐκεῖ καθιεῖται, ἕως οὗ ἐπισκέψομαι αὐτόν, φησὶ κύριος, ὅτι πολεμεῖ τοὺς Χαλδαίους.*

ια'.

Τούτῳ τῷ ἔτει ἐνάτῃ τοῦ τετάρτου μηνὸς ἐρράγη ἡ πόλις Ἱερουσαλήμ, καὶ εἰσῆλθον πάντες οἱ ἡγεμόνες Ναβουχοδονόσορ,

4. *ιθ' Ναβουχοδονόσορος* m. R. 6. *δεκάτῳ ἔτει*] *ἔτει ι'* P. 14. *οἱ* om. P. 18. *ια'* om. RV. 19. *κ' Ναβουχοδονόσορ*, quod apponit m. P, ex V affertur diserte, ut mihi non liqueat scholia illa V constanter habeat an minus. *ib. ἐννάτῃ* PV.

mi a m. c. Tunc Rex promovit Sidrach, Misach, et Abdenago in provincia Babylonis. Et evexit eos, et toti Judaeorum genti, quae in regno ejus erat, praefecit.

XLIV. Olympias.

4904. X.

Decimo Matthaniae, sive Sedeciae, anno, verbum Domini factum est ad Hieremiam, quando custodiebatur in atrio carceris Regis Judae, in quo clauserat eum Matthanias, qui et Sedecias, dicens: *Quare tu vaticinaris dicens: Sic dixit Dominus, Ecce ego do civitatem istam in manu Regis Babylonis, et capiet eam, et Matthanias, qui et Sedecias, non salvabitur de manu Chaldaeorum, quia traditione tradetur in manus Regis Babylonis; et loquetur os ejus ad os ejus, et oculi ejus oculos ejus videbunt. Et ingredietur Matthanias, qui et Sedecias, in Babylonem, et ibi sedebit, donec visitem eum, dicit Dominus, quia pugnat contra Chaldaeos.*

4905. XI.

Hoc anno, die nono quarti mensis, vastata est Hierusalem, et in-

καὶ ἔφυγεν Ματθανίας ὁ καὶ Σεδεκίας καὶ οἱ μετ' αὐτοῦ νυκτὸς V 109
εἰς κῆπον αὐτοῦ, καὶ ἠθέλησαν φυγεῖν, καὶ κατεδίωκον οἱ Χαλδαῖοι ὀπίσω τοῦ βασιλέως, καὶ κατέλαβον αὐτόν· καὶ πᾶσα ἡ δύναμις αὐτοῦ διεσπάρη, καὶ ἔσφαξαν τοὺς υἱοὺς αὐτοῦ ὀρῶντος αὐτοῦ καὶ αὐτὸν ἐξετύφλωσεν καὶ ἀπήγαγεν αὐτὸν εἰς Βαβυλῶνα.

Καὶ ἐν τῷ μηνὶ τῷ ε', ϑ' τοῦ μηνός, οὗτος ιϑ' ἐνιαυτὸς D
Ναβουχοδονόσορ, ἦλθεν Ναβουζάρδαν ὁ ἀρχιμάγειρος αὐτοῦ εἰς Ἱερουσαλήμ, καὶ ἐνέπρησε τὸν ναὸν κυρίου διαρκέσαντα ἔτεσιν υκέ, καὶ τὸν οἶκον τοῦ βασιλέως Σεδεκίου τοῦ καὶ Ἰεχωνίου καὶ αὐτὸν ἐνέπρησεν, καὶ πάσας τὰς οἰκίας τῆς πόλεως καὶ πᾶν τὸ τεῖχος Ἱερουσαλὴμ κύκλῳ καθεῖλεν πᾶσα ἡ δύναμις Χαλδαίων ἡ μετὰ Ναβουζάρδαν τοῦ ἀρχιμαγείρου, καὶ τοὺς καταλειφθέντας ἐν τῇ πόλει καὶ τοὺς πεπτωκότας ἀπῴκισεν πρὸς βασιλέα Βαβυλῶνος, τοὺς δὲ πένητας τῆς γῆς κατέλιπεν Ναβουζάρδαν εἰς ἀμπελουργοὺς καὶ εἰς γεωργούς. καὶ τοὺς στύλους τους χαλκοῦς τοὺς ἐν οἴκῳ κυρίου συνέτριψαν οἱ Χαλδαῖοι, καὶ ἔλαβον πάντα τὸν χαλ- P 136
κὸν αὐτῶν καὶ ἀπήνεγκαν εἰς Βαβυλῶνα. καὶ τοὺς ποδιστῆρας καὶ τοὺς ἀναληπτῆρας καὶ τὰ ψαλτήρια καὶ τὴν στεφάνην καὶ τὰς φιάλας καὶ τὰς κρεάγρας καὶ πάντα σκεύη τὰ χαλκᾶ, ἐν οἷς ἐλειτούργουν ἐν αὐτοῖς, καὶ τὰς ὑδρίας καὶ σαπφὼϑ καὶ τὰ μασμαιρὼϑ καὶ τοὺς ὑποχυτῆρας καὶ τὰς λυχνίας καὶ τὰ ἀμμα- R 320

4. ἔσφαξεν P. 7. ἕως *Μαρτίου κα' ἐνίστατο τὸ* ιϑ' ἔτος *Ναβουχοδονόσωρ* m. P. 12. *τῶν Χαλδαίων* P. 14. *ἐμπεπτωκότας* P. 17. *οἱ Χαλδαῖοι* om. P. 18. *ἀπήνεγκεν* P. 19. *καὶ τὴν*] *τὴν* V. 21. *ἀπφὼϑ* P. *φιάλας* m. P. *ibid. μαρμαιρὼϑ* P. *ϑυμιαματήρια* m. P. 22. *ἀμμαστρακώϑ* P. *λέβητας* m. P.

gressi sunt duces omnes Nabuchodonosor, fugitque Matthanias, qui et Sedecias, et qui cum illo erant noctu in hortum ejus, et voluerunt fugere, et insecuti a tergo Regis ceperunt eum Chaldaei, et totus exercitus ejus dissipatus est, et occidit filios ejus coram eo, et ipsum oculis privavit, et in Babylonem deduxit.

Mense vero quinto, die nono, qui decimus nonus est Nabuchodonosor, venit Nabuzardan Princeps coquorum Hierosolymam, et incendit templum Domini, quod steterat annis cccexxv. domumque regiam Sedeciae, qui et Joacim, et omnes domos civitatis; et totum murum Hierosolymorum in circuitu exercitus Chaldaeorum, qui erant cum Nabuzardan, dejecit, et relictos in urbe et cadentes transtulit ad Regem Babylonis. Pauperes vero terrae Nabuzardan reliquit ad colendas vineas et agros. Et columnas aereas in templo Domini comminuerunt, et quicquid erat aeris acceperunt, secumque Babylonem deportarunt. Lebetes praeterea, amulas, psalteria, coronam, phialas, et creagras, omnisque generis vasa aerea in quibus sacrificabant, et rei divinae operabantur; hydrias quo-

σρακὼθ καὶ τὰς θυίσκας καὶ τοὺς κυάθους, ἃ ἦν χρυσᾶ καὶ ἃ ἦν ἀργυρᾶ, ἔλαβεν ὁ ἀρχιμάγειρος. καὶ οἱ στῦλοι δύο καὶ ἡ θάλασσα μία καὶ οἱ μόσχοι δώδεκα χαλκοῖ, οἳ ἦσαν ὑποκάτω τῆς θαλάσσης, ἃ ἐποίησεν βασιλεὺς Σολομὼν εἰς οἶκον κυρίου, οὐκ
B ἦν σταθμὸς τοῦ χαλκοῦ αὐτῶν πάντων τῶν σκευῶν τούτων.

Καὶ οὗτος Σεδεκίας ὁ καὶ Ἰεχωνίας τὸ πονηρὸν ἐποίησεν ἐνώπιον κυρίου κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ.

Τῷ αὐτῷ ια' ἔτει Σεδεκίου τῇ Σώρ, ὅπερ ἐστὶν Τύρος, ἐπιφανείσῃ τῇ Ἱερουσαλὴμ διὰ τὰ συμβάντα αὐτῇ ὑπὸ Ναβουχοδονόσορ καὶ Ναβουζάρδαν τοῦ ἀρχιμαγείρου αὐτοῦ προφητεύει κατ' αὐτῆς Ἐζεκιὴλ δηλῶν ὅσα αὐτῇ κακὰ ἔσται καὶ ὡς εἰς λεωπετρίαν δοθήσεται καὶ ψυγμὸς σαγηνῶν ἔσται.

Ἐπὶ τούτου καὶ οἱ βασιλεῖς Ἰουδαίων ἐπαύσαντο αἰχμαλωτισθέντες ὑπὸ Ναβουχοδονόσορ, καὶ μηκέτι ἰσχύσαντες ἐδούλευ-
C σαν Βαβυλωνίοις καὶ Μήδοις. παρέδωκε γὰρ κύριος ὁ θεὸς τὴν βασιλείαν τῆς γῆς εἰς χεῖρας Ἀσσυρίων καὶ Χαλδαίων καὶ Μήδων καὶ Περσῶν.

Μέχρι Ματθανίου τοῦ καὶ Σεδεκίου καταλήγουσιν οἱ ἐκ φυλῆς Ἰούδα βασιλεῖς, διαγενόμενοι ἐπὶ ὅλοις ἔτεσιν νοθ'.

Τὰ ο' ἔτη τῆς αἰχμαλωσίας τῶν Ἰουδαίων τὰ προφητευθέντα ὑπὸ Ἱερεμίου τοῦ προφήτου, καθὼς ἡ δευτέρα τῶν Παραλει-

6. οὕτως P sola. 8. ἔτει ια' P. 9. Ναβουχοδονόσορος P. 10. αὐτοῦ om. P. 11. λεοπετρίαν m. P ex Ezech. XXVI. 4., γεωμετρίαν PV. 12. δοθήσεται om. P.

nni a m. c. que et phialas et thymiateria, et urceos, et pelves, et candelabra, et libatoria, et mortariola seu thuribula, et cyathos: quae erant aurea, et quae erant argentea tulit Princeps cocorum. Et columnae duae, et mare unum, et vituli duodecim aenei sub mare, quae fecit Rex Solomon in domum Domini, non erat pondus aeris omnium horum vasorum.

Hic Sedecias, qui et Jechonias, malum fecit coram Domino, juxta omnia quae fecerant patres ejus.

Eodem anno XI. Sedeciae, Sor, seu Tyro, insultante urbi Hierusalem propter ea quae passa fuerat a Nabuchodonosor et Nabuzardan Principe coquorum, adversus illam prophetat Ezechiel, quaeque illi impendeant mala indicat, et ut in limpidissimam petram dabitur, et ut siccatio sagenarum erit.

4906. Illo regnante, desierunt Reges Judaeorum, facti a Nabuchodonosor captivi, viribusque destituti Babyloniis et Medis servierunt. Tradidit enim Dominus Deus regnum terrae in manus Assyriorum et Chaldaeorum, Persarum et Medorum.

Usque ad Matthaniam, seu Sedeciam, deficiunt Reges ex tribu Juda, cum perstitissent annis CCCCLXXIX.

LXX. ann captivitatis Judaeorum, qui praedicti sunt ab Hieremia Propheta, quemadmodum secundus liber paralipomenôn, et Esdrae scri-

πομένων καὶ ἡ τοῦ Ἔσδρα διδάσκει γραφή, τὴν ἀρχὴν ἔχει μετὰ τὸ ια' ἔτος Ματθανίου τοῦ καὶ Σεδεκίου, καὶ συμπληροῦνται εἰς τὸ δεύτερον ἔτος Δαρείου τοῦ Ὑστάσπου βασιλέως Περσῶν.

ιβ'. D

Ἰουδαίων αἰχμαλωσίας καὶ ἀφανισμοῦ τοῦ ἐν Ἱεροσολύμοις νεώ.

Πρῶτον ἔτος ἀρχῆς ἀφανισμοῦ τοῦ νεὼ καὶ αἰχμαλωσίας τοῦ Ἰουδαίων ἔθνους πλὴν ὀλίγων, οἳ καὶ εἰς Αἴγυπτον κατέβησαν πρὸς Οὐαφρῆν βασιλέα Αἰγύπτου μετὰ τὰς εἰς αὐτοὺς γενομένας μερικὰς αἰχμαλωσίας, καθ' ἣν ὁ τῶν Χαλδαίων καὶ Βαβυλωνίων βασιλεὺς Ναβουχοδονόσορ ἐπαύσατο πολιορκήσας τὰ Ἱεροσόλυμα καὶ τὸν Σεδεκίαν ἐκτυφλώσας αἰχμάλωτον ἔλαβεν. Ναβουζάρδαν δὲ ὁ ἀρχιμάγειρος μηνὶ πέμπτῳ δεκάτῃ τοῦ μηνὸς τόν τε νεὼ πυρπολεῖ, διαρκέσαντα ἀπὸ πρώτης οἰκοδομῆς Σολομῶνος ἔτεσι υμβ'. συνᾴδει δὲ ἡμῖν ὁ Κλήμης καὶ αὐτὸς ἐν τῷ πρώτῳ στρώματι, φάσκων ἐπὶ τῆς μδ' Ὀλυμπιάδος τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν τοῦ Ἰουδαίων λαοῦ γενέσθαι, βασιλεύοντος μὲν Αἰγυπτίων Οὐαφροῦ, ἄρχοντος δὲ Ἀθήνησι Φιλίππου· συνάγεσθαί τε τὰ ο' ἔτη τῆς ἐρημίας τοῦ τόπου ἐπὶ τὸ δεύτερον ἔτος Δαρείου τοῦ Ὑστάσπου. ταῦτα μὲν ὁ δηλωθεὶς ἀνήρ.

V 110
R 322
P 137

4. ιβ' om. RV. ib. κα' Ναβουχοδονόσωρ. α' ἔτος αἰχμαλωσίας m. R et m. V. 13. ὁ om. P. 15. καὶ ὁ αὐτὸς P. ibid. ἐν τῷ πρώτῳ] p. 395. 18. Οὐαφρίου V. ib. Φιλίππου] Conf. Euseb. p. 330. ed. Mai.

ptura docet, initium ducunt post Matthaniae, seu Sedeciae, annum XI. et complentur anno II. Darii, Hystaspis filii, Regis Persarum.

XII.

De Judaeorum captivitate, et excidio templi Hierosolymitani.

Primus annus incoepti excidii templi, et captivitatis gentis Judaeorum, paucis exceptis qui in Aegyptum ad Vafrem Aegypti Regem profecti sunt, postquam pars alia in captivitatem abducta est, quando Chaldaeorum et Babyloniorum Rex Nabuchodonosor obsidionem Hierosolymorum solvit, et Sedecia occoecato, hunc captivum abduxit. Nabuzardan vero Princeps coquorum mensis quinti die X. templum incendit, quod a prima Solomonis aedificatione annis CDXLII. perstiterat. Nobis ipsemet concinit Clemens lib. I. Stromatum, scribens, quadragesima quarta Olympiade abductam fuisse in civitatem Babylonis in captivitatem Judaeorum gentem, regnante apud Aegyptios Vafre, Philippo vero Athenis Archonte: confici porro LXX. annos vastationis loci anno II. Darii Hystaspis filii. Haec supra memoratus vir.

Ἐζεκιὴλ δὲ ὁ προφήτης τῷ Φαραὼ Οὐαφρῇ βασιλεῖ Αἰγύπτου προφητεύει ὁπόσα αὐτῷ συμβήσεται καὶ τῇ Αἰγύπτῳ, ἀνθ' ὧν ὡς καλαμίνη ῥάβδος τεθλασμένη ἐγενήθη τῷ οἴκῳ Ἰσραήλ.

Ὁ αὐτὸς δέ φησι περὶ τοῦ αὐτοῦ ἀφανισμοῦ, Δωδεκάτῳ ἔτει αἰχμαλωσίας Ἐλιακεὶμ τοῦ καὶ Ἰωακείμ, ὅπερ ἐστὶ πρῶτον ἔτος ἀφανισμοῦ τοῦ ἐν Ἱεροσολύμοις νεώ.

Δεκάτῳ μηνὶ πέμπτῃ τοῦ μηνὸς ἦλθεν ὁ ἀνασωθεὶς ἀπὸ Ἱερουσαλὴμ ἐν χώρᾳ Χαλδαίων, λέγων τῷ προφήτῃ Ἰεζεκιήλ, Ἑάλωκεν ἡ πόλις. χεὶρ δὲ κυρίου ἦν γενομένη ἐπὶ τὸν αὐτὸν προφήτην ἑσπέρας, πρὶν ἢ ἐλθεῖν τὸν ἀνασωθέντα, καὶ ἠνοίχθη τὸ στόμα αὐτοῦ πρωί, ὡς ἦλθεν πρὸς αὐτὸν ὁ ἀνασωθείς, καὶ ἀνοιχθέντος τοῦ στόματος αὐτοῦ οὐ συνεσχέθη ἔτι, καὶ μετὰ τοῦτό φησιν, Ἐγένετο λόγος κυρίου πρός με λέγων, Υἱὲ ἀνθρώπου, οἱ κατοικοῦντες τὰς ἠρημωμένας πόλεις ἐπὶ τῆς γῆς τοῦ Ἰσραὴλ λέγουσιν, Εἷς ἦν Ἀβραὰμ καὶ κατέσχε γῆν, καὶ ἡμεῖς πλείους ἐσμέν· ἡμῖν δέδοται εἰς κατάσχεσιν. διὰ τοῦτο εἰπὲ αὐτοῖς, Τάδε λέγει Ἀδωναεὶ κύριος, Ἐπειδὴ τοῦ αἵματος ἐσθίετε καὶ τοὺς ὀφθαλμοὺς ὑμῶν ἤρατε πρὸς τὰ εἴδωλα ὑμῶν καὶ αἷμα ἐξεχέατε καὶ τὴν γῆν ἐκληρονομήσατε καὶ ἕκαστος τὴν γυναῖκα τοῦ πλησίον ἐμιάνατο, ζῶ ἐγώ, λέγει κύριος, εἰ μὴ οἱ ἐν ταῖς ἠρημωμέναις μαχαίρᾳ πεσοῦνται,

1. Ἰεξεκιὴλ R. *ib.* δὲ om. P. 3. καλάμιν ἡ V, καλάμη ἡ P. 5. δέ om. P. 13. οὐ om. V. 15. ἐρημωμένας P. 16. εἷς ἦν] εἰς ἦν V. *ib* Ἀβραὰμ κατέσχε γῆν V, καὶ κατέσχει γῆν Ἀβραὰμ P. Conf. Ezech. XXXIII. 24. 17. Ἀδωναΐ P. 19. ἐξεχέετε V. 21. ἐρημωμέναις PV. *ib.* μαχαίραις P.

Ezechiel Propheta Pharaoni Vafre Aegypti Regi praedicit quaecumque ipsi eventura sunt, et Aegypto, pro quibus quasi arundo virga confracta factus est domui Israel.

Idem praeterea scribit de hac eversione templi: Anno XII. captivitatis Eliacim, qui et Joacim dictus est, qui primus est eversionis annus templi Hierosolymitani.

Mense decimo, die quinto mensis, accessit quidam qui ex urbe Hierosolymitana evaserat, et in Chaldaeorum Regionem venerat, dicens Ezechieli Prophetae: *Capta est civitas.* Manus autem Domini facta fuerat ad ipsum Prophetam vespere antequam veniret qui evaserat, ejusque ore aperto, non se amplius continuit, et post haec dixit: *Factum est verbum Domini ad me, dicens: Fili hominis, qui habitant in ruinosis super humum Israel, aiunt, unus erat Abraham, et haereditate possedit terram, nos autem multi sumus, nobis data est terra in possessionem: idcirco dices ad eos, Haec dicit Dominus Deus, Quia in sanguine comeditis, et oculos vestros levatis ad immunditias vestras, et sanguinem funditis, et terram possidetis, et unusquisque uxorem proximi sui polluit, Vivo ego, dicit Dominus, quia qui in ruinosis, habitabant, gladio cadent,*

καὶ οἱ ἐν τῷ πεδίῳ βρωθήσονται ἀπὸ τῶν θηρίων τοῦ ἀγροῦ, καὶ ἐρημωθήσεται ὄρη τοῦ Ἰσραὴλ διὰ τὸ μὴ εἶναι διαπορευόμενον, D καὶ γνώσονται ὅτι ἐγά εἰμι κύριος.

Δανιὴλ ἐν Βαβυλῶνι προεφήτευεν. ἐκεῖσε δὲ καὶ Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ ἐγνωρίζοντο.

κβ'.

με' Ὀλυμπιάς. R 324

κγ'.

Τούτῳ τῷ κγ' ἔτει Ναβουχοδονόσορ καὶ τρίτῳ τῆς αἰχμαλωσίας ἀπῴκισε Ναβουζάρδαν πάλιν ἀπὸ Ἱερουσαλὴμ Ἰουδαίους ψμε'. πᾶσαι δὲ ψυχαὶ Ἰουδαίων ἀπῳκίσθησαν ἀπὸ Ἱερουσαλὴμ P 138 εἰς Βαβυλῶνα δ' καὶ χ'.

Μετὰ Ναβουχοδονόσορ διεδέξατο τὴν Χαλδαίων ἀρχὴν ὁ υἱὸς αὐτοῦ Εὐειλὰδ Μαροδὰχ ἔτη ζ'. ὁμοῦ ,δψιε'.

α'.

Τούτῳ τῷ ἔτει ἐξέβαλεν Εὐειλὰδ Μαροδὰχ ὁ υἱὸς Ναβουχοδονόσορ Ἰωακεὶμ τὸν καὶ Ἰεχωνίαν ἐκ τῆς οἰκίας τῆς φυλακῆς ἧς ἐφυλάττετο, καὶ ἐλάλησεν αὐτῷ χρηστά, καὶ ἔδωκεν τὸν θρόνον V 111 αὐτοῦ ἐπάνω τῶν θρόνων τῶν βασιλέων τῶν μετ' αὐτοῦ ἐν Βαβυλῶνι, καὶ ἤλλαξε τὴν στολὴν τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιεν

4. προεφήτευσεν P. *ibid.* δὲ] τε PV. 5. ἐγνωρίζετο P. 9. αἰχμαλωσίας β', γ' m. P. *ib.* κγ' om. P. 11. Ἰουδαίων om. P. 14. μαρωχάδ V. 18. ἔδωκεν] Immo ἔθηκεν.

et qui in campo a bestiis agri devorabuntur, et desolabuntur montes Israel, Anni a m. c.
eo quod nullus sit qui per eos pertranseat, et scient quia ego sum Dominus.

Daniel Babylone prophetavit, ibidemque Ananias, Azarias et Misael clari habebantur.

XXII. 4907.

XLV. Olympias.

XXIII. 4912.

Hoc anno Nabuchodonosor, et tertio a captivitate, transtulit rursum Nabuzardan DCCXLV. Judaeos ex Hierusalem. Universum vero translati sunt ex Hierusalem in civitatem Babylonis animae IV. MDC.

Post Nabuchodonosor, Chaldaeorum principatum excepit filius ejus Euilad-Marodach, qui regnavit annos VII. Colliguntur anni IV. MDCCCCXV.

I.

Hoc anno Evilad-Marodach, filius Nabuchodonosor, eduxit Joacim, qui et Jechonias dictus, e carcere in quo custodiebatur, et locutus est illi benigne, et posuit thronum ejus super thronos Regum qui erant cum eo in Babylone, et mutavit vestes ejus quas habuerat in carcere, et com-

B ἄρτον διὰ παντὸς κατὰ πρόσωπον αὐτοῦ πάσας τὰς ἡμέρας ἃς ἔζησεν, καὶ ἡ ταγὴ αὐτοῦ ταγὴ διὰ παντὸς ἐδίδοτο αὐτῷ παρὰ τοῦ βασιλέως Βαβυλῶνος ἐξ ἡμέρας εἰς ἡμέραν ἕως ἡμέρας ἧς ἀπέθανεν.

β', γ'.

μς' Ὀλυμπιάς.

δ', ε', ς', ζ'.

μζ' Ὀλυμπιάς.

Μετὰ Εὐειλὰδ Μαροδὰχ βασιλεύει Χαλδαίων ὁ ἀδελφὸς αὐτοῦ Βαλτασὰρ ἔτη δ'. ὁμοῦ ,δϡιθ'.

C α', β', γ'.

κ' ἔτος προφητείας Ἰεζεκιὴλ καὶ λ' προφητείας Δανιὴλ ἐν Βαβυλῶνι.

δ'.

Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δεῖπνον μέγα τοῖς μεγιστᾶσιν αὐτοῦ ἀνδράσι ,α. κατέναντι τῶν χιλίων πίνων Βαλτάσαρ εἶπεν ἐν τῇ γεύσει τοῦ οἴνου ἐξενεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ ναοῦ τοῦ ἐν Ἱερουσαλήμ, καὶ πινέτωσαν ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ αὐτοῦ καὶ αἱ παράκοιτοι αὐ-

7. δ' — ζ' ante μς' Ὀλυμπιὰς ponunt RV, transposuit P, sequuta m. R, qui Ὀλυμπιὰς μς' ε', ς', ζ', η', θ': quas litteras ponit etiam m. P. 8. αἰχμαλωσίας ι', ια', ιβ', ιγ', ιδ' m. P. 11. κ' ἔτος om. P. 14. 19. 259. 3. μεγαστάσιν — μεγαστάνες R.

edebat panem semper in conspectu ejus cunctis diebus vitae suae. Annonam quoque constituit ei sine intermissione, quae ei dabatur a Rege Babylonis.

II. III.

XLVI. Olympias.

IV. V. VI. VII.

XLVII. Olympias.

Post Evilad-Marodach, super Chaldaeos regnavit frater ejus Baltasar annos IV. Colliguntur anni IV. MDCCCCXIX.

I. II. III.

Prophetiae Ezechielis, et XXX. annus Prophetiae Danielis Babylone.

IV.

Baltasar fecit grande convivium optimatibus suis mille, et coram mille bibens Baltasar, praecepit jam temulentus, ut afferrentur vasa aurea et argentea quae asportaverat pater ejus de templo quod fuit in Hierusalem, ut biberent in eis Rex et optimates ejus, uxoresque ejus et concubinae. Tunc allata sunt vasa quae asportaverat de templo, quod

τοῦ. καὶ ἠνέχθησαν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκεν ἐκ τοῦ ναοῦ τοῦ θεοῦ τοῦ ἐν Ἰερουσαλήμ. καὶ ἔπινον ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ αὐτοῦ καὶ αἱ παράκοιτοι αὐτοῦ ἔπινον οἶνον, καὶ ἤνεσαν τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς καὶ ξυλίνους καὶ λιθίνους, καὶ τὸν θεὸν τοῦ αἰῶνος οὐκ εὐλόγησαν τὸν ἔχοντα τὴν ἐξουσίαν τοῦ πνεύματος αὐτῶν. ἐν αὐτῇ τῇ ὥρᾳ ἐξῆλθον δάκτυλοι χειρὸς ἀνθρώπου, καὶ ἔγραφον κατέναντι τῆς λαμπάδος ἐπὶ τοῦ κονιάματος τοῦ τοίχου τοῦ οἴκου τοῦ βασιλέως. καὶ ὁ βασιλεὺς ἐθεώρει τοὺς ἀστραγάλους τῆς χειρὸς τῆς γραφούσης. τότε τοῦ βασιλέως ἡ μορφὴ ἠλλοιώθη, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν, καὶ οἱ δεσμοὶ τῆς ὀσφύος αὐτοῦ διελύοντο καὶ τὰ γόνατα αὐτοῦ συνεκρούοντο. D R 326 P 139

Καὶ ἐβόησεν ὁ βασιλεὺς ἐν ἰσχύϊ τοῦ εἰσαγαγεῖν μάγους, Χαλδαίους, Γαζαρηνούς· καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπε τοῖς σοφοῖς Βαβυλῶνος, Ὃς ἂν ἀναγνῶ τὴν γραφὴν ταύτην καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσῃ μοι, πορφύραν ἐνδύσεται, καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξει. καὶ εἰσεπορεύοντο πάντες οἱ σοφοὶ τοῦ βασιλέως, καὶ οὐκ ἠδύναντο τὴν γραφὴν ἀναγνῶναι οὐδὲ τὴν σύγκρισιν τῷ βασιλεῖ γνωρίσαι. καὶ ὁ βασιλεὺς Βαλτάσαρ ἐταράχθη, καὶ ἡ μορφὴ αὐτοῦ ἠλλοιώθη ἐπ' αὐτῷ, καὶ οἱ μεγιστᾶνες αὐτοῦ συνεταράσσοντο. καὶ ἡ βασίλισσα εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ B

2. τοῦ θεοῦ] θεοῦ P. 8. χειρὸς om. P.

fuerat in Hierusalem, et biberunt in eis Rex et optimates ejus, uxores et concubinae ejus. Bibebant vinum, et laudabant Deos suos aureos et argenteos, aereos, ferreos, ligneosque et lapideos, et non laudabant Deum saeculi qui habet potestatem spiritus eorum. In eadem hora apparuerunt digiti, quasi manus hominis scribentis contra candelabrum in superficie parietis aulae regiae. Et Rex aspiciebat articulos manus scribentis. Tunc facies Regis commutata est, et cogitationes ejus conturbabant eum: et compages renum ejus solvebantur, et genua ejus ad se invicem collidebantur.

Exclamavit itaque Rex fortiter, ut introducerent Magos, Chaldaeos et aruspices. Et proloquens Rex, ait sapientibus Babylonis: *Quicumque legerit scripturam hanc, et interpretationem ejus manifestam mihi fecerit, purpura vestietur, et torquem auream habebit in collo, et tertius in regno meo erit.* Tunc ingressi omnes sapientes Regis non potuerunt nec scripturam legere, nec interpretationem ejus indicare Regi. Unde Rex Baltasar satis conturbatus est, et vultus illius immutatus est: sed et optimates ejus turbabantur. Regina autem pro re quae acciderat Regi et optimatibus ejus, domum convivii ingressa est: et proloquens ait: *Rex,*

πότου, καὶ ἀπεκρίθη ἡ βασίλισσα καὶ εἶπεν, Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι· μὴ ταρασσέτωσάν σε οἱ διαλογισμοί σου, καὶ ἡ μορφή σου μὴ ἀλλοιούσθω. ἔστιν ἀνὴρ ἐν τῇ βασιλείᾳ σου, ἐν ᾧ πνεῦμα θεοῦ ἅγιον, καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου γρηγόρησις καὶ σύνεσις ηὑρέθη ἐν αὐτῷ· καὶ ὁ βασιλεὺς Ναβουχοδονόσορ ὁ πατήρ σου ἄρχοντα ἐπαοιδῶν, μάγων, Χαλδαίων, Γα-
V 112 ζαρηνῶν κατέστησεν αὐτόν, ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ καὶ φρόνησις καὶ σύνεσις, συγκρίνων ἐνύπνια καὶ ἀναγγέλλων κρυπτό-
C μενα καὶ λύων συνδέσμους Δανιήλ, καὶ ὁ βασιλεὺς ἐπέθηκεν αὐτῷ ὄνομα Βαλτάσαρ. νῦν οὖν κληθήτω, καὶ τὴν σύγκρισιν ἀναγγελεῖ σοι. τότε Δανιὴλ εἰσήχθη κατ' ἐνώπιον τοῦ βασιλέως. καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ, Σὺ εἶ Δανιὴλ ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας ἧς ἤγαγεν ὁ βασιλεὺς ὁ πατήρ μου; καὶ εἶπεν, Ναί, βασιλεῦ. Ἤκουσα περὶ σοῦ ὅτι πνεῦμα θεοῦ ἐν σοὶ καὶ γρηγόρησις καὶ σύνεσις καὶ σοφία περισσὴ ηὑρέ-
R 328 θη ἐν σοί, καὶ νῦν εἰσῆλθον ἐνώπιόν μου οἱ σοφοί, μάγοι, Χαλδαῖοι, Γαζαρηνοί, ἵνα τὴν γραφὴν ταύτην ἀναγνῶσι καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσωσί μοι· καὶ οὐκ ἠδυνήθησαν ἀπαγγεῖλαί
D μοι. καὶ ἐγὼ ἤκουσα περὶ σοῦ ὅτι δύνασαι κρίματα συγρῖναι. νῦν οὖν ἐὰν δυνηθῇς τὴν γραφὴν ἀναγνῶναι καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσαι μοι, πορφύραν ἐνδύσῃ, καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἐπὶ τὸν τράχηλόν σου, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρ-

1. βασιλεῦ om P. 6. ἐπ' ἀοιδῶν PV. 6. κρυπτόμενα m. R, κρατούμενα PV. 11. κατ' ἐνώπιον] ἐνώπιον P. 14. ναί, βασιλεῦ] ὁ βασιλεύς P. 18. καὶ om. P.

in aeternum vive: non te conturbent cogitationes tuae, neque facies tua immutetur. Est vir in regno tuo, qui spiritum Deorum sanctorum habet in se: et in diebus patris tui scientia et sapientia inventae sunt in eo. Nam et Rex Nabuchodonosor pater tuus Principem Magorum, incantatorum, Chaldaeorum, et Aruspicum constituit eum, pater, inquam, tuus, o Rex, quia spiritus amplior et prudentia, intelligentiaque et interpretatio somniorum, et ostensio secretorum, ac solutio ligatorum inventae sunt in eo, hoc est in Daniele, cui Rex nomen posuit Balthasar. Nunc itaque Daniel vocetur, et interpretationem narrabit. Igitur introductus est Daniel coram Rege: ad quem praefatus Rex ait: *Tu es Daniel de filiis captivitatis Juda, quem adduxerat pater meus Rex de Judaea? audivi de te quoniam spiritum Deorum habeas, et scientia intelligentiaque ac sapientia ampliores inventae sunt in te. Et nunc introgressi sunt in conspectu meo sapientes magi, ut scripturam hanc legerent, et interpretationem ejus indicarent mihi, et nequiverunt sensum hujus sermonis edicere. Porro ego audivi de te quod possis obscura interpretari, et ligata dissolvere: si ergo vales scripturam legere, et interpretationem ejus indicare mihi, purpura vestieris, et torquem auream circa collum tuum habebis, et tertius in regno meo Princeps eris.* Ad quae respondens Daniel, ait coram Rege:

ξεις. τότε ἀπεκρίθη Δανιὴλ καὶ εἶπεν ἐνώπιον τοῦ βασιλέως, Τὰ δόματά σου σοὶ ἔστω καὶ τὴν δωρεὰν τῆς οἰκίας σου ἑτέρῳ δός· ἐγὼ δὲ τὴν γραφὴν ἀναγνώσομαι τῷ βασιλεῖ καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσω σοι. βασιλεῦ, ὁ θεὸς ὁ ὕψιστος τὴν βασιλείαν καὶ τὴν μεγαλωσύνην καὶ τὴν δόξαν ἔδωκεν Ναβουχοδονόσορ τῷ πατρί σου. καὶ ἀπὸ τῆς μεγαλωσύνης ἧς ἔδωκεν αὐτῷ P 140
πάντες οἱ λαοί, φυλαί, γλῶσσαι ἦσαν τρέμοντες καὶ φοβούμενοι ἀπὸ προσώπου αὐτοῦ. οὓς ἠβούλετο αὐτὸς ἀνῄρει καὶ οὓς ἠβούλετο αὐτὸς ἔτυπτεν καὶ οὓς ἠβούλετο αὐτὸς ὕψου καὶ οὓς ἠβούλετο αὐτὸς ἐταπείνου. καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ καὶ τὸ πνεῦμα αὐτοῦ ἐκραταιώθη τοῦ ὑπερηφανεύεσθαι, κατηνέχθη ἀπὸ τοῦ θρόνου τῆς βασιλείας, καὶ ἡ τιμὴ ἀφῃρέθη ἀπ' αὐτοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ ἡ καρδία αὐτοῦ μετὰ τῶν θηρίων ἐδόθη καὶ μετὰ ὀνάγρων ἡ κατοικία αὐτοῦ, καὶ χόρτον ὡς βοῦν ἐψώμιζον αὐτόν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη ἕως οὗ ἔγνω ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν αἰώνων καὶ ᾧ ἐὰν δόξῃ δώ- B
σει αὐτήν. καὶ σὺ οὖν ὁ υἱὸς αὐτοῦ Βαλτάσαρ οὐκ ἐποίησας τὴν καρδίαν σου κατ' ἐνώπιον τοῦ θεοῦ, οὐ πάντα ταῦτα ἔγνως, καὶ ἐπὶ τὸν κύριον θεὸν τοῦ οὐρανοῦ ὑψώθης καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκας ἐνώπιόν σου καὶ σὺ καὶ οἱ μεγιστᾶνές σου καὶ αἱ παλλακαί σου καὶ αἱ παράκοιτοί σου οἶνον ἔπινον ἐν αὐτοῖς, καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς

8. αὐτὸς ἀνῄρει] ἀνῄρει P. 17. αἰώνων ἀνθρώπων P, ἀνθρώπων Daniel V. 20. 20. κύριον om. P. ib. ὑψωθεὶς P. 21. αἱ om. P. 22. ἔπιναν] Conferendum ἐγκατέλειπας p. 263. 12.

Munera tua sint tibi, et dona domus tuae alteri da: scripturam autem legam tibi, Rex, et interpretationem ejus ostendam tibi. O Rex, Deus altissimus Regnum et magnificentiam, gloriam et honorem dedit Nabuchodonosor patri tuo, et propter magnificentiam quam dederat ei, universi populi, tribus, et linguae tremebant, et metuebant eum. Quos volebat interficiebat, et quos volebat percutiebat, et quos volebat exaltabat, et quos volebat humiliabat. Quando autem elevatum est cor ejus, et spiritus illius obfirmatus est ad superbiam, depositus est de solio regni sui, et gloria ejus ablata est, et a filiis hominum ejectus est, sed et cor ejus cum bestiis positum est, et cum onagris erat habitatio ejus, foenum quoque ut bos comedebat, et rore coeli corpus ejus infectum est, donec cognosceret quod potestatem haberet altissimus in regno hominum, et quaecunque voluerit suscitabit super illud. Tu quoque filius ejus Baltasar, non humiliasti cor tuum, cum scires haec omnia: sed adversum dominatorem coeli elevatus es, et vasa domus ejus allata sunt coram te, et tu, et optimates tui, et uxores tuae, et concubinae tuae vinum bibistis in eis. Deos quoque aureos et argenteos et aereos, ferreos, ligneosque et lapideos,

καὶ ξυλίνους καὶ λιθίνους, οἳ οὐ βλέπουσι καὶ οὐκ ἀκούουσι καὶ οὐ γινώσκουσιν, ἤνεσας. καὶ τὸν θεὸν τοῦ οὐρανοῦ, οὗ ἡ πνοή σου ἐν τῇ χειρὶ αὐτοῦ καὶ πᾶσαι αἱ ὁδοί σου, αὐτὸν οὐκ ἐδόξασας.
C διὰ τοῦτο ἐκ προσώπου αὐτοῦ ἀπεστάλη ἀστράγαλος χειρός, καὶ τὴν γραφὴν ταύτην ἐνέταξεν. καὶ αὕτη ἡ γραφὴ ἡ ἐντεταγμένη,
R 330 Μανῆ, Θεκέλ, Φαρές. τοῦτο τὸ σύγκριμα τοῦ ῥήματος· Μανῆ ἐμέτρησεν ὁ θεὸς τὴν βασιλειαν σου καὶ ἐπλήρωσεν αὐτήν, Θεκὲλ κατεστάθη ἐν ζυγῷ, καὶ ηὑρέθη ὑστεροῦσα, Φαρὲς διῄρηται ἡ βασιλεία σου, καὶ ἐδόθη Μήδοις καὶ Πέρσαις. καὶ εἶπεν Βαλτάσαρ, καὶ ἐνέδυσαν τὸν Δανιὴλ πορφύραν καὶ τὸν μανιάκην τὸν χρυσοῦν περιέθηκαν περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἐκήρυξεν περὶ αὐτοῦ εἶναι αὐτὸν ἄρχοντα τρίτον ἐν τῇ βασιλείᾳ αὐτοῦ. ἐν
V 113 ταύτῃ τῇ νυκτὶ ἀνῃρέθη Βαλτάσαρ ὁ Χαλδαῖος καὶ Δαρεῖος ὁ Μῆδος παρέλαβε τὴν βασιλείαν.

D μη' Ὀλυμπιάς.

Μετὰ Βαλτάσαρ βασιλεὺς Χαλδαίων Δαρεῖος ὁ Μῆδος ἔτη γ'. ὁμοῦ ,δϡκβ'.

α'.

Οὗτος Δαρεῖος κατέστησεν ἐπὶ τῆς βασιλείας αὐτοῦ σατράπας ρκ', καὶ τούτων ἐπάνω τακτικοὺς γ', ὧν εἷς ἐτύγχανε Δανιὴλ ὁ προφήτης. συσκευῇ δὲ καὶ διαβολῇ τῶν αὐτῶν σατραπῶν καὶ

1. καὶ οὐκ ἀκούουσι om. P. 12. περὶ] τὰ περὶ P. 19. αἰχμαλωσίας ιε' m. P.

Anni a m. c. *qui non vident, neque audiunt, neque sentiunt, laudasti: porro Deum qui habet flatum tuum in manu sua, et omnes vias tuas, non glorificasti, idcirco ab eo missus est articulus manus qui scripsit hoc quod exaratum est. Haec autem scriptura, quae digesta est, Mane, Tecel, Phares, et haec est interpretatio sermonis: Mane: numeravit Deus regnum tuum, et complevit illud. Thecel, appensus es in statera, et inventus es minus habens. Phares, divisum est regnum tuum, et datum est Medis et Persis.* Tunc jubente Rege indutus est Daniel purpura, et circumdata est torques aurea collo ejus, et praedicatum est de eo quod haberet potestatem tertius in regno suo. Eadem nocte interfectus est Baltasar Rex Chaldaeus, et Darius Medus successit in regnum.

XLVIII. Olympias.

Post Baltasar, regnavit super Chaldaeos Darius Medus annos III. Colliguntur anni IV. MDCCCCXXII.

4920. I.

Hic Darius constituit in Regno suo Satrapas CXX. quibus praefecit III. Principes, quorum unus erat Daniel Propheta. Insidiis autem et calumniis Satraparum et Principum fidem adhibens Darius, Danielem con-

ταχτικῶν πεισθεὶς ὁ Δαρεῖος ἔβαλε τὸν Δανιὴλ εἰς λάκκον λεόντων, καὶ οὐκ ἐφθάρη, διὰ τὴν εἰς τὸν θεὸν μετὰ πεποιθήσεως προσκύνησιν αὐτοῦ. καὶ εἶπεν ἄγγελος κυρίου τῷ Ἀμβακοίμ, P 141
Ἀπένεγκαι τὸ ἄριστον ὃ ἔχεις εἰς Βαβυλῶνα τῷ Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων. καὶ εἶπεν Ἀμβακούμ, Κύριε, Βαβυλῶνα οὐχ ἑώρακα, καὶ τὸν λάκκον οὐ γινώσκω [ποῦ ἔστιν]. καὶ ἐπελάβετο ὁ ἄγγελος κυρίου τῆς κορυφῆς αὐτοῦ, καὶ βαστάσας τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ ἔθηκεν αὐτὸν εἰς Βαβυλῶνα ἐπάνω τοῦ λάκκου ἐν τῷ ῥοίζῳ τοῦ πνεύματος αὐτοῦ. καὶ ἐβόησεν Ἀμβακοὺμ λέγων, Δανιὴλ Δανιήλ, λάβε τὸ ἄριστον ὃ ἀπέστειλέν σοι ὁ θεός. εἶπε δὲ Δανιήλ, Ἐμνήσθης γάρ μου, ὁ θεός, καὶ οὐκ ἐγκατέλειπας τοὺς ἀγαπῶντάς σε. καὶ ἀναστὰς Δανιὴλ ἔφαγεν. ὁ δὲ ἄγγελος τοῦ θεοῦ ἀπεκατέστησε τὸν Ἀμβακοὺμ παραχρῆμα ἐπὶ τὸν τόπον αὐτοῦ.

Τῷ αὐτῷ πρώτῳ ἔτει ἐνύπνιον εἶδεν Δανιήλ, ὃς ἐπεκλήθη B
Βαλτάσαρ, τὸ τῶν τεσσάρων θηρίων, λεαίνης, ἄρκου, παρδάλεως, καὶ ἑτέρου ζώου τούτων φοβερωτέρου καὶ ἰσχυροτέρου περισσῶς, ἅτινά εἰσι τέσσαρες βασιλεῖαι ἐξαιρούμεναι ἀπὸ τῆς γῆς.

Ἐν τῷ αὐτῷ δὲ ἔτει καὶ τὸν παλαιὸν τῶν ἡμερῶν εἶδεν, ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς R 332
ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν, καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες λαοί,

6. οὐκ V. *ibid.* ποῦ ἔστιν om. V. 10. λέγων om. P. 12. ἐγκατέλειπες P. *ib.* ἀγαπῶντας] ἐκζητοῦντας P. 16. ἄρκτου P. 19. ἔτει om. V. 20. ὡς] ὡσεὶ P.

jecit in lacum leonum, neque absumptus est, eo quod Deum cum spe adoravit. Dixitque Angelus Domini Abacuc: *Defer prandium quod habes Babylonem Danieli in lacum leonum.* Et dixit Abacuc: *Domine, Babylonem non vidi, et nescio ubi est lacus.* Tum Angelus vertice ejus arrepto, portavit eum capillis capitis sui, posuitque in Babylonem supra lacum in impetu spiritus sui. Et clamavit Abacuc: *Daniel, Daniel, accipe prandium, quod misit tibi Deus.* Et dixit Daniel: *Recordatus es mei, Deus, et non reliquisti exquirentes te.* Et surgens Daniel, comedit. Angelus autem Dei statim restituit Abacuc in locum suum.

Eodem primo anno, visa sunt in somnis a Daniele, qui dictus est Baltasar, quatuor animalia, leaena, ursus, pardalis, et alterum his omnibus terribilius, longeque fortius, quibus designabantur praecipua regna terrae.

Eodem anno vidit antiquum dierum, donec throni positi sunt, et in nubibus coeli tanquam filius hominis veniens erat, et usque ad antiquum dierum pervenit; et ipsi datus est principatus, et honos, et regnum, et omnes populi, tribus, et linguae servient ei: et potestas ejus potestas in aeternum, quae non transibit, et regnum ejus non corrumpetur.

φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσι, καὶ ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται οὐδὲ διαφθαρήσεται.

C Τίς δ' ἂν εἴη ὁ κατὰ σάρκα φανεὶς τῷ γένει τῶν ἀνθρώπων; θεὸς λόγος, ὁ πρὸ αἰώνων γεννηθεὶς θεός.

β', γ'.

Τρίτῳ ἔτει Δαρείου ὅρασιν εἶδε Δανιὴλ ἐν Σούσοις τῇ βάρει, ἥτις ἐστὶν ἐν χώρᾳ Αἰλὰμ Βαβυλῶνος, κριὸν κερατίζοντα κατὰ θάλασσαν καὶ βορρᾶν καὶ νότον, ὡς πάντα τὰ θηρία μὴ ἵστασθαι ἐνώπιον αὐτοῦ καὶ μετ' αὐτοῦ. τράγον ὁρῶ ἀπὸ λιβὸς ἐρχόμενον ἐπὶ πρόσωπον πάσης τῆς γῆς, ὃς συνέτριψε τὸν κριὸν καὶ τὰ κέρατα αὐτοῦ, ὅπερ ἐστὶν βασιλεία Ῥωμαίων τὴν πρὸ αὐτῆς βασιλείαν καὶ τὸ σπέρμα αὐτῆς συντρίψει.

D Μετὰ Δαρεῖον τὸν Μῆδον ἐβασίλευσεν Δαρεῖος υἱὸς Ἀσσουήρου ἀπὸ τοῦ σπέρματος Μήδων ἔτη ιγ'. ὁμοῦ ἔτη ,δϡλέ'.

Τινές φασι τουτονὶ τὸν Δαρεῖον καὶ Ἀστυάγην ἐπικεκλῆσθαι.

α'.

ξ' ἔτος προφητείας Ἱερεμίου ἐν τῇ Ἰουδαίᾳ.

V 114 μθ' Ὀλυμπιάς.

β'.

ξα' ἔτος προφητείας Ἱερεμίου ἐν τῇ Αἰγύπτῳ.

1. δουλεύσωσι P. 3. ὁ om. P. 6. αἰχμαλωσίας ις', ιξ m. P. 9. καὶ μετ' αὐτοῦ om. P. 11. βασιλείας P. P. 14. ἔτη alterum om. P. 15. αἰχμαλωσίας ιή m. P. ib. τουτονεὶ V, τοῦτον P. 17. ιθ', κ', κα', κβ', κγ', κδ', κε', κς', κζ', κη', κθ' m. P. 20. ξ P. ibid. τῇ om. P.

Anni ā m. c. Quis autem hic qui humano generi secundum carnem apparuit? Deus Verbum, qui ante saecula natus est Deus.

4921. II. III.

Anno III. Darii, visionem vidit Daniel in Susis castro, quod est in regione Aelam Babylonis: arietem cornibus ventilantem contra mare, et Aquilonem, et austrum, et omnes bestiae non poterant resistere ei. *Video hircum venientem ab occidente super faciem totius terrae, qui contrivit arietem, et cornua ejus*, (id est, regni quod Imperium Romanorum praecedet) *ejusque semen conteret.*

Post Darium Medum regnavit Darius, filius Assueri, ex stirpe Medorum, annos XIII. Colliguntur anni IV. MDCCCXXXV.

Quidam aiunt Dárium hunc Astyagem etiam fuisse cognominatum.

I.

Annus LX. Prophetiae Hieremiae in Judaea.

XLIX. Olympias.

II.

γ', δ', ε'. P 142

ν' Ὀλυμπιάς.

ς', ζ', η', ϑ'.

να' Ὀλυμπιάς.

ι', ια', ιβ'.

Ἐργασίας μάταιον αὐτὸ εἶναι. ἔτι δὲ καὶ τὸν δράκοντα ἀνεῖλεν ὃν ἔσεβον Βαβυλώνιοι, δι' ἣν αἰτίαν ἔκδοτον αὐτὸν αἰτησάμενοι ἔβαλλον εἰς λάκκον λεόντων. ἐκ προνοίας δὲ θεοῦ δι' Ἀμβακοὺμ τραφεὶς ἑπτὰ ἡμέρας σῶος ἀνήχθη, καὶ ἀντ' αὐτοῦ οἱ R 334
ὑπεναντίοι αὐτοῦ βληθέντες παρὰ τοῦ αὐτοῦ βασιλέως εἰς τὸν λάκ- B
κον τῶν λεόντων παραχρῆμα ἐβρώθησαν.

ιγ'.

Κῦρος τὸν Ἀστυάγην καθελὼν τὴν Μήδων καθεῖλεν βασιλείαν, γεγονυῖαν ἐν ἔτεσι σνϑ', ἥτις συνεκρίθη μετὰ τῆς βασιλείας Βαβυλωνίων ἡ χρυσῆ κεφαλὴ τῆς εἰκόνος ἧς εἶδεν Ναβουχοδονόσορ.

νβ' Ὀλυμπιάς.

Περσῶν ἐβασίλευσεν πρῶτος Κῦρος ὁ Πέρσης ἔτη λ'.
ὁμοῦ ,δϡξε'.

6. αὐτὸ] ἴσως αὐτῷ m. R. 7. ἐσέβοντο P. 12. αἰχμαλωσίας λ' m. P. 14. ἥτινι P sola.

LX. annus Prophetiae in Aegypto. Anni a m. c.
III. IV. V.

L. Olympias.
VI. VII. VIII. IX.

LI. Olympias.
X. XI. XII.

Frustraneum esse quicquid contra Dei decretum agitur, id vel etiam docet. Sublato enim (a Daniele) dracone quem adorabant Babylonii, illum cum sibi dedi ii postulassent, in leonum lacum immiserunt. Sed Dei providentia per Abacuc septem dies pastus salvus est extractus, illiusque loco ejus adversarii ab eodem Rege in lacum leonum projecti, statimque absumpti sunt.

XIII. 4935.

Cyrus, Astyage sublato, Medorum regnum delevit, cum perstitisset annos CCLIX. quod quidem comparatum est una cum Babyloniae regno, capiti aureo statuae quam vidit Nabuchodonosor.

LII. Olympias.

Persis primus imperavit Cyrus Persa ann. XXX. Colliguntur anni
IV. MDCCCCLXV.

C α′.

Die Grenze, als Verhältnis der gleichen Zahlen, erzeugt, wirkt, bildet, ist also eine gerade, und die ersten sechs Zahlen sind, wie wir sahen, gerade und ungerade, Bewegung und Ruhe, Gut und Schlecht, Licht und Finsternis, Rechts und Links, Männlich und Weiblich, Quadrat und Oblong. Aber die siebente Zahl, nach der Anordnung der Tafel, ist ungleichseitig. Sie ist also weder gerade noch ungerade, weder Ruhe noch Bewegung, weder Gut noch Schlecht, weder Licht noch Finsternis, weder Rechts noch Links, weder Männlich noch Weiblich, weder Quadrat noch Oblong. Sie ist also ungleichseitig. Und diese Eigenschaft, ungleichseitig zu sein, ist die Eigenschaft, welche die Zahlen 1, 2, 3, 4, 5, 6, 7, 8, 9 haben müssen, damit sie, wie Philolaos sagt, Grundlage und Ursache alles Wissens sind.

πέμπτῃ, ἐπορεύθη ἡ ἁγία θεοτόκος εἰς τὴν ὀρεινὴν πρὸς τὴν Ἐλισάβετ καὶ ἠσπάσατο αὐτήν. ὑπ. Λεντούλου καὶ Πίσωνος. τηβὴθ λα' ἰανουαρίου, σαβὰτ κη' φεβρουαρίου, ἀδὰρ κε' μαρτίου. ὁμοῦ ρπγ'. ταύτας κατὰ σελήνην μέρισον· ς' κ' γίνονται ρκ'· ς' ι' γίνονται ξ'· τουτέστιν τὸ ἥμισυ τοῦ ς' γίνονται γ'.

Τούτῳ τῷ ,εφζ' ἔτει εὐηγγελίσθη τὴν σύλληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡ δέσποινα ἡμῶν ἡ θεοτόκος μηνὶ μαρτίῳ κε', ἡμέρᾳ β'.

Τούτῳ τῷ ,εφς' ἔτει γενέσεως κόσμου τῷ ζ' μηνὶ ιε', τῇ ἡμέρᾳ τῶν σκηνοπηγιῶν θεοῦ βιῶν ὁ Ζαχαρίας εὐηγγελίσθη τὴν σύλ-
V 159 ληψιν τῆς Ἐλισάβετ.
P 198 Τῇ κε' τοίνυν τοῦ δύστρου μηνὸς συμπληροῦται ὁ ἑξαμηνιαῖος χρόνος τῆς συλλήψεως τῆς Ἐλισάβετ· διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς λέγει, Ἐν δὲ τῷ μηνὶ τῷ ς' ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρέτ, πρὸς παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ· καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν εἶπεν, Χαῖρε κεχαριτωμένη, ὁ κύριος μετά σου. ἡ δὲ ἐπὶ τῷ λόγῳ διεταράχθη, καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. καὶ εἶπεν ὁ ἄγγελος πρὸς αὐτήν, Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ

3. τηβηθὴθ V. *ibid.* ἰαννουάριος V. *ibid.* φευρουαρίου P. 4. ὁμοῦ ρπγ' om. P sola. *ib.* ταύτας τὰς κατὰ P. 6. τούτῳ — ἡμέρᾳ β' om. P. In V scriptum μ μαρ κε ἡμ β'. 8. Circulum qui sequebatur in tabula adiecta posuimus. 9. τούτῳ — Ἐλισάβετ om. P. Corruptum est βιῶν. 12. τοίνυν] τανῦν RV. *ibid.* σύστρου R. 13. ὁ εὐαγγελιστὴς] Luc. I. 26. 20. ποταπῶς εἶ V.

hac ratione. Iiul VII. Septembris. Theilis XXXI. Octobris. Morsuan XXX. Novembris. Chasleu XXXI. Decembris. Hoc mense XVIII. die, feria quinta, Deipara virgo profecta est in montana ad Elizabet, et salutavit illam. Tebeth seu Tibith. XXXI. Januarii. Sabath XXVIII. Februarii. Adar XXV. Martii. Colliguntur anni CLXXXIII. Has secundum lunam divide: duc VI. in XX. prodeunt CXX. VI. in X. existunt LX. hoc est dimidium VI. fiunt III.

Igitur XXV. mensis Dystri, (seu Martii) tempus semestre conceptionis Elisabet impletur: propterea dicit Evangelista: *Mense autem sexto missus est Angelus Gabriel a Deo in civitatem Galilaeae, cui nomen Nazaret, ad virginem desponsatam viro, cui nomen erat Joseph de domo et familia David, et nomen Virginis Maria. Et ingressus Angelus ad eam, dixit: Ave gratia plena, Dominus tecum. Illa vero turbata est in sermone ejus, et cogitabat, qualis esset ista salutatio. Et dixit Angelus ad eam: Ne timeas Maria, invenisti enim gratiam apud Deum. Et ecce concipies in utero, et paries filium, et vocabis nomen ejus Jesum. Iste erit magnus, et filius altissimi vocabitur, et dabit illi Dominus Deus thro-*

Ad pag. 372.

P 197
V 158



πέμπτῃ, ἐπορεύθη ἡ ἁγία Θεοτόκος εἰς τὴν ὀρεινὴν πρὸς τὴν Ἐλισάβετ καὶ ἠσπάσατο αὐτήν. ὑπ. Λεντούλου καὶ Πίσωνος. τηβὴθ λα' ἰανουαρίου, σαβὰτ κη' φεβρουαρίου, ἀδὰρ κε' μαρτίου. ὁμοῦ ρπγ'. ταύτας κατὰ σελήνην μέρισον· ς' κ' γίνονται ρκ'· ς' ι' γίνονται ξ'· τουτέστιν τὸ ἥμισυ τοῦ ς' γίνονται γ'.

Τούτῳ τῷ ,εφζ' ἔτει εὐηγγελίσθη τὴν σύλληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡ δέσποινα ἡμῶν ἡ Θεοτόκος μηνὶ μαρτίῳ κε', ἡμέρᾳ β'.

Τούτῳ τῷ ,εφς' ἔτει γενέσεως κόσμου τῷ ζ' μηνὶ ιε', τῇ ἡμέρᾳ τῶν σκηνοπηγιῶν θεοῦ βιῶν ὁ Ζαχαρίας εὐηγγελίσθη τὴν σύλ-
V 159 ληψιν τῆς Ἐλισάβετ.
P 198 Τῇ κε' τοίνυν τοῦ δύστρου μηνὸς συμπληροῦται ὁ ἑξαμηνιαῖος χρόνος τῆς συλλήψεως τῆς Ἐλισάβετ· διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς λέγει, Ἐν δὲ τῷ μηνὶ τῷ ς' ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ἐπὸ τοῦ θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρέτ, πρὸς παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ· καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν εἶπεν, Χαῖρε κεχαριτωμένη, ὁ κύριος μετά σου. ἡ δὲ ἐπὶ τῷ λόγῳ διεταράχθη, καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. καὶ εἶπεν ὁ ἄγγελος πρὸς αὐτήν, Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ

3. τηβηθὴθ V. *ibid.* ἰαννουάριος V. *ibid.* φευρουαρίου P. 4. ὁμοῦ ρπγ' om. P sola. *ib.* ταύτας τὰς κατὰ P. 6. τούτῳ — ἡμέρᾳ β' om. P. In V scriptum μ μαρ κε ἡμ β'. 8. Circulum qui sequebatur in tabula adiecta posuimus. 9. τούτῳ — Ἐλισάβετ om. P. Corruptum est βιῶν. 12. τοίνυν] ταυῦν RV. *ibid.* σύστρου R. 13. ὁ εὐαγγελιστὴς] Luc. I. 26. 20. ποταπῶς εἴ V.

hac ratione. Ilul VII. Septembris. Theilis XXXI. Octobris. Morsuan XXX. Novembris. Chasleu XXXI. Decembris. Hoc mense XVIII. die, feria quinta, Deipara virgo profecta est in montana ad Elizabet, et salutavit illam. Tebeth seu Tibith. XXXI. Januarii. Sabath XXVIII. Februarii. Adar XXV. Martii. Colliguntur anni CLXXXIII. Has secundum lunam divide: duc VI. in XX. prodeunt CXX. VI. in X. existunt LX. hoc est dimidium VI. fiunt III.

Igitur XXV. mensis Dystri, (seu Martii) tempus semestre conceptionis Elisabet impletur: propterea dicit Evangelista: *Mense autem sexto missus est Angelus Gabriel a Deo in civitatem Galilaeae, cui nomen Nazaret, ad virginem desponsatam viro, cui nomen erat Joseph de domo et familia David, et nomen Virginis Maria. Et ingressus Angelus ad eam, dixit: Ave gratia plena, Dominus tecum. Illa vero turbata est in sermone ejus, et cogitabat, qualis esset ista salutatio. Et dixit Angelus ad eam: Ne timeas Maria, invenisti enim gratiam apud Deum. Et ecce concipies in utero, et paries filium, et vocabis nomen ejus Jesum. Iste erit magnus, et filius altissimi vocabitur, et dabit illi Dominus Deus thro-*

ΙΘ
ΙΗ
ΙΖ
ΙΣ
ΙΕ
ΙΔ
ΙΓ
ΕΦΙ΄
ΕΦΘ΄
ΕΦΗ΄
ΕΦΖ΄
ΕΦΣ΄
ΕΦΕ΄
ΕΦΔ΄
ΕΦΓ΄
Αὕτη
κατηρὶς
δηλοῦσα τὴ
σελήνην μηνὸς
τελοῦνται ἑορταί,
ἐπὶ ἡμέρας ζ, τῇ η΄
ξύλασμοῦ, τῇ ιε΄ ἑορτὴ
τῆς λειτουργίας ὁ Ζαχαρί
ζ, τῇ κβ΄ ἔξόδιον ἡμέρας
τὴν ἐντολὴν τοῦ νόμου ἐπὶ
σκευῶν οἴκου κυρίου ποιη
αὐτοῦ, ἔχοντος τοῦ
σελήνην κε΄. μετὰ
ἔλαβεν Ἐλισαβὲτ
ἐκείνου ἕω
καὶ πλη
σε

[illegible]

τῷ θεῷ. καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. οὗτος ἔσται μέγας, καὶ υἱὸς ὑψίστου κληθήσεται, καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας· καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον, Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ, Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ. καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ, τῇ καλουμένῃ στείρᾳ. ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ θεῷ πᾶν ῥῆμα. εἶπεν δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον, Ἰδοὺ ἡ δούλη κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος. B C

Ἐν ταύτῃ τοίνυν τῇ ἡμέρᾳ, λέγω δὲ τῇ κε' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, παραλαβοῦσα ἀπὸ τῶν θεοφόρων διδασκάλων ἑορτάζει τὸν εὐαγγελισμὸν τῆς ἁγίας δεσποίνης ἡμῶν ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἡ τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

Τοῦ οὖν ἕκτου μηνὸς τῇ Ἐλισάβετ συμπληρουμένου, καθὰ πρόκειται, τῇ κε' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, καὶ ἐν ταύτῃ ἀρχομένου αὐτῇ τοῦ ἑβδόμου μηνός, συνέλαβεν ἐν γαστρὶ κατὰ σάρκα τὸν ἴδιον καὶ ὁμοούσιον τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύ- D R 470

1. συλλήψει — τέξει V. 6. μοι om. P. 9. τὸ om. P. ib. γενόμενον V. 10. γήρει] γαστρὶ P. 13. τὸ om. R.

num David patris ejus, et regnabit in domo Jacob in aeternum, et regni ejus non erit finis. Dixit autem Maria ad Angelum: Quomodo fiet istud, quoniam virum non cognosco? Et respondens Angelus, dixit ei: Spiritus sanctus superveniet in te, et virtus altissimi obumbrabit tibi; propterea quod nascetur ex te sanctum, vocabitur Filius Dei. Et ecce Elisabet cognata tua et ipsa concepit filium in utero suo; et hic mensis est sextus illi quae vocatur sterilis, quia non impossibile erit apud Deum omne verbum. Dixit autem Maria ad Angelum: *Ecce ancilla Domini, fiat mihi secundum verbum tuum.* Et discessit ab ea Angelus.

Hoc ergo die, xxv. inquam, secundum Romanos Martii mensis, Catholica et Apostolica Dei Ecclesia, ex sanctorum doctorum traditione, Sanctae Dominae nostrae gloriosae Dei genitricis et semper Virginis Mariae Annuntiationem celebrat.

Sexto igitur mense Elisabet completo, quemadmodum superius dictum est, xxv. juxta Romanos Martii mensis, eoque incipiente septimo, in utero secundum humanitatem concepit Sanctissima et intemerata ac benedicta semper Virgo et Dei genitrix Maria, aeternum ac ejusdem

ματι μονογενῆ υἱὸν καὶ λόγον, Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν, ἡ παναγία ἄχραντος εὐλογημένη ἀειπαρθένος καὶ θεοτόκος Μαρία. καὶ εὐθέως ἤρξατο ἐν τῇ γαστρὶ αὐτῆς ἡ καθ' ὑπόστασιν ἕνωσις, ἐν ᾗ ἡ ἄσηπτος κιβωτὸς εἰσῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ἡ ἄμωμος καὶ παναγία σὰρξ τοῦ θεοῦ λόγου ἡ μὴ διαφθαρεῖσα ἤρξατο πλαστουργεῖσθαι ἐν τῇ ἐμψύχῳ γῇ τῇ θεοτόκῳ τῇ ἐπελεύσει τοῦ ἁγίου πνεύματος καὶ τῇ ἐπισκιάσει τῆς δυνάμεως τοῦ ὑψίστου ἐβλάστησεν τὸ ἄνθος τὸ ἐκ τῆς ῥίζης
P 199 *Ἰεσσαὶ ἐν τῇ παρθένῳ γῇ τῇ θεοτόκῳ, τουτέστιν ἡ κατὰ σάρκα τοῦ ἑνὸς τῆς ἁγίας τριάδος θεοῦ λόγου σύλληψις ἤρξατο κατὰ τὸ γεγραμμένον, Καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.*

Ἐπὶ τῶν προκειμένων ὑπάτων Λεντούλου καὶ Πίσωνος τῇ
R 472 *εἰκάδι πέμπτῃ τοῦ δύστρου μηνός, κατὰ δὲ τοὺς Αἰγυπτίους ἀδὰρ τριακάδι, πρὸ ἡ' καλανδῶν ἀπριλίων ἔτους ,εφζ' γενέσεως κόσμου, ἐν τῷ πρώτῳ σεληνιακῷ μηνὶ τῷ ἀδάρ, δεκάτῃ τοῦ μηνός, ὡς προεμήνυσεν διὰ τῆς λήψεως καὶ διατηρήσεως τοῦ προβάτου τὴν κατὰ σάρκα σύλληψιν αὐτοῦ ὁ κύριος καὶ δεσπότης τῶν ἁπάντων Χριστός, ὁ ἀληθινὸς θεὸς ἡμῶν, οὕτω καὶ ἐπλή-*
V 160 B *ρωσεν ὁ κατὰ πάντα τέλειος καὶ τελεσιουργὸς πάσης κτίσεως ἐν τῷ τελείῳ ἀριθμῷ τῆς συλλήψεως, καὶ πάλιν ὡς προεζωγράφησεν ἐν τῇ κιβωτῷ τὴν ἄχραντον καὶ ἄμωμον καὶ παναγίαν αὐτοῦ σάρκα καὶ εἰσήγαγεν αὐτὴν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὕτως ἐν τῷ αὐτῷ μηνὶ ἐν τῇ αὐτῇ ἡμέρᾳ τοῦ μηνός, ἡμέρᾳ δευτέρᾳ*

4. ἡ om. R. 8. τὸ prius om. R. 9. γῇ om. P sola. 11. γεγραμμένον] Psalm. LXVI. 7.

Anni a m. c. cum Patre et Spiritu sancto essentiae unigenitum Filium, Verbum, Christum, verum Deum nostrum: et statim in utero ejus secundum hypostasin unio, in qua arca exors corruptionis ingressa est in terram promissionis, et intacta ac sacrosancta caro Verbi Dei, quae incorrupta est, coepit formari in terra animata, Dei genitrice, superveniente Spiritu sancto, et obumbrante virtute altissimi, germinavit flos de radice Jesse in Virgine Dei genitrice, hoc est conceptio secundum carnem unius Sanctae Trinitatis, Dei Verbi coepit, quemadmodum scriptum est, *Terra nostra dedit fructum suum.*

5505. His praedictis Coss. Lentulo et Pisone XXV. Dystri mensis, secundum Aegyptios vero Adar XXX. ex a. d. VIII. Kalendas Aprilis, anno a mundo condito V. MDVII. primo mense lunari Adar, decima mensis, uti per agni acceptionem et conservationem praenuntiaverat, suam secundum carnem conceptionem Dominus et Dominator omnium Christus verus Deus noster, in omnibus perfectus, ac universae creaturae conditor, in perfecto conceptionis numero, sic adimplevit: et rursum, ut in Arca intactam et intemeratam ac sanctissimam carnem adumbraverat, ipsamque in terram promissionis induxit: ita hoc mense, ipsoque mensis die, feria se-

ἐπὶ τῇ φωνῇ τοῦ ἀγγέλου εἰπόντος πρὸς τὴν ἁγίαν παρθένον, Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ· ἐν ᾗ τῆς δημιουργίας ἡμέρᾳ δευτέρᾳ τοὺς οὐρανοὺς ἐποίησεν Χριστὸς ὁ θεὸς ἡμῶν, ἐν αὐτῇ εὑρίσκεται σαρκωθεὶς καὶ τελείως ἐνανθρωπήσας, ὡς ὑπάρχων ἥλιος δικαιοσύνης· φησὶ γὰρ ὁ προφήτης περὶ αὐτοῦ, Ἀνατελεῖ τοῖς φοβουμένοις αὐτὸν ἥλιος δικαιοσύνης, καὶ ἴασις ἔσται ἐν ταῖς πτέρυξιν αὐτοῦ. C

Εὑρίσκομεν δὲ τὴν δεκάτην τοῦ πρώτου μηνὸς τῆς σελήνης, ἐν ᾗ προσέταξεν ὁ δεσπότης τῶν ἁπάντων ληφθῆναι τὸ πρόβατον καὶ διατηρηθῆναι, συντρέχουσαν κατὰ τὸ παρὸν ,εφζ' ἔτος εἰς τὴν πέμπτην καὶ εἰκάδα τοῦ μαρτίου μηνός.

Ἔστι γὰρ κατὰ τὸ παρὸν ,εφζ' ἔτος τῆς ἐννεακαιδεκαετηρίδος ἔτος ις', καὶ ἔχει ἀναγεγραμμένας ἐπακτὰς ιε'. ταύταις προστίθεμεν τὰς πρὸ τῶν φωστήρων ιγ' καὶ προσελήνους ζ' καὶ ε' τὰς ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου, γίνονται μ', ἔκβα λ', μένουσι ι'.

Καὶ γινώσκομεν ὡς τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου κατὰ D σελήνη ηὑρέθη κατὰ τὸ παρὸν ἔτος τῇ εἰκάδι πέμπτῃ τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός.

Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις, καὶ ἐλθοῦσα ἐκ Ναζάρετ διὰ γ', καὶ τελέσασα τὸ πάσχα ἐν Ἱερουσαλὴμ

6 φησὶ — δικαιοσύνης om. P. *ib.* ὁ προφήτης] Malach. IV. 2. 9. εὑρίσκωμεν P. 15. πρὸ] πρὸς V. 16. ἔκβα] ἐκβαλὼν PV. 19. εὑρέθη P. 21. ἀναστᾶσα] Luc. I. 39.

cunda, ad vocem Angeli dicentis ad beatam Virginem, *Spiritus sanctus superveniet in te, et virtus altissimi obumbrabit tibi: quapropter et hoc quod nascetur sanctum, vocabitur Filius Dei:* quo die creationis mundi secundo coelos condidit Christus Deus noster, eodem carnem humanamque naturam perfecto induisse reperitur, ut qui sol est justitiae, et salus erit in alis ejus.

Invenimus vero decimam primi mensis Lunae, qua praecepit rerum omnium Dominus, ut Agnus acciperetur et servaretur, cum hoc praesenti anno v. MDVII. in XXV. Martii concurrentem.

Est enim hoc praesenti an. v. MDVII. annus decemnovennalis cycli XVI. et habet descriptas epactas XV. His addimus dies XIII. ante luminaria, et ante lunares VII. et V. et illas a XXI. ejusdem Martii, fiunt XL. ex quibus rejectis XXX. remanent X.

Hinc agnoscimus quomodo decima mensis primi secundum lunam reperta sit hoc praesenti anno in XXV. mensis Martii juxta Romanos.

Surgens autem Maria diebus illis, profecta ex Nazaret per triduum, peracto Hierosolymis Paschate, septemque Azymorum diebus adimpletis, cum festinatione petiit per montana civitatem Juda, quae distabat mil-

καὶ τὰς τῶν ἀζύμων ζ' ἡμέρας, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ
R 474 σπουδῆς εἰς πόλιν Ἰούδα, οὖσαν ἀπὸ μιλίων ιβ'. καὶ εἰσῆλθεν
εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. καὶ ἐγέ-
νετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρ-
τησεν τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη πνεύματος
ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησεν φωνῇ μεγάλῃ, καὶ εἶπεν,
P 200 Εὐλογημένη σὺ ἐν γυναιξὶν καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας
σου. καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου
πρός με; ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ
ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. καὶ μακαρία ἡ πιστεύσασα ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ κυρίου.

Καὶ εἶπεν Μαριάμ, Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί, ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ
B ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν τοῖς φοβουμένοις αὐτόν. ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν, καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσεν ταπεινούς. πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς. ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα.

3. τὸν om. P. 8. μου om. P. 11. λελαμένοις V. 14. τῷ alterum om. P. 15. ἔβλεψεν P.

liaribus XII. et ingressa est domum Zachariae, et salutavit Elisabet. Et factum est, ut audivit Elisabet salutationem Mariae, exultavit infans in utero ejus, et repleta Spiritu sancto Elisabet, exclamavit voce magna, et dixit: *Benedicta tu in mulieribus, et benedictus fructus ventris tui. Et unde mihi hoc, ut veniat mater Domini ad me? Ecce enim ut facta est vox salutationis tuae in auribus meis, exultavit infans in utero meo in exultatione. Et beata quae credidisti, quoniam perficientur quae dicta sunt tibi a Domino.* Et dixit Maria:

Magnificat anima mea Dominum, et exultavit spiritus meus, in Deo *salutari *salvatore meo. Quia respexit humilitatem ancillae suae, ecce enim ex* *magna hoc beatam me dicent omnes generationes. Quia fecit mihi *magnalia qui potens est, et sanctum nomen ejus. Et misericordia ejus in generationes generationum timentibus eum. Fecit potentiam in brachio suo, dispersit* *sede superbos mente cordis sui. Deposuit potentes de *thronis, et exaltavit humiles. Esurientes implevit bonis, et divites dimisit inanes. Suscepit Israel puerum suum recordatus misericordiae suae. Sicut locutus est ad patres nostros, Abraham et semini ejus in saeculum.*

Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς. τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν, καὶ ἐγέννησεν υἱόν· καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνε κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐ- C
τῆς, καὶ συνέχαιρον αὐτῇ. καὶ ἐγένετο, τῇ ἡμέρᾳ τῇ η' ἦλθον V 161
περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ Ζαχαρίαν. καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν, Οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης. καὶ εἶπαν πρὸς αὐτήν, Ὅτι οὐδείς ἐστιν ἐκ τῆς συγγενείας σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ. ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτόν. καὶ αἰτήσας πινακίδιον ἔγραψεν λέγων, Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐ- R 476
τοῦ. καὶ ἐθαύμασαν πάντες. ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἐλύθη ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν θεόν. καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐ-
τούς, καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας ἐλαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν λέγοντες, Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; καὶ χεὶρ κυρίου ἦν μετ' αὐτοῦ. καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος ἁγίου, καὶ προεφήτευσεν λέγων, Εὐλογητὸς κύριος
ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. καὶ ἤγειρεν κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ, καθὼς ἐλάλησεν διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ. σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χει-

2. τὸν om. P. 10. τὸ om. P.

Mansit autem Maria cum illa quasi mensibus tribus, et reversa est in domum suam. Elisabet autem impletum est tempus pariendi, et peperit filium, et audiverunt vicini et cognati ejus, quod Dominus magnificasset cum ea misericordiam suam, et congratulabantur ei. Et factum est, octavo die venerunt circumcidere puerum, et vocabant eum nomine patris sui, Zachariam. Et respondens mater ejus dixit: *Nequaquam: sed Joannes vocabitur.* Et dixerunt ad eam: *Quia nemo est in cognatione tua, qui vocetur hoc nomine.* Innuebant autem patri ejus, quid vellet vocari eum. Et postulans pugillares scripsit dicens: *Joannes est nomen ejus.* Et mirati sunt omnes. Apertum est autem illico os ejus, et soluta est lingua ejus, et loquebatur benedicens Deum. Et factus est super omnes timor circumhabitantes, et in tota regione montana Judaeae dicebantur omnia verba haec. Et posuerunt omnes audientes in corde suo dicentes: *Quis putas puer iste erit, et manus Domini erat cum eo.* Et Zacharias pater ejus repletus Spiritu sancto prophetavit, dicens,

Benedictus Dominus Deus Israel, quia visitavit et fecit redemptionem plebi suae. Et excitavit cornu salutis nobis, in domo David pueri sui. Sicut locutus est per os sanctorum a saeculo prophetarum ejus. Salutem ex inimicis nostris et de manu omnium qui oderunt nos. Ad faciendam

ρὸς πάντων τῶν μισούντων ἡμᾶς. ποιῆσαι ἔλεος μετὰ τῶν πα-
P 201 τέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ. ὅρκον ὃν
ὤμοσεν πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν τοῦ δοῦναι ἡμῖν. ἀφόβως
ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας λατρεύειν αὐτῷ πάσας
τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. καὶ σύ, παιδίον, προφήτης ὑψίστου
κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου ἑτοιμάσαι
ὁδοὺς αὐτοῦ τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ ἐν ἀφέ-
σει ἁμαρτιῶν αὐτῶν. διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν, ἐν οἷς
ἐπεσκέψατο ἡμᾶς, ἀνατολὴ ἐξ ὕψους. ἐπιφανεῖ τοῖς ἐν σκότει
καὶ σκιᾷ θανάτου καθημένοις τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν
εἰς ὁδὸν εἰρήνης.

B Τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πνεύματι, καὶ
ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

Εἰς Ἰωάννην τὸν Πρόδρομον.

Οὗτος ὁ μείζων πάντων ἀνθρώπων Ἰωάννης ὁ βαπτιστής,
ὁ ἔτι ἐν κοιλίᾳ πνεύματος ἁγίου πλησθεὶς καὶ σκιρτῶν καὶ ἐπει-
γόμενος προδραμεῖν τοῦ κυρίου αὐτοῦ, ὁ μέγας ἐνώπιον τοῦ θεοῦ,
ὁ πρόδρομος τοῦ κυρίου, ὁ ἑτοιμάζων αὐτῷ λαὸν κατεσκευασμέ-
νον, ὁ τῶν προφητῶν ἀνώτερος καὶ τῶν ἀποστόλων προγενέστε-
C
R 478 ρος, ὁ μέσος τῆς παλαιᾶς καὶ καινῆς διαθήκης, ὁ τελευταῖος ἐν
νόμῳ καὶ τῆς νέας ὑποδείκτης, ὁ παρόντα τὸν δεσπότην Χριστὸν

6. προπορεύσει PV. *ib.* γὰρ om. R. 9. ἐπιφάναι R. 12. ἐκραταιοῦ (ἐκραταιοῦτο corrigitur in Emend. p. 920.) τῷ π. R, ἐκραταιοῦτο τῷ π. P. 16. ἔτι om. R. *ibid.* τῇ κοιλίᾳ P.

misericordiam cum patribus nostris, et memorari testamenti sui sancti. Jusjurandum quod juravit ad Abraham patrem nostrum daturum se nobis. Ut sine timore de manu inimicorum nostrorum liberati serviamus illi. In sanctitate et justitia coram ipso omnibus diebus nostris. Et tu, puer, Propheta altissimi vocaberis, praecibis ante faciem Domini parare vias ejus. Ad dandam scientiam salutis plebi ejus, in remissionem peccatorum eorum. Per viscera misericordiae Dei nostri, in quibus visitavit nos oriens ex alto. Illuminare his qui in tenebris et umbra mortis sedent, ad dirigendos pedes nostros in viam pacis.

Puer autem crescebat et confortabatur spiritu. Et erat in desertis usque ad diem ostensionis suae ad Israel.

De Joanne Praecursore.

Hic omnibus major hominibus Joannes Baptista, qui in utero repletus Spiritu Sancto exultavit, festinans praecurrere Domino suo, magnus coram Deo, Praecursor Domini, qui paravit ipsi plebem perfectam, excelsior Prophetis, antiquior Apostolis, medius inter novum et vetus Testamentum, ultimus in lege veteri, et novae indigitator, qui praesentem Dominum Christum omnibus ostendit, qui vitae asperitate homines uni-

πᾶσιν ὑποδεικνύς, ὁ τῇ σκληραγωγίᾳ πάντας ἀνθρώπους ὑπεραίρων καὶ τῇ διακονίᾳ πάντας ἀνθρώπους ὑπερβάς, ὁ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου προελθὼν καὶ τὸν Ἠλίαν ὑπερβαίνων τῷ βαπτίζειν τὸν κύριον, ὁ λύχνος ὁ καιόμενος πρὸ τοῦ ἡλίου τῆς δικαιοσύνης, οὗτος παρόντα τὸν κύριον ὑποδείκνυσι λέγων, Ἰδὲ ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀμνὸν ὡς θυόμενον καλέσας καὶ τὴν ἁμαρτίαν τοῦ κόσμου αἴροντα ὡς ἀπαλλάττοντα τὸν κόσμον τῆς ἁμαρτίας, διὰ τῆς ἀναστάσεως ἀφθάρτους καὶ ἀθανάτους καὶ ἀτρέπτους ἀποτελῶν. τοιαύτης διακονίας καὶ τοιούτων πραγμάτων μηνυτὴς ἠξιώθη ὁ μέγας D Ἰωάννης εἶναι.

Εἶτα θέλοντες γνῶναι καὶ πόστῃ τοῦ μηνὸς ἐτέχθη ὁ πρό- V 162 δρομος, εὑρίσκομεν ὡς ὁ ἐννεαμηνιαῖος ἡλιακὸς χρόνος τῆς συλλήψεως τῆς Ἐλισάβετ συμπληροῦται εἰς τὴν εἰκάδα τετάρτην τοῦ ἰουνίου μηνός.

Εἶτα γνῶναι βουλόμενοι καὶ τὴν ἡμέραν καθ' ἣν ἐτέχθη, τίθεμεν τὰ ,εφζ′ παρὰ τὸ ἕν, καὶ συνάπτομεν αὐτοῖς τὸ τέταρτον, τουτέστιν ἄλλα ,ατος′· γίνονται ,ξωπβ′. μέρισον εἰς ζ′· ζ′ θ′ ,στ′, ζ′ π′ φξ′, ζ′ γ′ κα′. λοιπὸν α′· ταύτῃ προστίθεμεν P 202 ἀπριλίου λ′, μαΐου λα′, ἰουνίου κδ′, γίνονται πς′ λῦσον εἰς ζ′, ζ′ ι′ ο′, ζ′ β′ ιδ′, λοιπὸν β′.

Ἴσμεν οὖν ὡς ἐν δευτέρᾳ τῆς ἑβδομάδος ἡμέρᾳ κατὰ τὸ

1. δεικνὺς P. ib. ὑπεραίρων — ἀνθρώπους om. P. 10. μηνυθὴς P. 12. πόσῃ P. 13. ἐννεαμηναῖος P. 22. οὖν om. P.

versos superavit, qui in spiritu et virtute Eliae ambulans, ipsum etiam Eliam praecelluit, dum Dominum baptizavit, lucerna ardens ante Solem justitiae. Hic praesentem Dominum ostendit, dicens: *Ecce Agnus Dei qui tollit peccatum mundi*, agnum ut sacrificandum appellans, quique peccatum mundi tolleret, et absolveret mundum a peccato, per Resurrectionem, incorruptis iis, immortalibus et immutabilibus effectis. Hujusmodi ministerii, taliumque rerum nuntius esse dignatus est magnus Joannes.

Porro qui nosse volet quota mensis die natus est Praecursor, deprehendemus novem mensium solarium tempus conceptionis Elisabet in XXIV. mensis Junii compleri.

Deinde, si nosse etiam velimus feriam qua in lucem est editus, ponimus V. MDVII. uno dempto: his addimus quartam partem, hoc est MCCCLXXVI. et existunt VI. MDCCCXXXII. hoc quidem divide in VII. VII. vero in DCCCC. et prodibunt VI. MCCC. duc VII. in LXXX. nascentur DLX. duc VII. in III. prodibunt XXI. relinquitur I. huic addimus XXX. dies Aprilis, XXXI. Maii, XXIV. Junii, fiunt LXXXVI. quae divide per VII. septies X. efficiunt LXX. divide VII. per II. fiunt XIV. reliqua sunt II.

παρὼν ἔτος ὁ πρόδρομος ἐτέχθη, καθ' ἣν ἡμέραν ἐδημιούργησεν
ὁ θεὸς τὸ στερέωμα τὸ ἐν μέσῳ τῶν ὑδάτων.

R 480 Ἐν ταύταις δὲ ταῖς ἡμέραις ἐξῆλθεν δόγμα παρὰ Καίσαρος
Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἡ ἀπο-
γραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρινίου, καὶ
ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν.
B ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲθ εἰς
τὴν Ἰουδαίαν εἰς πόλιν Δαβίδ, ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ
εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ, ἀπογράψασθαι σὺν
Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικί, οὔσῃ ἐγκύῳ. ἐγένετο
δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐ-
τήν, καὶ ἔτεκεν τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργά-
νωσεν αὐτὸν καὶ ἀνέθηκεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν αὐ-
τοῖς τόπος ἐν τῷ καταλύματι. καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ
αὐτῇ ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν
ποίμνην αὐτῶν. καὶ ἰδοὺ ἄγγελος κυρίου ἐπέστη αὐτοῖς, καὶ δό-
C ξα κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον μέγαν.
καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, Μὴ φοβεῖσθε ὑμεῖς· ἰδοὺ γὰρ εὐαγ-
γελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι
ἐτέχθη ὑμῖν σήμερον σωτήρ, ὅς ἐστιν Χριστὸς κύριος ἐν πόλει
Δαβίδ, καὶ καθὼς γέγραπται, Αὐτὸς ὁ λαλῶν ἰδοὺ πάρειμι.

Εἶτα γνῶναι βουλόμενοι καὶ τὴν ἡμέραν καθ' ἣν ἐτέχθη
Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, τίθεμεν τὴν κατὰ τὸ παρὸν ἔτος

3. ἐν ταύταις] Luc. II. 21. γέγραπται] Esai. LVIII. 9. 23. τίθεμεν τὴν] τίθεμεν P.

Ex his discimus feria II. hebdomadis hoc praesenti anno natum Praecursorem, quo die creavit Deus firmamentum in medio aquarum.

His diebus exiit edictum a Caesare Augusto ut describeretur universus orbis. Haec descriptio prima facta est Cyrinio Syriae Praeside. Et ibant omnes ut describerentur, singuli in suam civitatem. Ascendit autem et Joseph a Galilaea civitate Nazareth in Judaeam civitatem David, quae vocatur Bethleem, eo quod esset de domo et familia David, ut describeretur cum Maria desponsata sibi uxore praegnante. Factum est autem cum essent ibi, impleti sunt dies ut pareret. Et peperit filium suum primogenitum, et pannis eum involvit, et reclinavit eum in praesepio, quia non erat ei locus in diversorio. Et pastores erant in regione eadem vigilantes et custodientes vigilias noctis super gregem suum. Et ecce Angelus Domini stetit juxta illos, et gloria Domini circumfulsit illos, et timuerunt timore magno. Et dixit illis Angelus: *Nolite timere, ecce enim evangelizo vobis gaudium magnum, quod erit omni populo, quia natus est vobis hodie Salvator, qui est Christus Dominus, in civitate David, quemadmodum scriptum est, Ipse qui loquor, ecce adsum.*

Quod si deinde voluerimus nosse feriam qua Christus verus Deus

μίαν ἐπακτὴν τοῦ ἡλίου, καὶ ταύτῃ προστιθέντες ἀπὸ ἀρχῆς τοῦ πρώτου μηνὸς ἡμέρας ἀπριλίου λ', μαΐου λα', ἰουνίου λ', ἰουλίου λα', αὐγούστου λα', σεπτεμβρίου λ', ὀκτωβρίου λα', νοεμ- D
βρίου λ', δεκεμβρίου κε', γίνονται σό, ταύτας ἑβδόμου, ζ' λ' γίνονται σι', ζ' η' νς', λοιπὰ δ'.

Ἔγνωμεν οὖν ὡς καθ' ἣν ἡμέραν ἐδημιούργησεν τοὺς φωστῆρας, κατ' αὐτὴν ἐτέχθη Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, ὡς ὑπάρχων ἥλιος δικαιοσύνης.

Ἡρώδης δὲ πρὸς ταῖς ἑτέραις αὐτοῦ μιαιφονίαις Σαλώμης τῆς ἰδίας ἀδελφῆς ἀναιρεῖ τὸν ἄνδρα. γήμαντος δὲ αὐτὴν ἑτέρου, καὶ τοῦτον ἐπιπροστίθησιν. καὶ ἔτι πρὸς τούτοις τοὺς ὑφηγητὰς τῶν ἱερῶν νόμων καὶ τοὺς τῶν πατρίων ζηλωτὰς κτίννυσιν.

Ἰνδ. α'. μα'. ὑπ. Πουπλίου Καίσαρος καὶ Παύλου. R 482
P 203
Τῇ πρώτῃ τοῦ ἰανουαρίου μηνὸς ἡμέρᾳ δ', ὅτε ἐπλήσθησαν ἡμέραι η', ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ. εἶτα μετὰ ταῦτα ὡς ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτοῦ, κατὰ τὸν νόμον τὸν δοθέντα παρ' αὐτοῦ διὰ Μωϋσέως ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ κυρίου, ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ κυρίῳ κληθήσεται. καὶ ἐν τῷ V 163

6. ἡμέρᾳ τετάρτῃ ἐγεννήθη ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. m. P.
10. γαμήσαντος P sola. 11. τούτους R. 14. Πουβλίου P sola.
15. ὅτε ἐπλήσθησαν] Luc. II. 21. 21. καθὼς] ὡς P.

noster natus est, ponimus hoc praesenti anno unam epactam Solis, cui Anni a m. c.
adjicimus a principio primi mensis dies Aprilis xxx. Maii xxxi. Junii xxx. Julii xxxi. Augusti xxxi. Septembris xxx. Octobris xxxi. Novembris xxx. Decembris xxv. qui efficiunt dies ccLxx. Hos deinde septuplica, duc septem in xxx. efficiunt ccx. septem in VIII. erunt LVI. reliqua sunt IV.

Colligimus ergo Christum verum Deum nostrum, utpote verum justitiae solem, eo die natum, quo ipse luminaria condidit.

Herodes vero praeter alia scelera sua, sororis suae Salomes conjugem interfecit. Hanc cum alius duxisset, illum pariter sustulit. Legum praeterea interpretes, jurisque patrii amatores occidit.

Anni Christi. [Ol. Iph.]

1. XLI. Ind. I. Publio Caesare et Paulo Coss. 1. 195. 5506.

Primo Januarii mensis die, feria IV. quando impleti sunt dies VIII. venerunt circumcidere puerum, et vocatum est nomen ejus Jesus, quod vocatum est ab Angelo, priusquam in utero conciperetur. Porro cum impleti essent dies purificationis ejus, secundum legem ab ipso per Moysen datam, duxerunt eum in Hierusalem, ut sisterent eum Domino, quem-

εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν ἐν τῷ ἱερῷ ἐδέξατο αὐτὸ Συμέων ἐν ταῖς ἀγκάλαις αὐτοῦ, καὶ εὐλόγησεν τὸν θεὸν καὶ εἶπεν, Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξα λαοῦ σου Ἰσραήλ. καὶ μετὰ βραχέα, Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον. καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία.

Ταῦτα δὲ ἡμῖν παραδέδοται ἐκ τῶν ἀπ' ἀρχῆς αὐτοπτῶν
C καὶ ὑπηρετῶν γενομένων τοῦ λόγου, παρ' ὧν καὶ ὁ ἅγιος Λουκᾶς λαβὼν συνεγράψατο. οἱ δὲ αὐτόπται καὶ ὑπηρέται εἰσὶν ἡ ἁγία ἔνδοξος καὶ κατὰ ἀλήθειαν δέσποινα ἡμῶν θεοτόκος, ἣ καὶ συντηρήσασα πάντα ἐν τῇ καρδίᾳ αὐτῆς, καθὼς γέγραπται, καὶ ὁ δίκαιος Ἰωσὴφ ὁ μνηστὴρ καὶ οἱ υἱοὶ αὐτοῦ Ἰάκωβος ὁ πρῶτος τῶν ἐν Ἱεροσολύμοις κατακοσμήσας θρόνον καὶ Ἰωσῆς καὶ Σίμων καὶ Ἰούδας. οὗτοί εἰσιν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται ἕως τοῦ τριακοστοῦ ἔτους τῆς κατὰ σάρκα ἐπιφανείας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

D *Ἐκ τοῦ μεγάλου Βασιλείου.*

Τὰ τοῦ Συμεὼν ῥήματα πρὸς τὴν Μαρίαν οὐδὲν ἔχει ποι-

4. ἴδον PV. 6. δόξαν P. 10. ἐκ τῶν] αὐτῶν R. 11. παρ' ὧν] παρὼν RV, ὥσπερ P. 12. ἡ ἁγία ἡ ἔνδοξος P. 15. τῶν] τοῦ P. 20. Βασιλέου V.

admodum scriptum est in lege Domini: *Quia omne masculinum adaperiens vulvam sanctum Domino vocabitur.* Et cum inducerent parentes puerum Jesum in templum, accepit eum Symeon in ulnas suas, et benedixit Deum, et dixit: *Nunc dimittis servum tuum, Domine, secundum verbum tuum in pace. Quia viderunt oculi mei, salutare tuum: quod parasti ante faciem omnium populorum. Lumen ad revelationem gentium, et gloriam plebis tuae Israel.* Et paulo infra: *Ecce positus est hic in ruinam et resurrectionem multorum in Israel, et in signum cui contradicetur. Et tuam ipsius animam pertransibit gladius.*

Haec nobis tradita sunt ab iis qui ab initio viderunt, et ipsimet, ac ministri Verbi extiterunt, veluti Sanctus Lucas, qui haec ab illis accepta descripsit. Testes vero oculati et ministri sunt, sancta et gloriosa, et vere Domina nostra Dei genitrix, quae omnia servavit in corde suo, quemadmodum scriptum est, et justus Joseph sponsus illius, et filii illius Jacobus qui primus Hierosolymitanum thronum exornavit, et Joses, et Simon, ac Judas: hi sunt qui ab initio ipsimet inspexere, fuereque ministri usque ad trigesimum annum magni Dei et Servatoris nostri Jesu Christi secundum carnem apparitionis.

κίλον οὐδὲ βαθύ. ηὐλόγησε γὰρ αὐτοὺς Συμεὼν καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ, Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία. καίτοι ἐμοὶ οὐδὲν ἧττον φαίνεται ἄπορον πῶς ὁ αὐτὸς εἰς πτῶσιν κεῖται καὶ εἰς ἀνάστασιν, καὶ τί τὸ σημεῖον τὸ ἀντιλεγόμενον, καὶ τρίτον πῶς τῆς Μαρίας τὴν ψυχὴν διελεύσεται ἡ ῥομφαία. ἡγοῦμαι P 204
τοίνυν εἰς πτῶσιν καὶ ἀνάστασιν εἶναι τὸν κύριον οὐκ ἄλλων πιπτόντων καὶ ἄλλων ἀνισταμένων, ἀλλ' αὐτοῦ τοῦ ἐν ἡμῖν χείρονος καταπίπτοντος καὶ τοῦ βελτίονος διανισταμένου. καθαιρετικὴ μὲν γὰρ τῶν σωματικῶν παθῶν ἐστιν ἡ τοῦ κυρίου ἐπιφάνεια, διεγερτικὴ δὲ τῶν τῆς ψυχῆς ἰδιωμάτων. ὡς ὅταν λέγει Παῦλος, Ὅταν ἀσθενῶ, δυνατός εἰμι, ὁ αὐτὸς ἀσθενεῖ καὶ δύνάται· ἀλλ' ἀσθενεῖ μὲν τῇ σαρκί, δυνατὸς δέ ἐστι τῷ πνεύματι. οὕτω καὶ ὁ κύριος οὐχὶ τοῖς μὲν τοῦ πίπτειν τὰς ἀφορμὰς παρέχει, τοῖς δὲ τοῦ ἀνίστασθαι· οἱ γὰρ πίπτοντες ἀπὸ τῆς στάσεως ἐν ᾗ ποτε ἦσαν καταπίπτουσιν δηλονότι. οὐδέποτε δὲ στήκει ὁ ἄπιστος, ἀεὶ συρόμενος μετὰ τοῦ ὄφεως συνέπεται. οὐκ ἔχει οὖν ὅθεν πέσῃ διὰ τὸ καταβεβλῆσθαι τῇ ἀπιστίᾳ. πρώτη V 164
εὐεργεσία τοῦ στήκοντα τῇ ἁμαρτίᾳ πεσεῖν καὶ ἀποθανεῖν, εἶτα ζῆσαι τῇ δικαιοσύνῃ καὶ ἀναστῆναι, τῆς εἰς Χριστὸν γνώσεως

1. αὐτὴν P. 5. ὁ om. P. 10. διανασταμένου P. 13. Παῦλος] II. Cor. XII. 10. 17. εἰστήκει P. 18. συνέρπεται P. 20. εὐεργεσία τὰ ἑστήκοντα P.

Ex Basilio Magno.

Symeonis verba ad Mariam nihil varium habent aut altum. Benedixit enim illi Symeon, et dixit ad Mariam matrem ejus: *Ecce hic positus est in ruinam et resurrectionem multorum in Israel, et in signum cui contradicetur. Et tuam ipsius animam pertransibit gladius.* Neque enim minus dubium mihi videtur, quomodo idem in ruinam et resurrectionem sit positus, et quid sit signum cui contradicetur: et tertio, quomodo Mariae animam pertransibit gladius. Existimo ergo Dominum esse positum in ruinam et resurrectionem, non aliis cadentibus et aliis resurgentibus: sed malo potius, quod in nobis ipsis est, ruente, et eo quod melius est resurgente. Etenim Domini in terras adventus eam vim habet, ut corporis appetitus convellat, et animae naturam rursum excitet. Cum dicit Paulus, *Quando infirmor, potens sum:* idem infirmatur et potens est: nimirum infirmatur carne, valet autem spiritu. Ita Dominus non aliis quidem caussam praebet cadendi, aliis surgendi: nam qui cadunt, de statu videlicet cadunt, in quo antea fuerant. Nullomodo enim stat qui non credit, et semper cum serpente serpit. Non habet ergo unde cadat, quia per incredulitatem dejectus semper jacet. Primum beneficium est, ut quae in peccato stant, cadant et moriantur, deinde rursum

ἑκάτερον ἡμῖν χαριζομένης. πιπτέτω τὰ χείρονα, ἵνα λάβῃ καιρὸν τὰ βελτίω πρὸς τὴν ἀνάστασιν. ἐὰν μὴ πέσῃ πορνεία, σωφροσύνη οὐκ ἀνίσταται· ἐὰν μὴ ἀλογία συντριβῇ, τὸ λογικὸν ἐν ἡμῖν οὐκ ἀνθήσει. οὕτως οὖν εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν.
C εἰς δὲ σημεῖον ἀντιλεγόμενον, κυρίως σημεῖον ἐγνωμεν παρὰ τῇ
R 486 γραφῇ τὸν σταυρὸν εἰρημένον. ἔθηκεν γὰρ Μωϋσῆς τὸν ὄφιν ἐπὶ σημείου, τουτέστιν ἐπὶ σταυροῦ, ὃ σημεῖόν ἐστι παραδόξου τινὸς καὶ ἀφανοῦς πράγματος ἐνδεικτικόν, ὁρώμενον μὲν παρὰ αὐτῶν, νοούμενον δὲ παρὰ τῶν ἐντρεχῶν τὴν διάνοιαν. ἐπεὶ οὖν οὐ παύονται ζυγομαχοῦντες περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου, οἱ μὲν ἀνειληφέναι σῶμα, οἱ δὲ ἀσώματον αὐτοῦ τὴν ἐπιδημίαν γεγενῆσθαι διοριζόμενοι, καὶ οἱ μὲν παθητὸν ἐσχηκέναι τὸ σῶμα, οἱ δὲ φαντασίᾳ τινὶ τὴν διὰ τοῦ σώ-
D ματος οἰκονομίαν πληροῦν, ἄλλοι δὲ χοϊκόν, καὶ ἄλλοι ἐπουράνιον σῶμα, καὶ οἱ μὲν προαιώνιον τὴν ὕπαρξιν, οἱ δὲ ἀπὸ Μαρίας τὴν ἀρχὴν ἐσχηκέναι· διὰ τοῦτο εἰς σημεῖον ἀντιλεγόμενον. ῥομφαίαν δὲ λέγει τὸν λόγον τὸν πειραστικόν, τὸν κριτικὸν τῶν ἐνθυμήσεων, τὸν διικνούμενον ἄχρι μερισμοῦ ψυχῆς καὶ σώματος, ἁρμῶν τε καὶ μυελῶν καὶ κριτικῶν ἐνθυμήσεων· ἐπειδὴ τοίνυν πᾶσα ψυχὴ παρὰ τὸν καιρὸν τοῦ πάθους οἱονεὶ διακρίσει τινὶ ὑπεβάλλετο κατὰ τὴν τοῦ κυρίου φωνὴν εἰπόντος ὅτι πάν-

4. πολλῶν κεῖται P. 10. ἀνθρωποποιήσεως P ex coniectura Raderi, ἀνθρωπήσεως R. 11. ἀνειληφὲν R, ἀνειληφέναι m. R. 13. ἐσχέναι R, ἐσχηκέναι m. R. 17. δὲ om. PV. *ib.* τὸν secundum om. P. 18. καὶ om. R. 21. ὑπερεβάλλετο P.

per justitiam resurgant, utrumque cognitione Christi nobis largiente. Cadant ergo deteriora, ut occasionem resurgendi capiant. Nisi prius libido ceciderit, temperantia non resurget: nisi sensus animalis prius fuerit contritus, rationis vigor in nobis non efflorescet. Ita ergo positus est in ruinam et resurrectionem multorum. *In signum autem cui contradicetur:* signum proprie in sacris literis pro cruce sumitur. Moyses enim serpentem in signo proposuit, hoc est in cruce, quod rei alicujus insolitae et occultae est indicium, quod ab omnibus quidem videtur, sed ab iis duntaxat qui valent ingenio intelligitur. Cum igitur altercari non desinant, de Domini inhumanatione, dum alii corpus assumpsisse contendunt, alii absque corpore in terris versatum, alii corpus habuisse passibile, alii in phantastico corpore adventum suum adimplesse: alii terrenum, coeleste alii corpus assumpsisse, alii natura aeternum, alii ex Maria principium duxisse: ideo dicitur fuisse positus in signum contradictum. Rhomphaeam vero seu gladium, verbum vocat, quod explorat ac discernit cogitationes, et usque ad animae et corporis divisionem penetrat, atque adeo compagini et medullarum ipsarumque internarum cogitationum: quandoquidem cum passus est, dubitatione fluctuabant omnes ad Domini vocem, dum dixit, *Omnes in me scandalum patie-*

τες σκανδαλισθήσεσθε ἐν ἐμοί, προφητεύει Συμεὼν περὶ αὐτῆς
τῆς Μαρίας ὅτι παρεστῶσα τῷ σταυρῷ καὶ βλέπουσα τὰ γινόμε- P 205
να καὶ ἀκούουσα τῶν φωνῶν μετὰ τὴν τοῦ Γαβριὴλ μαρτυρίαν,
μετὰ τὴν ἀπόῤῥητον γνῶσιν τῆς θείας συλλήψεως, μετὰ τὴν με-
γάλην τῶν θαυμάτων ἐπίδειξιν, γενήσεταί τις καὶ περὶ τὴν σὴν
ψυχὴν σάλος. ἔδει γὰρ τὸν κύριον ὑπὲρ παντὸς γεύσασθαι θα-
νάτου, καὶ ἱλαστήριον γενόμενον τοῦ κόσμου πάντας δικαιῶσαι
τῷ αὐτοῦ αἵματι. καὶ σοῦ οὖν αὐτῆς τῆς ἄνωθεν δεδιδαγμένης
τὰ περὶ τοῦ κυρίου ἅψεταί τις διάκρισις, τουτέστιν ῥομφαία,
ὅπως ἂν ἀποκαλυφθῶσιν ἀπὸ πολλῶν καρδιῶν διαλογισμοί. ὀνή-
σεται, ὅτι μετὰ τὸν σκανδαλισμὸν τὸν ἐπὶ τῷ σταυρῷ τοῦ Χρι-
στοῦ γενόμενον τοῖς τε μαθηταῖς καὶ αὐτῇ τῇ Μαρίᾳ ταχεῖά τις B
ἴασις παρακολουθήσει παρὰ τοῦ κυρίου, βεβαιοῦσα αὐτῶν τὴν καρ-
δίαν ἐπὶ τὴν αὐτῶν πίστιν. οὕτω γὰρ οἴδαμεν Πέτρον μετὰ τὸ
σκανδαλισθῆναι βεβαιότερον τῆς εἰς τὸν Χριστὸν πίστεως ἀντε-
χόμενον. τὸ ἀνθρώπινον οὖν σαθρὸν διηλέγχθη, ἵνα τὸ ἰσχυ-
ρὸν τοῦ κυρίου διδαχθῇ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶ-
νας. ἀμήν.

Εἶτα γνῶναι θέλοντες καὶ ἐν πόστῃ τῆς ἑβδομάδος ἡμέρᾳ R 488
κατὰ τὸ παρὸν πεντακισχιλιοστὸν φζ' ἔτος ἔφθασεν ἡ δευτέρα τοῦ
φεβρουαρίου μηνός, τίθεμεν τὴν μίαν ἐπακτὴν τοῦ ἡλίου, καὶ
ταύτῃ συνάπτομεν τὰς ἀπὸ πρώτης ἀπριλίου μηνὸς ἡμέρας μέ- C

3. ἀκούσασα P. 8. δεδειδαγμένης V, δεδειγμένης P. 10. ὅπως ἀναποκαλυφθῶσιν P. ib. ἐνήσεται V. 12. τοῖς τε μαθηταῖς] τοῖς δὲ τοῖς μαθηταῖς P. 14. εἴδαμεν PV. 15. τὸν om. P. 19. καὶ om. P. 22. τῆς πρώτης P.

mini. Haec autem ipsi Mariae praedixerat Symeon, (hanc sic affatus) Cum steteris, inquit, ad crucem, spectaverisque omnia quae fiunt, ac verba audieris, post Gabrielis testimonium, post inexplicabilem divinae conceptionis cognitionem, post tot peracta miracula, aliquam tamen in anima tua fluctuationem patieris. Necesse enim erat ut Dominus pro omnibus mortem gustaret, et mundi propitiatorium effectus, universos suo sanguine justificaret. Te ergo ipsam, divinitus licet quae de Domino ventura erant edoctam, quaedam subibit dubitatio, hoc est gladius, ut ex multorum cordibus revelentur cogitationes. Proderit tamen illa, quia post scandalum, quod ex cruce Christi discipulis et ipsi Mariae orietur, cura statim ac sanatio a Domino subsequetur, quae illorum corda in fide confirmabit. Sic videmus Petrum postquam scandalum passus est, firmiorem in Christum fidem servasse. Humana ergo imbecillitas ostensa est, ut Domini potentia edoceretur, cui gloria et imperium in saecula. Amen.

Deinde si nosse quis velit quota hebdomadis die, hoc praesenti anno v. MDVII. secunda mensis Februarii inciderit, ponimus unam Solis

χρις αὐτῆς τῆς δευτέρας τοῦ φεβρουαρίου μηνός, τουτέστιν ἀπριλίου λ', μαΐου λα', ἰουνίου λ', ἰουλίου λα', αὐγούστου λα', σεπτεμβρίου λ', ὀκτωβρίου λα', νοεμβρίου λ', δεκεμβρίου λα', ἰανουαρίου λα', φεβρουαρίου β', γίνονται τϑ'. ταύτας ἑβδόμου· ζ'
V 165 μ' γίνονται σπ'· ζ' δ' γίνονται κη'· λοιπὸν α'. ἔγνωμεν ὡς ἐν κυριακῇ ἔφθασεν, ὅτε Συμεὼν ἐν ἀγκάλαις ἐδέξατο τὸν δεσπότην Χριστὸν τὸν ἀληθινὸν ϑεὸν ἡμῶν· καθ' ἣν ἡμέραν ἐδημιούργησεν τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ᾗ ἡμέρᾳ τὴν ἄφθαρτον καὶ ζωοποιὸν ἡμῖν ἀνάστασιν ἐδωρήσατο.

D Ἰνδ. β'. μβ'. ὑπ. Οὐινδικίου καὶ Οὐάρου.

Ἡρώδης τὴν τοῦ Χριστοῦ γέννησιν πυϑόμενος παρὰ τῶν μάγων, τὰ περὶ τὴν Βηϑλεὲμ ἀναιρεῖ παιδία ἀπὸ διετοῦς καὶ κατωτέρω, οἰόμενος καὶ τὸν Χριστὸν τῆς τοιαύτης τοῖς ὁμήλιξιν συναπολέσαι συμφορᾶς, ὄντος τοῦ κυρίου κατὰ τοῦτον τὸν καιρὸν ἐν Αἰγύπτῳ μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ.

ρλε' Ὀλυμπιάς.

Ἰνδ. γ'. μγ'. ὑπ. Λαμίου καὶ Σερβιλίου.

Ἰνδ. δ'. μδ'. ὑπ. Μάγνου καὶ Βαλερίου.

P 206 Ἡρώδης ὑδέρῳ δεινῷ πιασθείς, σκώληκας δὲ ἐκβράσας ἀπὸ

4. φεβρουαρίῳ V: conf. ad p. 224. D. ib. ἑβδόμῳ RV. 6. εἰς κυριακὴν ὁ Συμεὼν ἐδέξατο ἐν ἀγκάλαις τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν m. P. 10. Οὐινδικίου] τοῦ Ἰνδικίου V, Ἰνδικίου P. ib. Οὐαρίου P.

Anni a m. c. epactam, huicque dies a prima Aprilis mensis adjungimus, usque ad secundam mensis Februarii, scilicet Aprilis xxx. Maii xxxi. Junii xxx. Julii xxxi. Augusti xxxi. Septembris xxx. Octobris xxxi. Novembris xxx. Decembris xxxi. Januarii xxxi. Februarii ii. Colliguntur dies cccix. hos si septuplices, septies xl. efficiunt cclxxx. septies iv. efficiunt xxviii. relinquitur i. Intelligimus ergo in Dominicam incidere, quando Symeon in ulnas excepit Dominum Christum verum Deum nostrum: quo quidem die coelum et terram condidit, quoque die incorruptibilem et vivificam nobis dedit Resurrectionem.

A. C. [Ol. Iph.]

5507. 2. xlii. Ind. ii. Indicio et Vario Coss. 2.

Herodes cum a Magis Christi nativitatem accepisset, pueros circa Bethleem a bimis et infra trucidat, ratus se in hac ejusdem aetatis puerorum clade una Christum sublaturum, cum isto tempore Dominus cum Maria matre sua in Aegypto ageret.

CXCV. Olympias.

3. xliii. Ind. iii. Lamia et Servilio Coss. 3.

5. xliv. Ind. iv. Magno et Valerio Coss. 1. 196.

Herodes aqua intercute afflictus, corpore etiam vermi-

τοῦ σώματος καὶ σαπεὶς ὅλος, καταστρέφει τὸν βίον· ποινὴν δικαίαν τίσας, ἀνθ' ὧν ἀμφὶ Βηθλεὲμ ἀνεῖλεν παίδων τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιβουλῆς ἕνεκα. ἐβασίλευσεν δὲ ἐν τῇ Ἰουδαίᾳ ἀντ' αὐτοῦ Ἀρχέλαος ὁ υἱὸς αὐτοῦ ἔτη θ'.

Ἰνδ. ε'. με'. ὑπ. Λεπίδου καὶ Πλάγκου.

Ἰνδ. ς'. μς'. ὑπ. Τιβερίου Καίσαρος καὶ Καπίτωνος.

Ἰουδαίων βασιλέα Αὔγουστος Ἀρχέλαον Ἡρώδου παῖδα καθίστησιν, τετράρχας δὲ ἀποδείκνυσιν Ἡρώδην τὸν καὶ Ἀντίπαν καὶ Λυσανίαν καὶ Φίλιππον, Ἀρχελάου ἀδελφούς. R 490 B

ρλς' Ὀλυμπιάς.

Ἰνδ. ζ'. μζ'. ὑπ. Κρητίου καὶ Νερβά.

Ἰνδ. η'. μή. ὑπ. Καμίλλου καὶ Κυντιλιανοῦ.

Ἰνδ. θ'. μθ'. ὑπ. Καμερίνου καὶ Σαβίνου.

Ἰνδ. ι'. ν'. ὑπ. Δολαβέλλα καὶ Σιλανοῦ.

ρλζ' Ὀλυμπιάς.

Ἰνδ. ια'. να'. ὑπ. Λεπίδου καὶ Ταύρου.

Ἰνδ. ιβ'. νβ'. ὑπ. Τιβερίου Καίσαρος τὸ β' καὶ Σκηπίωνος. C

Ἰνδ. ιγ'. νγ'. ὑπ. Φλάκκου καὶ Σιλάνου.

Ἀποθανόντος Ἀρχελάου βασιλεύει τῆς Ἰουδαίας Ἡρώδης ὁ τετράρχης, ἀδελφὸς αὐτοῦ, υἱὸς δὲ καὶ αὐτὸς Ἡρώδου

1. τοῦ om. P. 2. παιδία P. 3. ἐπιβουλῆς om. P. *ibid.* δὲ καὶ ἐν P. 7. βασιλέα] τετράρχην V. 16. Λεπιδίου V. 17. Σιπίωνος R.

A. C. [Ol. Iph.] Anni a m. c.

nante et putrescente, vitam finivit, justis poenis datis, quod Servatoris nostri causa pueros circa Bethleem sustulisset. Illius vero loco regnavit in Judaea Archelaus filius annis IX.

6. XLV. Ind. V. Lepido et Planco Coss. 2. 5511.
XLVI. Ind. VI. Tiberio Caesare et Capitone Coss.

Augustus Judaeorum Regem Archelaum Herodis filium creat. Tetrarchas vero renuntiat Herodem Antipam, Lysaniam, et Philippum, Archelai fratres.

CXCVI. Olympias.

7. XLVII. Ind. VII. Cretio et Nerva Coss.
8. XLVIII. Ind. VIII. Camillo et Quintiliano Coss.
9. XLIX. Ind. IX. Camerino et Sabino Coss. 1. 197.
10. L. Ind. X. Dolabella et Silano Coss. 2.

CXCVII. Olympias.

11. LI. Ind. XI. Lepido et Tauro Coss. 3.
12. LII. Ind. XII. Tiberio Caesare II. et Scipione Coss. 4.
13. LIII. Ind. XIII. Flacco et Silano Coss. 1. 198.

τοῦ τετράρχου καὶ βασιλέως τῆς Ἰουδαίας, τοῦ καὶ ἀνελόντος τὰ νήπια. βασιλεύει δὲ οὗτος Ἡρώδης ἔτη κδ'.

Ἰνδ. ιδ'. νδ'. ὑπ. Σέκστου καὶ Σέκστου.

ρλη' Ὀλυμπιάς.

Ἰνδ. ιε'. νε'. ὑπ. Πομπηίου Μάγνου καὶ Ἀπουληίου.

D Ἰνδ. α'. νς'. ὑπ. Βρούτου καὶ Φλάκκου τὸ β'.

Ῥωμαίων γ' ἐμονάρχησεν Τιβέριος Καῖσαρ ἔτη κβ'. ὁμοῦ ,εφμγ'.

Ἰνδ. β'. α'. ὑπ. Ταύρου καὶ Λίβωνος.

Ἰνδ. γ'. β'. ὑπ. Κράσσου καὶ Ῥούφου.

V 166 ρλθ' Ὀλυμπιάς.

Ἰνδ. δ'. γ'. ὑπ. Τιβερίου Καίσαρος τὸ γ' καὶ Ῥούφου τὸ β'.

Ἰνδ. ε'. δ'. ὑπ. Σιλάνου καὶ Βάλβου.

Ἰνδ. ς'. ε'. ὑπ. Μεσσάλα καὶ Γράτου.

P 207 Ἰνδ. ζ'. ς'. ὑπ. Τιβερίου Καίσαρος τὸ δ' καὶ Δρούσου.

σ' Ὀλυμπιάς.

Ἰνδ. η'. ζ'. ὑπ. Ἀγρίππα καὶ Γάλβα.

1. καὶ alterum om. P. 2. παιδία P. 4. Ὀλυμπιάδος V. 12. Post β' inserit m. R in textu omissa Σιλάνου καὶ Βάλβου. ἰνδ. ε'. δ'. numerosque sequentes ita scriptos exhibet: ἰνδ. (ς') ε', δ' (ε'). ἰνδ. (ζ') ς', ε' (ς'). ἰνδ. ζ'. . . Ad quae omnia ab Ducangio ut a me repetuntur conformata tacetur de V.

A. C. [Ol. Iph.]

Extincto Archelao, in Judaea regnat Herodes Tetrarcha frater Archelai, filius Herodis Regis Judaeorum qui pueros sustulerat. Is vero Herodes regnat annis XXIV.

14. LIV. Ind. XIV. Sexto et Sexto Coss. 2.

CXCVIII. Olympias.

15. LV. Ind. XV. Pompeio Magno et Apuleio Coss. 2.

LVI. Ind. I. Bruto et Flacco II. Coss. 3.

Tertius Romanorum Imperator Tiberius Caesar, annis imperavit XXII. Colliguntur anni V. MDXLIII.

16. I. Ind. II. Tauro et Libone Coss. 4.

17. II. Ind. III. Crasso et Rufo Coss. 1. 199.

CXCIX. Olympias.

18. III. Ind. IV. Tiberio Caesare III. et Rufo II. Coss. 2.

19. IV. Ind. V. Silano et Balbo Coss. 3.

20. V. Ind. IV. Messala et Grato Coss. 4.

21. VI. Ind. VII. Tiberio Caesare IV. et Druso Coss. 1. 200.

CC. Olympias.

22. VII. Ind. VIII. Agrippa et Galba Coss. 2.

Ἰνδ. θ'. η'. ὑπ. Πούλλωνος καὶ Βετέρου.
Ἰνδ. ι'. θ'. ὑπ. Κεθήγου καὶ Οὐάρου.
Ἰνδ. ια'. ι'. ὑπ. Ἀγρίππα τὸ β' καὶ Λεντούλου. R 492

σα' Ὀλυμπιάς.

Ἰνδ. ιβ'. ια'. ὑπ. Γετουλικοῦ καὶ Σαβίνου.
Ἰνδ. ιγ'. ιβ'. ὑπ. Κράσσου καὶ Πίσωνος.

Ἐπὶ τούτων τῶν ὑπάτων Πόντιος Πιλᾶτος ἐπίτροπος τῆς B
Ἰουδαίας ὑπὸ Τιβερίου ἐκπέμπεται ιβ' ἔτει τῆς βασιλείας αὐτοῦ,
ὡς ἱστορεῖ Ἰώσηπος.

Ἰνδ. ιδ'. ιγ'. ὑπ. Σιλανοῦ καὶ Νερούα.
Ἰνδ. ιε'. ιδ'. ὑπ. Γεμίνου καὶ Γεμίνου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἦν ἀρχιερεὺς ἐν Ἱερουσαλὴμ Ἄν-
νας. Ἰωάννης ὁ βαπτιστὴς προφητεύων εἶπεν, Ἐγὼ φωνὴ βοῶν-
τος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε
τὰς τρίβους αὐτοῦ. πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος
καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ
αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον C
τοῦ θεοῦ.

Ὁ αὐτὸς ὡς εἶδεν τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, εἶπεν,
Ἴδε, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

7. ὁ Πιλάτος P. 9. Ἰώσηππος P. Bel. Iud. II. 9. 2. 10. Νέρβα P. 13. εἶπεν] Luc. III. 4. 15. καὶ — ταπεινωθήσεται om. P. 19. εἶπεν] Ioan. I. 29. 20. ἴδε] εἰδὲ V, ἰδοὺ P.

A. C.				[Ol. Iph.]	Anni a m. c.
23.	VIII.	Ind. IX.	Pullone et Vetere Coss.	3.	
24.	IX.	Ind. X.	Cethego et Varo Coss.	4.	
25.	X.	Ind. XI.	Agrippa II. et Lentulo Coss	1. 201.	
			CCI. Olympias.		
26.	XI.	Ind. XII.	Getulico et Sabino Coss.	2.	
27.	XII.	Ind. XIII.	Crasso et Pisone Coss.	3.	

His Coss. Pontius Pilatus Judaeae Procurator a Tiberio mittitur anno imperii ejus XII., ut narrat Josephus.

28.	XIII.	Ind. XIV.	Silano et Nerva Coss.	4.	5534.
29.	XIV.	Ind. XV.	Gemino et Gemino Coss.	1. 202.	

His Coss. summus Pontifex erat Hierosolymis Annas. Joannes Baptista prophetans, dixit: *Ego vox clamantis in deserto, parate viam Domini, rectas facite semitas ejus. Omnis vallis implebitur, et erunt prava in directa, et aspera in vias planas, et videbit omnis caro salutare Dei.*

Idem ut vidit Jesum venientem ad se, dixit: *Ecce Agnus Dei, qui tollit peccatum mundi.*

Οἱ καθηγησάμενοι τῶν Ἑβραίων τῶν καὶ Ἰουδαίων ἀρχιερεῖς μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον ἐν Ἱερουσαλήμ.

α'. Πρῶτος ἀρχιερεὺς Ἰησοῦς ὁ τοῦ Ἰωσέδεκ ἅμα Ζοροβάβελ ἔτη λβ'.

β'. Ἰωακεὶμ ἀρχιερεὺς ἔτη λ'.

D *γ'. Ἐλιάσιβος ἀρχιερεὺς ἔτη μ'.*

δ'. Ἰωδαὲ ἀρχιερεὺς ἔτη λς'.

ε'. Ἰανναῖος ἀρχιερεὺς ἔτη λβ'.

ς'. Ἰαδδοῦς ἀρχιερεὺς ἔτη κ'.

Ἐν τοῖς χρόνοις τούτου Ἀλέξανδρος ὁ Μακεδὼν καὶ κτιστής, Ἀλεξάνδρειαν κτίζων τὴν πρὸς Αἴγυπτον, ἀνελθὼν εἰς Ἱεροσόλυμα, κυρίῳ τῷ θεῷ προσεκύνησεν.

ζ'. Ὀνίας ἀρχιερεὺς ἔτη κα'.

P 208 *η'. Ἐλεάζαρος ἀρχιερεὺς ἔτη ιε'.*

θ'. Σίμων ἀρχιερεὺς ἔτη ιδ'.

R 494 *ι'. Ὀνίας ἀρχιερεὺς ἔτη λβ'.*

ια'. Μανασσῆς ἀρχιερεὺς ἔτη κς'.

V 167 *ιβ'. Σίμων ἀρχιερεὺς ἔτη κβ'.*

ιγ'. Ὀνίας ἕτερος ἀρχιερεὺς ἔτη κδ'.

ιδ'. Ἰησοῦς ἀρχιερεὺς ἔτη ις'.

ιε'. Ὀνίας ὁ καὶ Μενέλαος ἀρχιερεὺς ἔτη ζ'.

2. μετὰ τὴν om. P. ib. ἐπανόδσν P. 10. τούτοις P, τούτου Ἰαδδοῦς m. P.

Principes Hebraeorum, seu Judaeorum, summi Pontifices, a reditu ex Babylone Hierosolymam.

I. Summus Pontifex Jesus, Josedec filius, una cum Zorobabel, regnavit annis XXXII.

II. Joacim summus Pontifex, an. XXX.

III. Eliasibus summus Pontifex, an. XL.

IV. Jodae summus Pontifex, an. XXXVI.

V. Jannaeus summus Pontifex, an. XXXII.

VI. Jaddus summus Pontifex, an. XX.

Hac tempestate, Alexander Macedo et urbium conditor, Alexandria in Aegypto condita, Hierosolymam veniens, Dominum Deum adoravit.

VII. Onias summus Pontifex, an. XXI.

VIII. Eleazarus summus Pontifex, an. XV.

IX. Simon summus Pontifex, an. XIV.

X. Onias summus Pontifex, an. XXXII.

XI. Manasses summus Pontifex, an. XXVI.

XII. Simon summus Pontifex, an. XXII.

XIII. Onias alter summus Pontifex, an. XXIV.

XIV. Jesus summus Pontifex, an. XVI.

XV. Onias, qui et Menelaus, summus Pontifex, an. VII.

Ἐν τοῖς χρόνοις τούτοις Ἀντίοχος Συρίας βασιλεὺς πολιορκήσας τοὺς Ἰουδαίους ἑλληνίζειν ἠνάγκαζεν. μεθ' ὃν B

ις'. Ἰούδας ὁ ἐπικληθεὶς Μακκαβαῖος προέστη ἔτη λγ'.

Οὗτος ἐξεκάθαρεν τῶν ἀσεβημάτων τὴν χώραν.

ιζ'. Ἰωάνθης ὁ Μακκαβαῖος ἀρχιερεὺς ἔτη ιζ'.

ιη'. Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἀρχιερεὺς ἔτη η'.

ιθ'. Ἰωάνθης ἀρχιερεὺς ἔτη κζ'.

κ'. Ἀριστόβουλος ἀρχιερεὺς ἔτος α'. C

Οὗτος πρῶτος περιέθετο διάδημα βασιλείας πρὸς τῇ ἱερωσύνῃ.

κα'. Ἰανναῖος ὁ καὶ Ἀλέξανδρος βασιλεὺς ἅμα καὶ ἀρχιερεὺς ἔτη λ'.

Μέχρι τούτου οἱ ἀπὸ Κύρου βασιλέως Περσῶν χριστοὶ ἡγούμενοι διαρκέσαντες ἔτη υπγ', αἵ εἰσιν ἑβδομάδες ἐτῶν ξθ', αἳ καὶ παρὰ τῷ Δανιὴλ τοῦτον εἴρηνται τὸν τρόπον.

Ἕως γὰρ Ἰανναίου τοῦ καὶ Ἀλεξάνδρου χριστοὶ ἡγούμενοι, ἐφ' ὃν κατέληξαν οἱ κατὰ διαδοχὴν ἐξ ἀρχιερέων ἡγούμενοι, χρι- D
στοὶ ὑπὸ τῆς προφητείας ὀνομαζόμενοι.

σβ' Ὀλυμπιάς.

Ἰνδ. α'. ιε'. ὑπ. Ῥούφου καὶ Ῥουβελλίνου.

Ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος,

11. καὶ prius om. P. 13. τοῦ Κύρου P. 17. ὃν] οὗ P. ib. ἐξ om. P. 21. ἐν ἔτει] Luc. III. 1.

His temporibus, Antiochus Syriae Rex, Judaeos, cum eos obsedisset, ad paganismum coegit. Post hunc, Anni a m. c.

XVI. Judas, cognomento Maccabaeus, praefuit annis XXXIII.
Hic regionem ab omni impietate purgavit.
XVII. Jonathas Maccabaeus summus Pontifex, an. XVII.
XVIII. Simon frater ejus summus Pontifex, an. VIII.
XIX. Jonathas summus Pontifex, an. XXVII.
XX. Aristobulus summus Pontifex, an. I.
Hic primus Pontificiae dignitati regium adjecit diadema,
XXI. Jannaeus Alexander, Rex simul et summus Pontifex, an. XXX.

Ad hunc usque, a Cyro Persarum Rege, Uncti principes perstitere annis CDLXXXIII. qui conficiunt hebdomadas annorum LXIX. quae apud Danielem hac ratione describuntur.

Etenim usque ad Jannaeum, qui et Alexander dictus est, Uncti principes fuere: sub quo defecerunt summi Pontifices qui ex successione eligi solebant, Christi seu Uncti a Prophetis nuncupati.

CCII. Olympias.

A. C. [Ol. Iph.]
30. XV. Ind. I. Rufo et Rubellino Coss. 2. 5536.

ἐπιτροπεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, τετραρχοῦντος δὲ τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπὶ ἀρχιερέων Ἄννα καὶ Καϊ-
P 209 άφα, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ· καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κη-
R 496 ρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, ὡς γέγραπται ἐν βίβλῳ Ἡσαΐου τοῦ προφήτου λέγοντος, Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου· εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βου-
B νὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ. καὶ καθὼς γέγραπται ὅτι Ἁγιάσετε τὸ ἔτος τὸ πεντηκοστόν, καὶ διαβοήσετε ἄφεσιν ἐπὶ τῆς γῆς πᾶσι τοῖς κατοικοῦσιν αὐτήν· ἐνιαυτὸς ἀφέσεως ἔσται ὑμῖν· οὕτω καὶ ἐγένετο. ἐν τῷ γὰρ παρόντι ,ϛφλϛ' ἔτει γενέσεως κόσμου, μηνὶ αὐδυναίῳ ϛ', τῆς τε κληροδοσίας τῶν υἱῶν Ἰσραὴλ ἔτους ,αψ', συμπληρουμένων Ἰωβηλαίων λδ', ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ, καὶ ἦλθεν κηρύσσων βάπτισμα μετανοίας εἰς τὴν κυρίως καὶ κατὰ ἀλήθειαν ἄφεσιν τῶν ἁμαρτιῶν πᾶσιν
V 168 ἀνθρώποις, παρὰ τῷ Ἰορδάνῃ ποταμῷ εὐαγγελιζόμενος ἐν μέσοις αὐτοῖς ἤδη παρεῖναι τὸν χριστὸν τοῦ θεοῦ. καὶ αὐτὸς δὲ

1. δὲ om. P. 2. τοῦ om. P. 3. Ἰτουρέας PV. *ib.* Τραχαν. P. 4. Ἀβιλινῆς PV. *ib.* ἀρχιερέως V. 10. καὶ—ταπεινωθήσεται om. P. 11. εὐθεῖα P. 12. τὸ σωτήριον τοῦ θεοῦ] τὸν θεὸν P. 13. γέγραπται] Levit. XXV. 10. 16. Αὐδιναίῳ P. 20. κυρίου R.

Anno decimo quinto Imperii Tiberii Caesaris, Pontio Pilato Judaeam procurante, Herode Galilaeae Tetrarcha, Philippo illius fratre Tetrarcha Itureae et Trachanitidis Provinciae, Lysania Abilinae Tetrarcha, Anna et Caïpha summum Pontificatum obtinentibus; factum est verbum Domini super Joannem filium Zachariae in deserto: et venit in regionem Jordanis praedicans baptismum poenitentiae, in remissionem peccatorum: sicut scriptum est in libro Isaiae Prophetae, dicentis: *Vox clamantis in deserto, parate viam Domini, rectas facite semitas ejus: omnis vallis implebitur, et erunt prava in directa et aspera in vias planas, et videbit omnis caro Deum.* Et quemadmodum scriptum est: *Sanctificabitis annum quinquagesimum, et annuntiabitis remissionem in terra omnibus habitantibus eam. Annus remissionis erit vobis, ut et factum est.* Hoc enim praesenti anno mundi conditi V. MDXXXVI. mensis Audinei (seu Januarii) die VI. distributionis vero haereditatis filiorum Israel anno MDCC. Jubilaeis XXXIV. completis, factum est verbum Dei super Joannem Zachariae filium in eremo: et venit praedicans baptismum poenitentiae, in nomine Domini, ac veram remissionem peccatorum omnibus hominibus,

Ἰησοῦς ὁ Χριστὸς ὁ τοῦ θεοῦ υἱὸς μετὰ τὸ τεχθῆναι ἐν Βηθλεὲμ τῆς Ἰουδαίας συμπληρώσας ἐτῶν ἀριθμὸν τριάκοντα παρεγένετο ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, καὶ ἐβαπτίσθη ὑπ' αὐτοῦ. ἐν τῇ τρισκαιδεκάτῃ οὖν ἡμέρᾳ τοῦ τριακοστοῦ πρώτου ἔτους αὐτοῦ Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν ἐβαπτίσθη τῇ ἕκτῃ, καθὰ λέλεκται, τοῦ αὐδυναίου μηνός, καθὼς ἀνεπιλήπτως ἐν αὐτῇ ἑορτάζει τὰ ἅγια φῶτα, ἤγουν ἐπιφάνια τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ἐν τύπῳ αὐτοῦ τε καὶ τῶν ιβ' μαθητῶν αὐτοῦ. C

Ἐν τῷ ,ε τοίνυν φζ' ἔτει γενέσεως κόσμου, καθὼς πρόκειται, καὶ τεσσαρακοστῷ τῆς Αὐγούστου Καίσαρος βασιλείας, ἤγουν εἰκοστῷ ὀγδόῳ τῆς αὐτοῦ μοναρχίας, ἐγεννήθη κατὰ σάρκα Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν. ἐν δὲ τῷ παρόντι ,εφλς' ἔτει ἐβαπτίσθη ἐν τῷ Ἰορδάνῃ ὑπὸ Ἰωάννου ὁ αὐτὸς κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς κατὰ τὸ πεντηκοστὸν ἔτος τῆς τριακοστοτετάρτης πεντηκονταετηρίδος ἀπὸ τῆς κληροδοσίας τῶν υἱῶν Ἰσραήλ. κατὰ γὰρ πεντηκονταετηρίδα μετὰ τὸ εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας τοὺς υἱοὺς Ἰσραὴλ ἄφεσιν γίνεσθαι ὁ θεῖος παρεκελεύσατο νόμος, ἣν ἤρξαντο καταριθμεῖν ἀπὸ ὀγδοηκοστοπρώτου ἔτους Μωϋσέως, μετὰ τὸ πέρας δηλονότι τῶν υλ' ἐτῶν τῆς πρὸς τὸν Ἀβραὰμ κατὰ τὸ ἑβδομηκοστὸν πέμπτον ἔτος τῆς D R 498

1. ὁ Χριστὸς] Χριστὸς P. 6. Αὐδιναίου P. 7. ἐπιφάνεια PV. 9. ἑαυτοῦ PV. 20. ἣν om. R. ib. ἤρξατο RV. ib. ὀγδοηκοστοῦ πρώτου P.

apud Jordanem fluvium annuntians in medio ipsorum adesse Christum Dei. Ipse autem Jesus Christus Dei filius postquam in Bethleem Judaeae natus est, cum complesset annum trigesimum, venit a Galilaea Hierusalem ad Joannem, et ab illo baptizatus est. Tertia decima deinde die XXXI. anni suae aetatis, Christus verus Deus noster die VI. baptizatus est, sicut dictum est, mense Audinaeo, quemadmodum recte eodem die sacra Lumina, seu Epiphania, magni Dei et Servatoris nostri Jesu Christi celebrat Catholica et Apostolica Ecclesia in suiipsius et XII. Apostolorum suorum figura.

Anno igitur mundi conditi V. MDVII. uti supra expositum est, et XI. Augusti Caesaris imperii, seu XXVIII. monarchiae ipsius, natus est secundum carnem Christus verus Deus noster. Hoc autem praesente V. MDXXXVI. anno, ipse Dominus et Deus noster Jesus Christus baptizatus est in Jordane, sub annum quinquagesimum trigesimi quarti Jubilaei, ex quo distributio haereditatis filiorum Israel facta est. Quippe post annos L. ex quo terram promissionis ingressi sunt filii Israel, remissionem fieri sanxit lex divina, quam coeperunt numerare ab octogesimo primo anno Moysis, post exactos nempe CCCCXXX. annos promissionis a Deo factae

αὐτοῦ ἡλικίας γένομένης αὐτῷ ἀπὸ τοῦ θεοῦ ἐπαγγελίας τῆς ἐν Αἰγύπτῳ δουλείας ἕνεκα καὶ τῆς ἐκεῖθεν γεννησομένης ἐλευθερίας τῶν υἱῶν Ἰσραήλ.

P 210 Καὶ εὐλογῶν ὁ Ἰωάννης τὰ ὕδατα εἶπεν, Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ θεὸς τῆς δόξης ἐβρόντησεν, κύριος ἐπὶ ὑδάτων πολλῶν. ἐγένετο δὲ μετὰ τὸ βαπτισθῆναι ἅπαντα τὸν λαὸν καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου ἀνεῳχθῆναι τὸν οὐρανὸν καὶ καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡσεὶ περιστερὰν ἐπ᾽ αὐτόν, καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι λέγουσαν, Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ ηὐδόκησα.

Εἶτα γνῶναι βουλόμενοι καὶ ποία ἦν τῆς ἑβδομάδος ἡμέρα, ὅτε ὁ κύριος ἐβαπτίσθη, τίθεμεν τὰ ͵εφλς᾽ ἔτη· τούτοις προσ-
B τίθεμεν τὸ τέταρτον· γίνονται ͵ςϡκ᾽. ταῦτα παρὰ τὸν ζ᾽· ἑπτάκις ϡδ᾽ γίνονται ͵ςτ᾽· ἑπτάκις π᾽ γίνονται φξ᾽· ἑπτάκις ὀκτὼ γίνονται νς᾽· λοιπὸν δ᾽ ἐπακταί. ταύταις προσάπτομεν τὰς ἀπὸ τοῦ πρώτου μηνὸς νισὰν ἡμέρας ἕως αὐτῆς τῆς ἡμέρας ἐν ᾗ ὁ κύριος ἐβαπτίσθη. οὕτως ἔχεις ἐπακτὰς δ᾽, ἀπριλίου λ᾽, μαΐου λα᾽, ἰουνίου λ᾽, ἰουλίου λα᾽, αὐγούστου λα᾽, σεπτεμβρίου λ᾽, ὀκτωβρίου λα᾽, νοεμβρίου λ᾽, δεκεμβρίου λα᾽, ἰανουαρίου ς᾽· γίνονται σπέ. ταύτας παρὰ τὸν ζ᾽· ἑπτάκις μ᾽ γίνονται σπ᾽· λοιπὸν ε᾽.
C Ἔγνωμεν οὖν ὡς ἐν πέμπτῃ τῆς ἑβδομάδος ἡμέρᾳ ἐβαπτί-

5. τῆς om. P. *ib.* τῶν ὑδάτων P. 15. ἐπακταί uncis includit P sola, tacente V. 17. ἐπακτὰς uncis includit P. 20. ταύτας] (ταύτας εἰς ζ) praeponit R, ταῦταί εἰσιν ζ P.

Abraham, cum annum is ageret LXXV. propter servitutem in Aegypto, et ibidem futuram liberationem filiorum Israel.

Et Joannes benedicens aquas, dixit: *Vox Domini super aquas, Deus gloriae innotuit, Dominus super aquas multas.* Factum est autem, postquam universus populus baptizatus est, ut Jesu baptizato, ipsoque precante, coelum aperiretur et super eum descenderet Spiritus sanctus forma corporea, veluti columba, et vox de coelo fieret, dicens: *Tu es filius meus dilectus, in te mihi complacui.*

Porro si nosse velimus, quis fuerit hebdomadis dies quando Dominus baptizatus est, ponimus v. MDXXXVI. annos: his addimus quartam partem: prodeunt VI. MDCCCCXX. hos per VII. dividimus, septies DCCCC. faciunt VI. MCCC. septies LXXX. producunt DLX. septies VIII. generant LVI. relinquuntur IV. quibus addimus illos a die primi mensis Nisan, usque ad diem quo Dominus baptizatus est.

Hac ratione habes epactas IV. Aprilis XXX. Maii XXXI. Junii XXX. Julii XXXI. Augusti XXXI. Septembris XXX. Octobris XXXI. Novembris XXX. Decembris XXXI. Januarii VI. fiunt CCLXXXV. hae sunt VII. has divide per VII. septies XL. efficiunt CCLXXX. reliqua sunt V.

Intelligimus ergo quinto hebdomadis die baptizatum fuisse Christum

σθη ὁ Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν ἐν τῷ Ἰορδάνῃ ποταμῷ, καθ' ἣν πέμπτην ἡμέραν ἐν ἀρχῇ τῆς τοῦ κόσμου γενέσεως αὐτὸς ὁ τῶν ἁπάντων δεσπότης καὶ δημιουργὸς προσέταξεν ἐξαγαγεῖν τὰ ὕδατα, ἑρπετὰ ψυχῶν ζωσῶν, αὐτὸς ἐπὶ συντελείᾳ τῶν αἰώνων, ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐβαπτίσθη ἐν ὕδατι καὶ ἡγίασεν τὸ ὕδωρ καὶ σωτήριον αὐτὸ καὶ ζωοποιὸν ἡμῖν ἀπειργάσατο. μετὰ δὲ τὸ βαπτισθῆναι ἀνήχθη ὑπὸ τοῦ πνεύματος εἰς τὴν ἔρημον πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, ὡς ἱστορεῖ τὰ θεῖα εὐαγγέλια, καὶ νηστεύσας ἡμέρας μ' καὶ νύκτας μ', καὶ πειρασθεὶς ὑπὸ τοῦ διαβόλου, καὶ νικήσας τὸν πειράζοντα, παρεγένετο εἰς τὴν Γαλιλαίαν, κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ καλέσας τοὺς μαθητὰς πιστεύσαντας καὶ δεξαμένους τὸ κήρυγμα τῆς εὐσεβείας ἀνῆλθε μετ' αὐτῶν εἰς Ἱεροσόλυμα ἑορτάσαι τὸ νομικὸν πάσχα. V 169 D

Εἶτα θέλοντες γνῶναι πόστῃ τοῦ μηνὸς ἔφθασεν κατὰ τὸ παρὸν ,εφλζ' ἔτος, ἀρχὴν εἰληφὸς ἀπὸ κα' τοῦ μαρτίου μηνός, ἢ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης, τὰ ,εφλς' ποιοῦμεν παρὰ τὸν ιθ'· ιθ' σ' γίνονται ,γω'· ιθ' ϛ γίνονται ,αψι'· ιθ' α' γίνονται ιθ'· λοιπὸν ζ'· ταύτας ἐπὶ τὸν ια', γίνονται οζ'· ἔκβα β' λ'· γίνονται ξ'· λοιπὸν ιζ'· πρόσβαλε ταύταις ιγ' τὰς πρὸ τῶν φωστήρων, προσελήνους ζ', καὶ ζ' τὰς ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου μηνός, γίνονται μδ'· ἔκβα λ', λοιπὸν ιδ'. ἔφθασεν ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης τῇ κζ' τοῦ μαρτίου μηνός. R 500 P 211

3. πάντων R. 14. πόσῃ P. 22. κζ] ιζ R.

verum Deum nostrum in Jordane fluvio: quo quidem die quinto, in mundi conditi exordio, ipse universorum Dominus et conditor praecepit aquis ut educerent reptilia animarum viventium, ipse vero in consummatione saeculorum hoc ipso die baptizatus est in aqua, et consecravit aquam, et salutarem illam et vivificam nobis effecit. Postquam autem est baptizatus, ductus est a spiritu in desertum ut tentaretur a diabolo, uti sacra narrant Evangelia: et cum jejunasset dies XL. et XL. noctes, et tentatus fuisset a diabolo, illo devicto, venit in Galilaeam, praedicans Evangelium regni (Dei), vocatisque discipulis credentibus, quique praedicationem pietatis receperant, ascendit cum iis Hierosolyma, ut legale Pascha celebraret.

Jam vero si velimus intelligere quota mensis hoc praesenti anno v. MDXXXVII. extiterit, initio a XXI. mensis Martii sumpto, XIV. primi mensis Lunae, v. MDXXXVI. facimus per XIX. et ducimus CC. in XIX. fiunt III. MDCCC. deinde XIX. XC. creant MDCCX. duc I. in XIX. reliqua sunt VII. rursum VII. duc in XI. fiunt LXXVII. abjice bis XXX. fiunt LX. reliqua sunt XVII. adjice his XIII. illas anteluminarium antelunares, et VII. a XXI. mensis Martii, fiunt XLIV. abjice XXX. relinquuntur XIV. proinde incidit XIV. mensis Lunae XXVII. mensis Martii.

Εἶτα θέλοντες γνῶναι καὶ ποίᾳ ἡμέρᾳ ἔφθασεν ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης, τοῖς ,εφλς' προστίθεμεν τὸ τέταρτον ,ατπδ'· γίνονται ,ςϡκ'. ταύτας εἰς ζ'· ζ' ϡδ' γίνονται ,ςτ'· ζ' π' γίνονται φξ'· ζ' η' γίνονται νς'· λοιπὸν δ' ἐπακταί. ταύταις πρόσβαλε γ' τὰς πρὸ τῶν φωστήρων καὶ ζ' τὰς ἀπὸ κα' καὶ
B *αὐτῆς τοῦ μαρτίου μηνός, γίνονται ιδ'. ταύτας παρὰ τὸν ζ'· ἔκβα ζ', λοιπὸν ζ'. ἔγνωμεν οὖν ὡς κατὰ τὸ παρὸν ἔτος ἔφθασεν ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης τῇ κζ' τοῦ μαρτίου μηνὸς καὶ ἐν σαββάτῳ. ἡ δὲ ιε' τοῦ πρώτου μηνὸς τῆς σελήνης, ἣν πρώτην τῶν ἀζύμων ὁ θεῖος προσαγορεύει νόμος, ἔφθασεν ἐν*
ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος, τουτέστιν κυριακῇ, ἥ ἐστιν ἡμέρα δευτέρα τοῦ σαββάτου· εἴωθεν γὰρ ἡ θεόπνευστος γραφὴ ἑκάστην ἡμέραν ἀνάπαυσιν ἔχουσαν σάββατον ὀνομάζειν. σάββατον οὖν καλεῖ οὐ μόνον τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης φθάσασαν ἐν σαββάτῳ, ἀλλὰ καὶ τὴν ιε' τοῦ πρώτου μηνὸς τῆς
C *σελήνης, ἥτις ἐστὶν πρώτη τῶν ἀζύμων ἡμέρα, καὶ αὐτὴν ἐν ἡμέρᾳ πρώτῃ φθάσασαν, καὶ τὴν κα' τοῦ αὐτοῦ μηνός, ἥτις ἐστὶν ἑβδόμη μὲν ἡμέρα τῆς ἑορτῆς τῶν ἀζύμων, ἑβδόμη δὲ τῆς ἑβδομάδος ἡμέρα. τοῦτο οὖν τὸ πάσχα δηλῶσαί μοι δοκεῖ ὁ θεῖος εὐαγγελιστὴς Λουκᾶς, ἐν οἷς φησιν, Ἐγένετο ἐν σαββάτῳ δευτεροπρώτῳ διέρχεσθαι τὸν Ἰησοῦν καὶ τοὺς μαθητὰς αὐτοῦ διὰ τῶν σπορίμων, τοὺς δὲ μαθητὰς τίλλοντας τοὺς στάχυας ἐσθίειν.*

1. *ποία ἡμέρα* PV. 2. *τοῖς*] *τῆς* R. 4. *ἐπακταὶ* uncis inclusit P. 9. *καὶ* om. P. *ib.* *ιε'* post *μηνὸς* ponit P. 11. *ἐστι* P, *ις'* RV. 13. *ἀπάπανσιν* P. 14. *πρώτου* om. P. 20. *φησιν*] VI. 1.

Si velimus etiam nosse in qualem diem inciderit XIV. mensis Lunae, v. MDXXXVI. addimus quartam partem MCCCLXXXIV. fient VI. MDCCCCXX. has divide in VII. VII. in DCCCC. fient VI. MCCC. deinde VII. in XXC. fient DLX. rursum VII. in VIII. fient LVI. reliquae sunt epactae IV. his adde III. anteluminares, et VII. a XXI. mensis Martii, fient XIV. ab his praeter VII. abjice VII. remanebunt VII. Igitur colligimus hoc praesenti anno XIV. primi mensis Lunae XXVII. die Sabbato mensis Martii occurrere. Primi vero mensis XV. Lunae, quem primum Azymorum vocat lex divina, occurrit feria I. hebdomadis, hoc est Dominica, quae est dies II. a Sabbato: solet enim a Deo inspirata scriptura unumquemque diem feriatum Sabbatum appellare. Sabbatum igitur appellat, non modo XIV. mensis lunae sabbato occurrentem, sed etiam XV. primi mensis lunae, qui est primus Azymorum dies, illumque primo die occurrentem, et XXI. ejusdem mensis diem, qui est septimus Festi Azymorum, septimus vero hebdomadis dies. Illud porro Pascha indicasse mihi videtur divinus Evangelista Lucas, cum ait: *Factum est autem in Sabbato Secundo-primo cum Jesus transiret per sata cum Discipulis suis, qui vellebant spicas, ut manducarent.* Vocat autem Secundo-primum Sabbatum, non solum quod septi-

δευτερόπρωτον δὲ σάββατον καλεῖ τοῦτο τὸ σάββατον, οὐ μόνον ὡς ἑβδόμης ἡμέρας οὔσης, ἐν ᾗ ἡ πρώτη τῶν ἀζύμων εὑρέθη, ἀλλὰ καὶ διὰ τὸ ἀπ' αὐτῆς ἀριθμεῖν τὰς ν' ἡμέρας, καὶ ἑορτάζειν τὴν ἑορτήν, ἣν ἑορτὴν τῶν ἑβδομάδων ὁ θεῖος προσαγορεύει νόμος. ἑπτὰ R 502
οὖν σαββάτων ὄντων ἐν τούτῳ τῷ ἔτει τῆς πεντηκοστῆς, ἅτε ἀπὸ D
σαββάτου ἀρχομένης καὶ εἰς σάββατον συμπληρουμένης, πρῶτον ἦν σάββατον τῶν ἑπτὰ σαββάτων καὶ τελευταῖον πάλιν τοῦ ὅλου ἀριθμοῦ· διὰ ταύτας τὰς αἰτίας ἐν τούτῳ τῷ πάσχα τὸν κύριον μετὰ τῶν μαθητῶν διερχόμενον διὰ τῶν σπορίμων δηλῶσαι βουλόμενος ὁ εὐαγγελιστὴς εἴρηκεν ὅτι ἐν σαββάτῳ δευτεροπρώτῳ διήρχετο διὰ τῶν σπορίμων ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ.

Ὅτι δὲ ὁ θεῖος νόμος τὴν μὲν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης πάσχα προσαγορεύει, τὴν δὲ ιε' πρώτην τῶν ἀζύμων καὶ V 170
σάββατον ὀνομάζει, πρὸς δέ γε καὶ τὴν ις' πρώτην τῆς πεντηκοστῆς ἡμέραν καλεῖ, διδάσκει σαφῶς ἡ θεόπνευστος γραφή. ἐν γὰρ τῷ Λευιτικῷ γέγραπται ἐπὶ λέξεως οὕτως. „αὗται αἱ ἑορταὶ P 212
τῷ κυρίῳ κληταὶ ἅγιαι, ἃς καλέσετε αὐτὰς ἐν τοῖς καιροῖς αὐτῶν. ἐν τῷ πρώτῳ μηνὶ ἐν τῇ ιδ' ἡμέρᾳ τοῦ μηνὸς ἀνὰ μέσον τῶν ἑσπερινῶν πάσχα τῷ κυρίῳ. ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε. καὶ ἡ ἡμέρα ἡ πρώτη κλητὴ ἁγία ἔσται ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε, καὶ προσάξετε ὁλοκαυτώματα τῷ κυρίῳ ἑπτὰ ἡμέ-

2. ἡ om. P. 6. συμπληρουμένης πρῶτον ἦν σάββατον om. P. 17. Λευιτικῷ] XXIII. 4. 18. κληταὶ] καὶ αὗται PV. ib. καλέσετε] καλέσουσιν V. 19. μέσον] μέσων R. 22. ὁλοκαύτωμα P.

mus sit dies, quo primus Azymorum inventus est, sed etiam quod ab eo L. dies putarentur, festumque celebraretur: quod quidem festum lex divina Festum hebdomadum appellat. Cum ergo VII. Sabbata extent in hoc quinquagesimae anno, ut quae a Sabbato initium ducat, et in Sabbatum septem Sabbatorum rursum totius numeri finis desinat, eapropter hoc Paschate cum discipulis per sata transiisse Dominum volens indicare Evangelista, dixit, eum in Sabbato Secundo-primo cum discipulis suis per sata transiisse.

Quod vero divina lex XIV. primi mensis Lunae Pascha apellet, XV. autem, primum Azymorum, et Sabbatum vocet: praeterea XVI. primum quinquagesimae diem, diserte docet a Deo inspirata scriptura. Sic enim ad verbum scribitur in Levitico: *Hae sunt feriae Domini sanctae, quas vocabitis ipsas temporibus suis. Mense primo, quartadecima die mensis inter vespertina Phase Domino: septem diebus comedetis azyma. Et dies prima vocata sancta erit vobis. Omne opus servile non facietis, et offeretis sacrificium in igne Domino septem diebus. Et dies septima vocata sancta vobis erit. Omne opus servile non facietis. Quando vero ingressi*

ρας. καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. ὅταν δὲ εἰσέλθητε εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ θερίζητε τὸν θερισμὸν αὐτῆς, καὶ οἴσετε τὸ δράγμα, ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν, πρὸς τὸν ἱερέα, καὶ
B ἀνοίσει τὸ δράγμα ἔναντι κυρίου δεκτὸν ὑμῖν, καὶ τῇ ἐπαύριον τῆς πρώτης ἀνοίσει αὐτὸ ὁ ἱερεύς. καὶ ἀριθμήσετε ὑμῖν ἀπὸ τῆς ἐπαύριον τῆς πρώτης τῶν σαββάτων ἀπὸ τῆς ἡμέρας, ἧς ἂν προσενέγκητε τὸ δράγμα τοῦ ἐπιθέματος, ἑπτὰ ἑβδομάδας ὁλοκλήρους ἀριθμήσεις ἕως τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομάδος, ἀριθμήσετε πεντήκοντα ἡμέρας, καὶ προσοίσετε θυσίαν νέαν τῷ κυρίῳ, καὶ καλέσετε ταύτην τὴν ἡμέραν κλητήν· ἁγία ἔσται ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ."

Εἴτε οὖν τὴν ιε΄ τῆς σελήνης, ὡς ἐν σαββάτῳ φθάσασαν, μετὰ τὸ θῦσαι τὸν ἀμνόν, δεύτερον ὠνόμασε σάββατον ὁ εὐαγ-
R 504 γελιστής, εἴτε ὡς πρώτην οὖσαν τῆς πεντηκοστῆς, ἤγουν τῶν
C ἑπτὰ τῆς ἐν τούτῳ τῷ ἔτει πεντηκοστῆς, πανταχόθεν φαίνεται ὅτι τὴν ἐν τούτῳ τῷ ἔτει τοῦ πάσχα ἑορτὴν δηλῶσαι βουλόμενος ὁ εὐαγγελιστὴς δευτερόπρωτον ὠνόμασε σάββατον. τοῦτο τὸ πάσχα ἐδήλωσεν καὶ ὁ θεολόγος καὶ εὐαγγελιστὴς Ἰωάννης μετὰ τὸ πρῶτον ἐν Κανᾷ τῆς Γαλιλαίας θαῦμα, ὅτε τὸ ὕδωρ οἶνος ἐγένετο, λέγων οὕτως, Ταύτην ἐποίησεν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ

4. καὶ om. P. 6. τῆς ἐπαύριον] ἐπαύριον P. 13. εἶτα P. 17. τὴν om. P. *ib.* δηλῶσαι] διπλῶσαι PV. 19. καὶ prius om. P. *ib.* Ἰωάννης] II. 11.

fueritis terram, quam ego do vobis, et messueritis segetem ejus, et afferetis manipulum, primitias messis vestrae, ad Sacerdotem, et levabit fasciculum coram Domino ut acceptabile sit pro vobis. Et crastina a primo offeret illum Sacerdos. Et numerabitis vobis a postero die prima Sabbatorum, a die qua obtuleritis manipulum impositionis. Septem hebdomadas plenas numerabis usque ad crastinum ultimae hebdomadis, numerabitis quinquaginta dies, et offeretis sacrificium novum Domino, et vocabitis diem hanc vocatam: sancta erit vobis. Omne opus servile non facietis in ea.

Sive igitur XV. lunae, ut quae in Sabbatum incideret, post sacrificatum agnum, Secundum appellavit Sabbatum Evangelista; sive quod esset prima Quinquagesimae, seu VII. Sabbatorum quae hoc anno in Quinquagesima extitere, omnimodo apparet, cum eo ipso anno Paschatis festum duplicare voluisset Evangelista, Secundo-primum appellasse Sabbatum. Hocce Pascha indicavit Theologus et Evangelista Joannes, post primum in Cana Galilaeae miraculum, quando aqua vinum facta est, cum ita ait: *Hoc fecit initium signorum Jesus in Cana Galilaeae, et manifestavit gloriam suam, et crediderunt in eum discipuli ejus. Post hoc*

καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ. μετὰ τοῦτο ἀνέβη εἰς Καπερναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ μαθηταὶ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ. καὶ ἔμειναν οὐ πολλὰς ἡμέρας, καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. D

Πρῶτον οὖν πάσχα νομικὸν ἑόρτασε σὺν τοῖς μαθηταῖς μετὰ τὸ βαπτισθῆναι ὁ κύριος ἐν τῷ ὀγδόῳ ἔτει τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης καὶ κα΄ τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου, ὄντος ἀρχιερέως ἐν Ἱερουσαλὴμ Ἰσμαήλου τοῦ Βάφει.

Εἰσὶν δὲ τῶν μαθητῶν αἱ προσηγορίαι, ὧν ἐξελέξατο ὁ κύριος, οὕτως.

α΄. Σίμων Πέτρος ὁ τῶν ἀποστόλων κορυφαῖος.

β΄. Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ.

γ΄. Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου.

δ΄. Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς, ὁ εὐαγ- P 213
γελιστής.

ε΄. Φίλιππος.

ς΄. Βαρθολομαῖος.

ζ΄. Θωμᾶς.

η΄. Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, ὁ ἀδελφὸς τοῦ κυρίου κατὰ σάρκα, ὁ ἐπικληθεὶς δίκαιος.

θ΄. Ματθαῖος ὁ εὐαγγελιστής.

5. ἡόρτασε P. 6. ἐννεακαιδεκα] ιθ΄ P. 7. ὀκτωκαιεικοσα] η΄ καὶ κ΄ P. 10. ὁ om. P. 11. οὕτως] αὗται P. Conf. p. 27. B. 15. δ΄] δ΄ καὶ V. *ib.* ὁ Ἰησοῦς] Ἰησοῦς P. *ib.* ὁ] ὃς PV. 20. ὁ ἀδελφὸς τοῦ] ἀδελφὸς P.

ascendit Capharnaum ipse et mater ejus, et discipuli ejus, et fratres ejus, et ibi manserunt non multos dies, et prope erat Pascha Judaeorum, et ascendit Jesus Hierosolymam.

Primum ergo Pascha legale cum Discipulis suis, postquam baptizatus est, celebravit Dominus, anno VIII. naturalis decemnovennalis cycli lunae, et XXI. naturalis vigintioctennalis cycli solis, cum summus esset Pontifex Hierosolymis Ismael Baphi.

Sunt autem discipulorum quos elegit Dominus nomina haec.

I. Simon Petrus, Apostolorum Princeps.

II. Andreas, frater Petri.

III. Jacobus, Zebedaei frater.

IV. Joannes, frater ejus, quem dilexit Jesus, qui fuit Evangelista.

V. Philippus.

VI. Bartholomaeus.

VII. Thomas.

VIII. Jacobus Alphaei, frater Domini secundum carnem, qui dictus est justus.

ι'. Θαδδαῖος ὁ καὶ Λεβαῖος, ὁ ἐπικληθεὶς Βαρσαβάς.
V 171 ια'. Σίμων ὁ Κανανίτης ὁ ἐπικληθεὶς Ἰούδας, Ἰακώβου.
B ιβ'. Ἰούδας Ἰσκαριώτης.
R 506 Τούτους τοὺς ιβ' μαθητὰς ἔχων ὁ κύριος τῶν λοιπῶν αὐτοῦ μαθητῶν κατά τι γέρας ἐξαίρετον ἀποστόλους ὠνόμασεν.

Καὶ αὖθις ἀναδείκνυσιν ἑτέρους ο', ὧντινων καὶ αὐτῶν αἱ προσηγορίαι εἰσὶν αἵτται.

α'. Ματθίας, ὃν ἀνέδειξεν ὁ κύριος, ὃ καὶ συγκαταριθμηθεὶς μετὰ τῶν ια' ἀποστόλων μετὰ τὸ ἀναληφθῆναι τὸν κύριον ἀντὶ Ἰούδα τοῦ Ἰσκαριώτου, ὡς περιέχουσιν αἱ Πράξεις.

β'. Σωσθένης, οὗ μέμνηται Παῦλος Κορινθίοις ἐπιστέλλων.
C γ'. Κηφᾶς, ὁμώνυμος Πέτρου, ᾧ καὶ ἐμαχήσατο Παῦλος κατὰ Ἰουδαϊσμοῦ.

δ'. Λίνος, οὗ μέμνηται Παῦλος Τιμοθέῳ γράφων.

ε'. Κλεωπᾶς, οὗ μέμνηται εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον.

ς'. Ἀκύλας.

ζ'. Ἐπαίνετος.

η'. Ἀνδρόνικος.

θ'. Ἀμπλίας.

ι'. Οὐρβανός.

2. ὁ *Κανανίτης*] *Κανανίτης* P. 3. *ιβ'*] *ιβ' καὶ* V. 4. *κύριος*] *Χριστὸς* P. 7. *εἰσὶν* om. P. 9. *ια'*] *ιβ'* P sola. 13. *Πέτρῳ* P.

IX. Matthaeus Evangelista.
X. Thaddaeus, qui et Lebaeus, cognominatus Barsabas.
XI. Simon Cananites, dictus Judas, Jacobi F.
XII. Judas Iscariotes.

Hos XII. discipulos cum haberet Christus, hos prae caeteris suis Discipulis, singulari quadam praerogativa Apostolos nominavit.

Rursum alios LXX. designavit, quorum pariter haec sunt nomina.

I. Matthias, quem Dominus designavit, qui aliis XI. Apostolis annumeratus est, postquam Dominus est assumptus, loco Judae Iscariotae, ut Acta continent.
II. Sosthenes, cujus meminit Paulus ad Corinthios scribens.
III. Cephas, Petro cognominis, cum quo congressus est Paulus de Judaïsmo.
IV. Linus, cujus meminit Paulus ad Timotheum scribens.
V. Cleopas, cujus meminit Evangelium secundum Matthaeum.
VI. Aquilas.
VII. Epaenetus.
VIII. Andronicus.
IX. Amplias.
X. Urbanus.

ια'. Στάχυς. D
ιβ'. Ἀπελλῆς.
ιγ'. Ἡρωδίων.
ιδ'. Ἀριστόβουλος.
ιε'. Νάρκισσος.
ις'. Ῥοῦφος.
ιζ'. Ἀσύγκριτος.
ιη'. Φλέγων.
ιθ'. Ἑρμᾶς.
κ'. Πατροβᾶς.
κα'. Ἑρμῆς.
κβ'. Φιλόλογος.
κγ'. Νηρεύς. P 21
κδ'. Ὀλυμπᾶς.
κε'. Λούκιος.
κς'. Ἰάσων.
κζ'. Σωσίπατρος.
κη'. Τέρτιος.
κθ'. Γάϊος.
λ'. Ἔραστος.
λα'. Κούαρτος, ὧν μέμνηται Παῦλος Ῥωμαίοις ἐπιστέλλων.

1. Νιρεύς V. 10. Πατρωβᾶς PV. 21. ὧν] οὗ P, ὃν V.

XI. Stachys.
XII. Apelles.
XIII. Herodion.
XIV. Aristobulus.
XV. Narcissus.
XVI. Rufus.
XVII. Asyncritus.
XVIII. Phlegon.
XIX. Hermas.
XX. Patrobas.
XXI. Hermes.
XXII. Philologus.
XXIII. Nereus.
XXIV. Olympas.
XXV. Lucius.
XXVI. Jason.
XXVII. Sosipater.
XXVIII. Tertius.
XXIX. Gaius.
XXX. Erastus.
XXXI. Quartus, cujus meminit Paulus ad Romanos scribens.

λβ'. Ἀπολλῶς.
λγ'. Στεφανᾶς.
B λδ'. Φουρτουνᾶτος.
λε'. Ἀχάϊκος, ὧν μέμνηται Παῦλος εἰς τὴν πρὸς Κορινθίους α' ἐπιστολήν.
R 508 λς'. Τύχικος, οὗ μέμνηται Παῦλος Ἐφεσίοις γράφων.
λζ'. Κλήμης, οὗ μέμνηται Παῦλος εἰς τὴν πρὸς Φιλιππησίους.
λη'. Ἐπαφρόδιτος.
λθ'. Ὀνήσιμος.
μ'. Ἀρίσταρχος.
μα'. Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος.
μβ'. Δημᾶς.
C μγ'. Νυμφᾶς.
V 172 μδ'. Ἄρχιππος, ὧν μέμνηται Παῦλος εἰς τὴν πρὸς Κορινθίους.
με'. Ὀνησίφορος.
μς'. Κρήσκης.
μζ'. Ἔραστος.
μη'. Τρόφιμος.
μθ'. Εὔβουλος.

2. Στέφανος P. 4. οὗ P, ὃν RV. 5. α' om. P. 6. οὗ P, ὃν V. 7. Φιλιππισίους P. 15. οὗ P, ὃν V. *ibid.* τοὺς Κορινθίους P. Scribe Κολοσσαεῖς (IV. 15. 17.).

XXXII. Apollo.
XXXIII. Stephanus.
XXXIV. Fortunatus.
XXXV. Achaicus, cujus meminit Paulus in Epistola ad Corinthios.
XXXVI. Tychicus, cujus meminit Paulus ad Ephesios scribens.
XXXVII. Clemens, cujus meminit Paulus in Epistola ad Philippenses.
XXXVIII. Epaphroditus.
XXXIX. Onesimus.
XL. Aristarchus.
XLI. Jesus, dictus Justus.
XLII. Demas.
XLIII. Nymphas.
XLIV. Archippus, cujus meminit Paulus in Epistola ad Corinthios.
XLV. Onesiphorus.
XLVI. Crescens.
XLVII. Erastus.
XLVIII. Trophimus.
XLIX. Eubulus.
L. Pudens, cujus meminit Paulus in Epistola secunda ad Timotheum.

ν'. Ποῦδης, ὧν μνημονεύει Παῦλος εἰς τὴν πρὸς Τιμόθεον β' ἐπιστολήν.

να'. Ἀρτεμᾶς.

νβ'. Τύχικος.

νγ'. Ζηνᾶς ὁ νομικός, ὢντινων εἰς τὴν πρὸς Τίτον ἐπιστολὴν Παῦλος ἐμνημόνευσεν. D

νδ'. Φιλήμων.

νε'. Ἐπαφρᾶς.

νς'. Δημᾶς, ὢντινων καὶ αὐτῶν εἰς τὴν πρὸς Φιλήμονα Παῦλος ἐπεμνήσθη.

Τοὺς δὲ λοιποὺς ιδ' εὑρίσκεις ἅμα Παύλῳ συνανειλημμένους μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου.

Ἀπὸ Ἀδὰμ ἐπὶ τὸν κατακλυσμὸν ἔτη βσξβ'.

Ἀπὸ τοῦ κατακλυσμοῦ ἐπὶ τὴν ἔξοδον ἔτη ,αφοέ'.

Ἀπὸ τῆς διὰ Μωϋσέως ἐξ Αἰγύπτου πορείας ἐπὶ τὴν πρώ- P 215
την οἰκοδομὴν τοῦ ναοῦ, ἥτις ἀρχὴν ἔλαβε μετὰ τὸ τρίτον ἔτος Σολομῶνος, ἔτη χιδ'.

Ἀπὸ τετάρτου ἔτους Σολομῶνος, ἤγουν τῆς πρώτης ἐπισκευῆς τοῦ ναοῦ ἐπὶ Κῦρον βασιλέα Περσῶν ἔτη υπ' καὶ μῆνες γ'.

Ἀπὸ Κύρου βασιλέως Περσῶν ἐπὶ Ἀλέξανδρον Μακεδόνα ἔτη σμη' καὶ μῆνες θ'.

Ἀπὸ Ἀλεξάνδρου Μακεδόνος ἕως τοῦ παρόντος ιε' ἔτους

1. ὧν] ὃν PV. 6. ὁ Παῦλος P. 11. συναναλελημμένους P, συναλειλημμένους R, συνειλημμένους m. R. 14. ἔτη om. P.

LI. Artemas.

LII. Tychicus.

LIII. Zenas, Jurisperitus; quorum Paulus meminit in Epistola ad Titum.

LIV. Philemon.

LV. Epaphras.

LVI. Demas, quorum meminit Paulus in Epistola ad Philemonem.

Reliquos XIV. invenies comprehensos una cum Paulo post Domini in coelum ascensum.

Ab Adam usque ad diluvium, anni II. MCCLXII.

A diluvio usque ad exitum ex Aegypto, MDLXXV.

A profectione duce Moyse ex Aegypto usque ad primam templi aedificationem, quae post tertium annum Solomonis coepta est, anni DCXIV.

A quarto anno Solomonis, sive prima aedificatione templi, usque ad Cyrum Persarum Regem, an. CCCCLXXX. et menses III.

A Cyro Persarum Rege usque ad Alexandrum Macedonem, anni CCXLVIII. et menses IX.

Τιβερίου Καίσαρος καὶ τὴν καταρχὴν τοῦ σωτηρίου κηρύγματος,
B *ἣ γέγονε κατὰ τὸ παρὸν ἔτος ιε', ἔτη τνς'.*
R 510 *Ὁμοῦ ἀπὸ Ἀδὰμ ἕως τοῦ παρόντος ἔτους πεντεκαιδεκάτου Τιβερίου Καίσαρος, ἤγουν τῆς εἰκάδος καὶ αὐτῆς τοῦ μαρτίου μηνός, ἔτη ,εφλζ' πλήρη.*

Μετὰ τὸ βάπτισμα ἐνδιέτριψεν ὁ κύριος εἰς τὰς ἰάσεις ἕτερα γ' ἔτη συναναστρεφόμενος τοῖς μαθηταῖς αὐτοῦ. καὶ τὰ περὶ τούτου Λουκᾶς φανεροῖ, λέγων ὅτι Εἶπεν ὁ κύριος διὰ Ἡρῴδην, Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ, Ἰδοὺ ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειοῦμαι, διὰ τούτων τὰ τρία ἔτη σημαίνων. τὸ δὲ εἰπεῖν Σήμερον δείκνυ-
C *σιν ὅτι τῷ πρώτῳ ἐνιαυτῷ τῶν ἰάσεων αὐτοῦ ταῦτα ἐδήλωσεν τῷ Ἡρῴδῃ. τοῦτο δὲ αὐτὸ καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς δηλοῖ ἀπὸ πάσχων εἰς πάσχα τρία ἔτη καὶ αὐτὸς ἐν ταῖς ἰάσεσιν αὐτοῦ.*

Ἰνδ. β'. ις'. ὑπ. Οὐεννικίου καὶ Λογγίνου.

Ἐν τῷ παρόντι ,εφλη' ἔτει γενέσεως κόσμου, ἀρχὴν εἰληφότι ἀπὸ κα' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, δεύτερον νομικὸν ἐπετέλεσε πάσχα μετὰ τὸ βαπτισθῆναι ὁ κύριος κατὰ τὸ ἔνατον ἔτος τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης καὶ κατὰ τὸ κβ' ἔτος τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδυς τοῦ ἡλίου.

1. *Τιβερίου -- σωτηρίου*] (*Τιβερίου*) *καὶ εἰς τὴν καταρχὴν τοῦ σωτηρίου* P, solum (*Τιβερίου*) R. *Ἕως* simul cum genitivo et accusativo est etiam p. 283. B. 4. *ἀπὸ τῆς* P sola. 5. *πλήρης* V, *πλήρεις* P, om. R. Conf. p. 306. B. 7. *γ' ἔτη*] *ἔτη τρία* P. 8. *λέγων*] XIII. 32. *ib. ὁ* om. P. 14. *πάσχων εἰς* om. P. 19. *ἔννατον* P. 20. *ἔτος* om. P. *ibid. ἡ καὶ κ' ετηρίδος* P.

Anni a m. c. Ab Alexandro Macedone usque ad praesentem xv. (Tiberii) annum, et initium praedicationis Christi hoc an. xv. coeptae, anni CCCLVI.

Ab Adam vero usque ad praesentem annum xv. Tiberii Caesaris, sive ad ipsum xx. mensis Martii, colliguntur anni integri v. MDXXXVII.

Post Baptismum, tres alios annos morbis curandis insumpsit Dominus, dum cum discipulis suis conversaretur. Atque haec de eo declarat Lucas, ubi ait: *Dominus dixit de Herode, Euntes, dicite vulpi illi, ecce ejicio daemonia, et sanitates perficio hodie et cras, et tertia die consummor.* Per haec, tres annos indicans. Quod autem dixit, *Hodie*, ostendit quod primo anno suarum curationum haec renuntiavit Herodi. Idipsum etiam indicat Joannes Evangelista, dum a Paschate tres annos et ipse in illius sanationibus statuit.

A. C.

5537. 40. XVI. Ind. II. Vennicio et Longino Coss.

Hoc praesenti v. MDXXXVIII. anno a mundo condito, qui initium sumit a XXI. secundum Romanos mensis Martii, secundum legale Pascha celebravit Dominus postquam est baptizatus, anno IX. naturalis novendecennalis cycli lunae, et XXII. naturalis vigintioctennalis cycli solis.

Θέλοντες δὲ γνῶναι πόστῃ τοῦ μηνὸς ἔφθασεν ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης κατὰ τὸ παρὸν ἔτος, εὑρίσκομεν εἰς τὸ ἕνατον ἔτος τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος προσκειμένας ἐπακτὰς κή. ταύταις προστίθεμεν ιγ' τὰς πρὸ τῶν φωστήρων καὶ προσελήνους ζ' καὶ ια' τὰς ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου μηνός, ἀπριλίου ιε'· γίνονται οδ'. ἔκβα δὶς λ'· γίνονται ξ'· λοιπὸν ιδ'. ἔγνωμεν οὖν ὡς κατὰ τὸ παρὸν ἔτος ἔφθασεν ἡ ιδ' τῆς σελήνης τῇ ιε' τοῦ ἀπριλίου μηνός. V 173 D

Εἶτα θέλοντες γνῶναι καὶ τὴν ἡμέραν, ἐν ᾗ ἔφθασεν ἡ ιδ', εὑρίσκομεν κατὰ τὸ κβ' ἔτος τῆς ὀκτωκαιεικοσαετηρίδος προσκειμένας ἐπακτὰς ε', ταύταις συνάπτομεν τὰς πρὸ τῶν φωστήρων γ' καὶ ια' ἀπὸ κα' τοῦ μαρτίου καὶ ἀπριλίου ιε'· γίνονται λδ'. ταύτας ἀνάβαλε εἰς ζ'· ζ' δ' γίνονται κή'· λοιπὸν ς'. ἔγνωμεν οὖν ὡς ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης κατὰ τὸ παρὸν ἔτος ἔφθασεν ἐν ἡμέρᾳ ἕκτῃ. P 216

Τοῦτο τὸ δεύτερον πάσχα φαίνεται δηλῶν ὁ θεῖος εὐαγγελιστὴς Ἰωάννης μετὰ τὸ δεύτερον θαῦμα ὃ ἐποίησεν ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, ἰασάμενος τὸ παιδίον τοῦ βασιλικοῦ, γράφων οὕτως, Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν. μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη Ἰησοῦς εἰς Ἱεροσόλυμα. B

1. *θέλοντες δὲ*] *εἶτα θέλοντες* P, *θέλοντες* R. 3. *ἔνατον* PV. *ib. ιθ' ετηρίδος* P. 4. *πρὸ*] *πρὸς* V. 9. *εἶτα*] *εἰ* P. 10. *ἡ καὶ κ' ετηρίδος* P. 11. *φωτήρων* V. 12. *Μαρτίου μηνὸς* P. 16. *δεύτερον* om. P. 18. *βασιλικοῦ*] *βασιλίσκου* P. 19. *οὕτως*] IV. 54.

Si nosse velimus quota mensis occurrat XIV. primi mensis lunae hoc praesenti anno, inveniemus anno naturalis decemnovennalis cycli adjunctas epactas XXVIII. His addimus anteluminares XIII. et antelunares VII. et XI. a XXI. Martii mensis, Aprilis vero XV. fiunt LXXIV. deme ex his bis XXX. reliqua sunt XIV. Colligimus igitur hoc anno XIV. lunae XV. mensis Aprilis occurrisse.

Si velimus praeterea nosse etiam et diem (seu feriam) qua occurrit XIV. inveniemus XX. anno vigintioctennalis cycli adscriptas epactas V. his addimus anteluminares III. et XI. a XXI. Mensis Martii, et Aprilis XV. fiunt XXXIV. Has divide per VII. septies IV. efficiunt XXVIII. reliqua sunt VI. Intelligimus ergo XIV. primi mensis hoc praesenti anno occurrisse die VI.

Hocce Pascha videtur indicare divinus Evangelista Joannes, post secundum miraculum quod fecit Jesus in Cana Galilaeae, cum reguli puerum sanavit, ubi ita scribit: *Hoc iterum secundum signum fecit Jesus, cum venisset ex Judaea in Galilaeam. Post haec erat festum Judaeorum, et ascendit Jesus Hierosolymam.*

Ἐπειδὴ γὰρ ἐπίσημον καὶ ἐξαίρετον καὶ πρώτην ἑορτὴν Ἰουδαῖοι τὴν τοῦ πάσχα εἶχον, διὰ τοῦτο ὁ εὐαγγελιστὴς ποτὲ μὲν μετὰ προσδιορισμοῦ ταύτης μέμνηται, λέγων, Ἐγγὺς ἦν τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων, ποτὲ δὲ ἀπροσδιορίστως γράφων, Ἦν ἑορτὴ τῶν Ἰουδαίων.

Τὸ β' τοίνυν πάσχα δοκεῖ μοι σημαίνειν ἐνταῦθα εἰπών, Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη Ἰησοῦς εἰς Ἱεροσόλυμα. ἔνθα γὰρ ἑτέρας μνημονεύει τῶν Ἰουδαίων ἑορτῆς, μετὰ προσδιορισμοῦ πάντως ταύτης μέμνηται, ὥσπερ καὶ τῆς ἑορτῆς τῶν σκηνοπηγιῶν, λέγων, Καὶ ἦν ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰου-
C δαίων ἡ σκηνοπηγία, ὄντος ἀρχιερέως Ἐλεαζάρου υἱοῦ Ἀνάνου.

Ἰνδ. γ'. ιζ'. ὑπ. Τιβερίου Καίσαρος τὸ ε' μόνου.

Πάλιν τρίτον νομικὸν πάσχα μετὰ τὸ βαπτισθῆναι ἑορτάζει ὁ κύριος ἐν τῷ ι' ἔτει τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης καὶ κγ' τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡ-
λίου. καὶ θέλοντες γνῶναι πόστῃ τοῦ μηνὸς ἔφθασεν κατὰ τὸ παρὸν ἐφλθ' ἔτος ἀρξάμενον ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου μηνός, εὑρίσκομεν κατὰ τὸ δέκατον ἔτος τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος ἐπακτὸς τῆς σελήνης θ', ταύταις συνάπτομεν τὰς πρὸ τῶν φωστήρων ιγ', προσελήνους ζ', καὶ ια' τὰς ἀπὸ κα' τοῦ μαρτίου μηνὸς καὶ ἀπριλίου δ'· γίνονται μδ'. ἔκβα λ'· λοιπὸν
D ιδ'. ἰδοὺ ἔφθασεν ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης κατὰ τὸ

3. λέγων] VI. 4. 6. εἰπὼν] V. 1. 10. λέγων] VII. 2. 11. Ἀνανίου P. 14. 18. ιθ' ετηρίδος P. 15. η' καὶ κ' ετηρίδος P. 16. κατὰ — ἀρξάμενον om. P. 21. ἔκβα] ἔκβαλε PV.

Anni a m. c. Cum igitur pro celebri et singulari, ac primario festo Pascha apud Judaeos haberetur, ideo Evangelista quidem interdum illius praecise meminit, dum ait: *Prope erat Pascha festum Judaeorum.* Interdum etiam generatim, ut cum scribit: *Erat festum Judaeorum.*

Secundum ergo Pascha is videtur mihi significare, cum hoc loco dicit: *Post haec erat festum Judaeorum, et ascendit Jesus Hierosolymam.* Ubi enim Judaeorum festi alterius meminit, semper illud designat nominatim, ut cum de festo Scenopegiorum loquitur: *Et erat prope festum Judaeorum*, cum Eleazarus, Ananiae filius, esset Pontifex.

A. C. [Ol. Iph.]

5538. 31. XVII. Ind. III. Tiberio Caesare V. Cos. 3.

Rursus tertium legale Pascha post baptismum peregit Dominus anno X. naturalis decemnovennalis cycli lunae, et XXIII. naturalis vigintioctennalis cycli solis. Si velimus nosse quota mensis occurrit a XXI. mensis Martii, reperiemus incidisse in X. annum naturalis decemnovennalis cycli epactas lunae IX. His adjungimus anteluminares XIII. antelunares VII. et XI. ab XXI. Martii mensis, et IV. Aprilis: fiuntque XLIV. abjice XXX. relinquuntur XIV. ecce occurrit XIV. primi mensis lunae hoc praesenti

παρὸν ἔτος τῇ δ' τοῦ ἀπριλίου μηνός. εἶτα καὶ τὴν ἡμέραν γνῶναι βουλόμενοι ἐν ᾗ ἔφθασεν αἰτή, εὑρίσκομεν κατὰ τὸ κγ' ἔτος τῆς ὀκτωκαιεικοσαετηρίδος ἐπακτὰς ς'. ταύταις προστίθεμεν τὰς πρὸ τῶν φωστήρων γ' καὶ ια' τὰς ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου, δ' ἀπριλίου· γίνονται κδ'. ταύτας παρὰ τὸν ζ'· ζ' γ' γίνονται κα'· λοιπὸν γ'. ἔγνωμεν οὖν ὅτι ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς R 514
σελήνης, ἐν ᾗ τὸ νομικὸν ἐπιτελεῖσθαι προστέτακται πάσχα, κατὰ τὸ παρὸν ,εφλθ' ἔτος ἔφθασεν τῇ δ' τοῦ ἀπριλίου μηνὸς καὶ ἐν ἡμέρᾳ γ'.

Τοῦτο τὸ τρίτον πάσχα σημαίνων ὁ θεῖος εὐαγγελιστὴς Ἰω- P 217
άννης, μέλλων τὸ θαῦμα διηγεῖσθαι, ὃ ἐποίησεν ὁ κύριος ἐκ πέντε ἄρτων πεντακισχιλίους ἄνδρας κορέσας, λέγει, Μετὰ ταῦ- V 174
τα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τιβεριάδος, καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, ἔτι ἑώρων τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. ἀνέβη δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. ἦν δὲ ἐγγὺς τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων.

Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ λώῳ κθ' ὁ ἅγιος Ἰωάννης ὁ πρόδρομος καὶ βαπτιστὴς τὴν κεφαλὴν ἀποτέμνεται ὑπὸ Ἡρώδου τοῦ βασιλέως τῆς Ἰουδαίας, υἱοῦ ὄντος τοῦ πρώτου Ἡρώδου, ἀδελφοῦ Ἀρχελάου, δέσμιος εἰς τὸν Μαχαιροῦντα φρούριον πεμφθεὶς B
διὰ Ἡρωδιάδα, περὶ οὗ μνημονεύει ἡ θεία τῶν εὐαγγελίων γρα-

2. ἐν om. P. 3. ἡ καὶ κ' ετηρίδος P. 4. *Μαρτίου μηνὸς* P. 5. τὸν] τῶν RV. 8. ἔτος ,εφλθ' P. 12. *λέγει*] VI. 1. 18. *Λόῳ* PV. 21. *Μαχερουῦντα* PV. 22. *γραφή*] „Matth. XIV. Marc. VI. Luc. III." m. P.

anno IV. Aprilis mensis. Deinde si voluerimus diem nosse seu feriam, qua illa occurrit, invenimus XXIII. anno decemnovennalis cycli epactas VI. his addimus anteluminares III. et XI. hasque a XXI. mensis Martii, et IV. Aprilis, fiuntque XXIV. has per VII. dividimus, septem ter faciunt XXI. supersunt III. Colligimus ergo XIV. primi mensis lunae, qua legale Pascha peragi praecipitur, hoc praesenti anno V. MDXXXIX. in IV. Aprilis incidisse, et in feriam III.

Hoc tertium Pascha indicans divinus Evangelista Joannes, miraculum narraturus, quod fecit Dominus, cum quinque panibus quinque hominum millia saturavit, dicit: *Post haec abiit Jesus trans mare Galilaeae Tiberiadis, et secuta est eum turba multa, quia videbant signa quae faciebat super aegros. Ascendit autem in montem Jesus, et ibi sedebat cum discipulis suis. Erat autem prope Pascha, festum Judaeorum.*

Hoc anno, mense Loo, (Augusto) die XXIX. Sanctus Joannes Praecursor et Baptista capite truncatur ab Herode Rege Judaeae, primi Herodis filio, Archelai fratre: cum vinctus in Macherunta castrum missus fuisset propter Herodiadem: de quo meminit sacra Evangeliorum scriptura. Narrat autem Josephus libro XVIII. Antiquitatum Judaicarum, ut

φή. ἱστορεῖ δὲ καὶ ὁ Ἰώσηππος ἐν ιη' τῆς Ἀρχαιολογίας αὐτοῦ βίβλῳ ὡς διὰ Ἡρωδιάδα, γυναῖκα οὖσαν Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Ἡρώδου, ὁ ἅγιος Ἰωάννης ἀποτέμνεται. ἀθετήσας γὰρ ἔτι ζῶσαν τὴν προτέραν αὐτοῦ γυναῖκα ὁ Ἡρώδης, κατὰ νόμους αὐτῷ γεγαμημένην, Ἀρέτα δὲ ἦν αὕτη τοῦ Πετραίων βασιλέως θυγάτηρ, τὴν δὲ Ἡρωδιάδα ἔτι ζῶντος διαστήσας τοῦ ἀνδρός, δι' ἣν καὶ τὸν Ἰωάννην ἀνεῖλεν, πόλεμον αἴρεῖται ὁ Ἀρέτας πρὸς τὸν Ἡρώδην, ὡς ἠτιμασμένης αὐτοῦ τῆς θυγατρός, ἐν ᾧ πολέμῳ πάντα φασὶ τὸν Ἡρώδου στρατὸν διαφθαρῆναι, καὶ
C ταῦτα πεπονθέναι τῆς ἐπιβουλῆς ἕνεκα τῆς γενομένης κατὰ τοῦ Ἰωάννου. ὁ δὲ αὐτὸς Ἰώσηππος ἱστορεῖ τῆς βασιλείας ἀποπεπτωκέναι τὸν Ἡρώδην διὰ Ἡρωδιάδα· μεθ' ἧς αὐτὸν καὶ εἰς τὴν ὑπερόριον ἀπεληλάσθαι, Λουγδόνον τῆς Σπανίας πόλιν οἰκεῖν καταδικασθέντα, ὄντος ἀρχιερέως ἐν Ἱερουσαλὴμ Σίμωνος τοῦ Καμαθεὶ υἱοῦ.

Ἰνδ. δ'. ιη'. ὑπ. Περσικοῦ καὶ Βιτελλίου.

R 516 Ἰησοῦς ὁ Χριστὸς ὁ τοῦ θεοῦ υἱὸς τρεῖς ἐνιαυτοὺς καὶ ος' ἡμέρας μετὰ τὸ βάπτισμα τοῖς ἑαυτοῦ μαθηταῖς τὰ σωτήρια καὶ
D ἐπουράνια μαθήματα παραδοὺς καὶ τὰς περὶ ἑαυτοῦ προφητείας ἐπὶ τὸ πάθος παρῆει τῷ ιθ' ἔτει τῆς Τιβερίου μοναρχίας, ἀρχὴν εἰληφότι τῇ κα' τοῦ μαρτίου μηνὸς τῆς ἐνισταμένης δ' ἰνδικτιῶ-

1. ὁ om. P. 2. τοῦ om. P. 5. *Πετρέων* PV. 6. *Ἡρωδιάδαν* V. 11. *Ἰώσηππος*] Arch. XVIII. 5. 12. *τὴν Ἡρωδιάδα* P. 13. *ὑπερορίαν* P. 14. *Ἱεροσολύμοις* P. 16. *Βιτελλίου* P sola. 17. *ὁ Χριστὸς*] *Χριστὸς* P. 20. *παρίει* P. 21. *τῇ* P, *τὴν* RV.

Anni a m. c. propter Herodiadem, uxorem Philippi fratris Herodis, capite truncatus fuerit Sanctus Joannes. Dimiserat enim Herodes adhuc superstitem priorem uxorem suam, legitimis sibi nuptiis copulatam: erat autem illa Aretae Petraeorum Regis filia. Herodiadem porro a conjuge adhuc in vivis divulsit, ob quam Joannem sustulit. Herodi vero bellum intulit Aretas, ob injuriam filiae illatam, quo in bello universum Herodis exercitum profligatum, idque ob structas Joanni insidias esse passum aiunt. Idem denique Josephus refert ob Herodiadem regno excidisse Herodem, illumque cum ea relegatum, Lugduni Hispaniae urbe habitare jussum, cum summus esset Pontifex Simon Camathi filius.

A. C. [Ol. Iph.]
5539. 32. XVIII. Ind. IV. Persico et Vitellio Coss. 2. 203.

Jesus Christus, Dei filius, cum annis III. et diebus LXXVI. post baptismum discipulis suis salutaria et coelestia praecepta, editasque de se prophetias tradidisset, ad passionem transiit, Imperii Tiberii anno XIX. initium sumente a Martii mensis XXI. praesente IV. Indictione, et anno XI. naturalis decemnovennalis cycli lunae, et XXIV. anno naturalis vigintioctennalis cycli solis.

νος καὶ ιαʹ ἔτει τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης καὶ κδʹ ἔτει τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου.

Τοῦτο δὲ τὸ δ' πάσχα ἐστίν, ἐν ᾧ πέπονθεν ὑπὲρ ἡμῶν Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν. τοῦτο τὸ πάσχα δηλῶν ὁ εὐαγγελιστὴς Ἰωάννης μετὰ τὸ θαῦμα ὃ ἐποίησεν ὁ κύριος ἐγείρας τὸν Λάζαρον ἐκ νεκρῶν, εἴρηκεν οὕτως, Ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν αὐτόν. Ἰησοῦς οὖν P 218 οὐκέτι παῤῥησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραΐμ λεγομένην πόλιν, κἀκεῖ διέτριβεν μετὰ τῶν μαθητῶν αὐτοῦ. ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβησαν πολλοὶ εἰς Ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς. ἐζήτουν οὖν τὸν Ἰησοῦν, καὶ ἔλεγον μετ' ἀλλήλων ἐν τῷ ἱερῷ ἑστηκότες, Τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; δεδώκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἐντολὴν ἵνα ἐάν τις γνῶ ποῦ ἐστιν, μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν. ὁ οὖν Ἰησοῦς πρὸ ς' ἡμερῶν B τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς, ὃν ἤγειρεν ἐκ νεκρῶν. εἶτα οἱ μακάριοι τοῦ κυρίου μαθηταὶ ἠρώτησαν αὐτὸν λέγοντες ὅτι Ἰδοὺ μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται· ποῦ οὖν θέλεις ἑτοιμάσωμέν σοι; δῆλον οὖν ὅτι οὐ κατὰ V 175 τὸν αὐτὸν χρόνον, ἀλλὰ μέλλοντος ἔσεσθαι τοῦ πάσχα μετὰ δύο ἡμέρας. ὅτι δὲ οὐ κατὰ τὴν ιδʹ ἐπετέλεσεν τὸ πάσχα, ἀλλὰ πρὸ

1. ιθʹ ετηρίδος P. 2. ηʹ καὶ κʹ ετηρίδος P. 4. ὁ κύριος ἀληθινὸς P sola. 5. ὁ om. P. 6. οὕτως] XI. 53. ib. τῆς om. R. 21. ἔδεσθαι P. 22. ἐτέλεσεν R.

Hoc est autem quartum Pascha, quo passus est pro nobis Christus Dominus verus Deus noster. Istud Pascha indicans Evangelista Joannes, post miraculum quod fecit Dominus cum Lazarum a mortuis excitavit, sic dixit: *Ab illo ergo die cogitaverunt quomodo interficerent eum. Jesus ergo jam non palam ambulabat apud Judaeos, sed abiit illinc in regionem juxta desertum, in civitatem quae dicitur Ephrem, et ibi morabatur cum Discipulis suis. Erat autem prope Pascha Judaeorum, et ascenderunt multi Hierosolymam de regione ante Pascha, ut sanctificarent seipsos. Quaerebant ergo Jesum, et colloquebantur ad invicem in templo stantes: Quid vobis videtur, quia non venit ad diem festum? Dederunt autem Pontifices et Pharisaei mandatum, ut si quis cognoverit ubi sit, indicet, ut apprehendant eum. Jesus ergo ante sex dies Paschae venit Bethaniam, ubi Lazarus fuerat mortuus, quem suscitavit ex mortuis.* Deinde beati Domini discipuli interrogaverunt ipsum, dicentes: *Ecce post biduum Pascha fit, ubi vis ergo ut paremus tibi?* Patet igitur non eodem tempore Pascha peregisse, cum Pascha manducandum esset post duos dies. Quod vero XIV. non celebravit Pascha, sed prius typicam peregit coenam, quando sanctificatio Azymorum, et festi praeparatio age-

τούτου τὸ τυπικὸν ἐτέλεσεν δεῖπνον, ὅτε καὶ ὁ ἁγιασμὸς τῶν ἀζύμων καὶ ἡ προετοιμασία τῆς ἑορτῆς ἐγίνετο, εὑρίσκεται τοῖς μαθηταῖς μεταδιδοὺς οὐ θύματος οὐδὲ ἀζύμων, ἀλλ' ἄρτου καὶ ποτηρίου· ὅτε καὶ τῶν μαθητῶν ἀπένιψεν τοὺς πόδας, καθὰ τὰ
C θεόπνευστα διδάσκει λόγια, ὅπερ οὐ κατὰ τὴν Μωσαϊκὴν πρόσ- 5
ταξιν ἐπετελεῖτο. εἰ γὰρ μὴ αὐτὸς ἐγίνετο ἀντὶ τοῦ ἀμνοῦ τοῦ
R 518 κατὰ τύπον καὶ σκιὰν θύματος τοῦ πάλαι παρὰ Μωϋσέως προσταχθέντος θύεσθαι τοῖς εἰς ὕστερον θῦμα, οὐκ ἂν παρῆλθεν τὰ τοῦ Ἰσραὴλ νόμιμα, ἀλλ' εἶχεν ἂν καὶ πρόβατον θύσασθαι καὶ μεταδοῦναι τοῖς μαθηταῖς, καθὰ καὶ εἰς τοὺς πρότερον ἐποι- 10
εῖτο χρόνους, εἰ μὴ ἐπέστη ὁ καιρὸς τῆς συμπληρώσεως τοῦ κατ' αὐτῶν μυστηρίου, καὶ παύσας τὸν τυπικὸν ἀμνὸν τῇ κβ' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, αὐτῇ τῇ ἡμέρᾳ σελήνης ἐχούσης ιγ' ὥρᾳ νυκτερινῇ ε' τῇ ἐπιφωσκούσῃ εἰς εἰκάδα τετάρτην, ὄντος Ἡρώδου τοῦ τετράρχου βασιλέως, ὡς δηλοῖ Λουκᾶς ὁ εὐαγγελι- 15
D στής. ἀποθανόντος γὰρ Ἡρώδου τοῦ τὰ νήπια ἀνελόντος ἡ τούτου μετέπεσεν ἀρχὴ εἰς τοὺς υἱοὺς αὐτοῦ, ὡς ἱστορεῖ Ἰώσηππος, καὶ γίνεται βασιλεὺς τῆς Ἰουδαίας Ἀρχέλαος, βασιλεύσας ἔτη θ'. καὶ μετὰ τὴν τούτου τελευτὴν Ἡρώδης ὁ τετράρχης, ἀδελφὸς αὐτοῦ, βασιλεύει τῆς Γαλιλαίας ἔτη κδ', ἕως τῆς τελευτῆς Τιβε- 20
ρίου. τῆς δὲ Ἰουδαίας Πόντιος Πιλᾶτος ἦν βασιλεύς. Πόντιος δὲ Πιλᾶτος κατὰ τοῦτο ἐπικέκληται, καθότι νῆσός ἐστιν κατὰ θάλασσαν ἐπὶ τὴν πρεσβυτέραν Ῥώμην καλουμένη Πόντος, ἐξ

13. αὐτῇ δὲ τῇ P. *ib.* τῆς σελήνης P. 15. τοῦ om. R. *ib.* Λουκᾶς] XXIII. 17. Ἰώσηππος] Arch. XVII. 8. 23. καλουμένην P.

batur, inde colligitur neque discipulis tradidisse incensum, neque Azyma, sed panem et calicem, quando etiam discipulorum pedes lavit, quemadmodum a Deo inspirata docent oracula, quod quidem ex praecepto Mosaïco non agebatur. Etenim si ille non fuisset loco agni typici et sacrificii, cum olim a Moyse praescriptum esset iis qui venturi erant, ut hostiam immolarent, minime transgressus fuisset leges Israel, sed ovem sacrificasset, et discipulis communicasset, quemadmodum prioribus annis fecerat, nisi horum mysterii explendi tempus adfuisset, quo scilicet agnus typicus desiit, secundum Romanos Martii mensis XXII. ipso vero die lunae habentis XIII. hora nocturna V. illucescente in XXIV. regnante Herode Tetrarcha, ut indicat Lucas Evangelista Extincto enim Herode, qui infantes sustulerat, in ejus filios regnum est devolutum, ut narrat Josephus, factusque est Rex Judaeae Archelaus, qui annos IX. regnavit. Post illius vero mortem, Herodes Tetrarcha ejus frater regnavit in Galilaea annos XXIV. usque ad mortem Tiberii. Porro Judaeae Pontius Pilatus imperabat. Pontius autem appellatus est Pilatus, ab insula maritima versus Romam veterem, quae Pontus nuncupatur, ex qua Pilatus prodiit, isque a patria Pontius Pilatus vocatus est.

ἧς ὁ Πιλᾶτος ὥρμητο, καὶ ὡς ἀπὸ τῆς πατρίδος Πόντιος Πιλᾶτος ἐχρημάτισεν.

Οὗτος Πόντιος Πιλᾶτος ἀνέκρινε τὸν κύριον· καὶ μαθὼν P 219
ὅτι ἀπὸ τῆς ἐξουσίας ἐστὶν Ἡρώδου, τουτέστιν ἀπὸ τῆς Γαλιλαίας, ὡς φησιν ὁ εὐαγγελιστὴς Ματθαῖος, ἀνέπεμψεν αὐτὸν τῷ Ἡρώδῃ, καὶ πάλιν Ἡρώδης ἔπεμψεν τῷ Πιλάτῳ. κἀκεῖνος πάλιν ἀνέπεμψεν αὐτὸν πρὸς Ἄνναν· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα. καὶ οὗτος Καϊάφας, ὡς ὢν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ τούτου, συνεβούλευσεν τοῖς Ἰουδαίοις λέγων ὅτι Συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ. εἶτα πάλιν Ἄννας ἀπέστειλεν τὸν Ἰησοῦν δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα. ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον. ἦν δὲ πρωί, καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα· κἀκεῖθεν παρεδόθη τῷ Πιλάτῳ. ἦν δὲ παρασκευή· ὥρα ἦν ὡσεὶ τρίτη, καθὼς τὰ ἀκριβῆ βιβλία περιέχει, αὐτό τε τὸ ἰδιόχειρον τοῦ εὐαγγελιστοῦ Ἰωάννου, ὅπερ μέχρι νῦν πεφύλακται χάριτι θεοῦ ἐν τῇ Ἐφεσίων ἁγιωτάτῃ ἐκκλησίᾳ καὶ ὑπὸ τῶν πιστῶν ἐκεῖσε προσκυνεῖται. B R 520

Καὶ εὐθέως ἡ γυνὴ τοῦ Πιλάτου ἐδήλωσεν αὐτῷ, Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ διὰ αὐτόν. καὶ γνόντες τοῦτο οἱ Ἰουδαῖοι ἐστασίαζον, κράζοντες, Ἆρον ἆρον, σταύρωσον αὐτόν. καὶ εἰσαγαγὼν τὸ ἀλη-

1. *Πόντιος Πιλᾶτος ἐχρημάτισεν* om. R. 5. *Ματθαῖος*] Immo Lucas I. 5. 6. *ἀνέπεμψεν* P. 11. *πρὸς τὸν K.* P. 17. *τοῦ θεοῦ* P. 20. *κατὰν ἀρδι* V, *κατὰ τὸν ἄνδρα* P. 22. *τὸ*] *δὲ* P, om. R.

Hic Pontius Pilatus de Domino cognovit, quem cum intellexisset esse ex Herodis ditione, ex Galilaea scilicet, ut ait Evangelista Matthaeus, hunc misit ad Herodem, Herodes vero remisit ad Pilatum, ille vero ad Annam: erat enim socer Caïphae. Hic Caïphas, utpote Pontifex anni illius, conspiravit cum Judaeis, dicens: *Expedit unum hominem mori pro populo.* Deinde Annas misit Jesum vinctum ad Caïpham Pontificem. Ducunt ergo Jesum a Caïpha in Praetorium. Erat autem mane, et ipsi non introierunt in Praetorium, ut non contaminarentur, sed ut manducarent Pascha, et illic traditus est Pilato. Erat autem Parasceve, hora quasi tertia, quemadmodum accurati libri continent, ipsumque Evangelistae Joannis autographum, quod usque ad haecce tempora, divina gratia, in sanctissima Ephesiorum Ecclesia servatur, et a fidelibus ibi colitur.

Et statim uxor Pilati nunciavit illi: *Nihil tibi et justo illi, multa enim passa sum hodie per visum propter eum.* Hisce perceptis, Judaei, seditione excitata, clamarunt, *Tolle, tolle, crucifige eum.* Ac introducto

C θινὸν πάσχα κατὰ τὰς θείας γραφὰς· αὐτὸς πάσχει ὑπὲρ ἡμῶν τῇ ς′ τῆς ἑβδομάδος ἡμέρᾳ, καὶ θύεται, ὡς ἀμνὶς ἀληθὴς ὑπάρχων καὶ πάσχα ἀληθινὸν ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστός. καὶ ἐσκοτίσθη ὁ ἥλιος εἰς ὅλον τὸν κόσμον ἀπὸ ἕκτης
V 176 ὥρας· περὶ οὗ σκότους μέμνηται καὶ Διονύσιος ὁ Ἀρειοπαγίτης ἐν τῇ πρὸς Πολύκαρπον ἐπιστολῇ τῆς κατὰ τόδε τὸ ἔτος γενομένης καινοπρεποῦς τοῦ ἡλίου ἐκλείψεως. καὶ οἱ ἔξωθεν δὲ τὸν ἐνιαυτὸν τοῦτον ἐπεσημήναντο ἀσφαλῶς, εἰπόντες καὶ τὸν γενόμενον σεισμόν, καὶ κατ' ἐξαίρετον Φλέγων ὁ τὰς Ὀλυμπιάδας συναγαγών. λέγει γὰρ ἐν τῷ τρισκαιδεκάτῳ συγγράμματι οὕ- 10
D τως. „τῷ δὲ τετάρτῳ ἔτει τῆς σβ′ Ὀλυμπιάδος ἐγένετο ἔκλειψις ἡλίου μεγίστη τῶν ἐγνωσμένων πρότερον· καὶ νὺξ ὥρᾳ ς′ τῆς ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν οὐρανῷ φανῆναι, σεισμός τε μέγας κατὰ Βιθυνίαν γενόμενος τὰ πολλὰ Νικαίας κατεστρέψατο.“ ταῦτα ὁ δηλωθεὶς ἀνήρ, γνοὺς τὸ παράδοξον τῆς ἐκ- 15
λείψεως τοῦ ἡλίου. οὔτε γὰρ ἠκούσθη οὐδὲ γέγονεν τοῖς ἔμπροσθεν αἰῶσιν περὶ τὴν πανσέληνον ἔκλειψις ἡλίου, ἐπειδὴ μηδὲ τῇ ἀστρῴᾳ τοῦτο συμβαίνει κινήσει. καὶ τῶν οὕτως ἐπισήμων καὶ ἀπίστοις ἐνιαυτῶν ἡμᾶς τοὺς πιστοὺς σφάλλεσθαι οὐ καλὸν οὐδὲ δίκαιον· δι' ἡμᾶς γὰρ οὗτος ὁ ἐνιαυτός. 20
P 220 Περὶ ταύτης τῆς ἡμέρας προεφήτευσε Ζαχαρίας υἱὸς Ἰω-

3. καὶ θεὸς] ὁ θεὸς P. 4. ὁ X. R. ib. ἕκτης τῆς R. 5. Ἀρεοπαγίτης P. 6. τόδε om. P. 8. ἐπισημήναντο P. ib. σεισμὸν γενόμενον P. 11. σβ′] οβ′, supra scripto ab alia manu σ, V. 13. ὥστε] ὡς R. 14. τὰ — κατεστρέψατο om. R. 16. οὐδὲ] Fort. οὔτε: conf. ad Malal. p. 136. 18. 20. διὰ γὰρ ἡμᾶς P, διὰ ἡμᾶς γὰρ R.

vero Paschate, juxta sacras Scripturas, ipse pro nobis patitur VI. hebdomadis die, et immolatur, ut qui erat verus agnus, et verum Pascha, Dominus Deus noster Jesus Christus. Et obscuratus est sol per universum mundum a VI. hora. Quarum quidem tenebrarum meminit Dionysius Areopagita in Epistola ad Polycarpum, cum hoc anno insolita contigisset solis defectio. Sed et scriptores Pagani annum hunc diserte notant, scribuntque terrae motum extitisse, ac prae caeteris Phlegon qui Olympiades collegit: Sic enim ait in libro XIII. *Quarto autem anno Olympiadis CCII. facta est solis defectio maxima quanta nunquam antea contigisse legitur, noxque hora diei VI. tanta fuit, ut etiam astra in coelo apparerent, terraeque motus circa Bithyniam, magnam Nicaeae urbis partem evertit.* Haec supra laudatus vir, qui in hac solis defectione quidpiam extraordinarium observarat. Neque enim unquam id fuerat auditum, neque retro ante saeculis acciderat ut in plenilunio solis facta fuisset defectio, quandoquidem id juxta astrorum motus contingere nequit. Qui quidem anni cum ipsis gentilibus insignes adeo extiterint, nos fideles haud par, neque aequum est decipi, cum propter nos is annus acciderit.

δαὲ λέγων, Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς, καὶ ψῦχος καὶ πάγος ἔσται μίαν ἡμέραν· καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς.

Ὁ δὲ κύριος Ἰησοῦς Χριστὸς παρέδωκε τὸ πνεῦμα τῇ αὐ- R 522
τῇ παρασκευῇ ὥραν ἐνάτην. καὶ εὐθέως ἐγένετο εἰς ἅπαντα τὸν κόσμον σεισμὸς μέγας καὶ τάφοι ἠνεῴχθησαν καὶ νεκροὶ ἀνέστησαν, καθὰ ταῖς θείαις ἐμφέρεται γραφαῖς· ὥστε λέγειν τοὺς Ἰουδαίους, Ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος, ὃν ἡμεῖς ἐσταυρώσαμεν. ἐν ταύτῃ δὲ τῇ ἑορτῇ τοῦ πάσχα συμφώνως καὶ οἱ λοιποὶ εὐαγγε- B
λισταὶ σταυρωθῆναι τὸν κύριον δηλοῦσιν.

Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν, ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου, ἠρώτησαν τὸν Πιλᾶτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν. ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου ὁμοίως τοῦ συσταυρωθέντος αὐτῷ. ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ, τὰ δύο καθάρσια τοῦ τε βαπτίσματος C
καὶ τῆς μεταλήψεως τῶν ἀχράντων αὐτοῦ μυστηρίων. ἄλλως δὲ τὴν σωτήριον ταύτην ἐπιτελοῦμεν ἑορτὴν μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, ἥτις τῇ τρίτῃ ἡμέρᾳ μετὰ τὸ σταυρω-

1. λέγων] XIV. 6. 2. καὶ ἔσται μία ἡμέρα P. 3. οὐκ V. 5. ἐνενάτην P. *ib.* τὸν om. R. 13. ἐκείνη P. 20. ἄλλως] ἀλλ' ὥστε PV. 21. σωτηρίαν P, σωτήριαν R.

De hoc porro die prophetavit Zacharias filius Jodae, cum ait: *In illa die non erit lux, sed frigus et gelu, et erit dies una: et haec dies illa nota Domino, non dies neque nox, et in tempore vesperi erit lux.*

Dominus vero Jesus Christus animam edidit ipso die Parasceves, hora nona, et statim in universo mundo magnus terrae motus contigit, tumulique sunt aperti, ac mortui resurrexerunt, quemadmodum continetur in sacris Scripturis, ita ut Judaei dicerent: *Vere Dei filius erat iste, quem nos crucifiximus.* In ipso autem Paschatis festo, pari consensu, caeteri quoque Evangelistae Dominum fuisse crucifixum docent.

Judaei ergo ut non manerent in cruce corpora in Sabbato; quoniam Parasceve erat (erat enim magnus ille dies Sabbati), rogaverunt Pilatum, ut frangerentur eorum crura, et tollerentur. Venerunt ergo milites, et primi quidem crura fregerunt, et alterius perinde una cum illo crucifixi. Postquam autem venerunt ad Jesum, ut viderunt illum jam mortuum, non fregerunt crura ejus, sed unus militum lancea latus ejus aperuit, et continuo exivit sanguis et aqua, duo purgatoria, baptismi nempe, et intemeratorum mysteriorum participationis. Sed ut salutarem hunc diem festum peragamus, post illius ex mortuis resurrectionem, quae tertio postquam crucifixus est die contigit, secundum divinas scripturas, primi

θῆναι κατὰ τὰς θείας γραφὰς ἐπιτελεῖται τῇ ις' τοῦ πρώτου μηνὸς τῆς σελήνης· ἡ γὰρ ιδ' εὑρίσκεται οὐχ ἡ ἀνάστασις, ἀλλ' ὁ καιρὸς τῆς σωτηριώδους προσηλώσεως τῆς ἐν τῷ σταυρῷ. καὶ ἐκ τοίτου φαίνονται τοὐναντίον Ἰουδαῖοι ποιοῦντες· ὅτε γὰρ ἔδει νηστεύειν καὶ μηδαμῶς πανηγυρίζειν, οὗτοι φαίνονται καὶ εὐφραινόμενοι καὶ ἑορτάζοντες, οὐδαμῶς τὸν καιρὸν τῆς ὄντως
D *τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀναστάσεως ἐκ νεκρῶν εἰδότες, καὶ ἐκ τούτου μηδὲ ταῖς θείαις γραφαῖς ἑπόμενοι, ἀλλ' οἰκείοις τισὶν ἔθεσιν.*

Εἶτα θέλοντες παραστῆσαι ὡς κατὰ τὸ παρὸν πεντακισχιλιοστὸν πεντακοσιοστὸν τεσσαρακοστὸν ἔτος γενέσεως κόσμου,
V 177 *ἀρξάμενοι ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου μηνός, πόστῃ τοῦ μηνὸς καὶ ποίᾳ ἡμέρᾳ ἔφθασεν ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης, εὑρίσκομεν τὰ ͵εφλθ' ἔτη ποιοῦντες παρὰ τὸν ιθ'. ιθ' σ'*
R 524 *γίνονται ͵γω', ιθ' ϛ γίνονται ͵αψι', ιθ' α' γίνονται ιθ'· λοιπὸν ι'· καὶ εὑρίσκομεν κατὰ τὸ φύσει μὲν ι' ἔτος τῆς ἐννεακαιδεκαε-*
P 221 *τηρίδος, θέσει δὲ ια' προσκειμένας ἐπακτὰς κα'. ταύταις προστίθεμεν ιγ' τὰς πρὸ τῶν φωστήρων, προσελήνους ἑπτά, καὶ γ' τὰς ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου μηνός, καὶ τοῖς κβ' λεπτοῖς ἄλλα λεπτὰ μέ' πρόσθες, ὡς τρίτου ἔτους ὄντος μετὰ τὸ βίσεκστον, καὶ ἐκ τῶν ξζ' λεπτῶν λαμβάνομεν μίαν, καὶ γίνονται μδ'· ἔκβα*

3. τῆς alterum om. R. 5. *φαίνονται τοὐναντίον Ἰουδαῖοι ποιοῦντες καὶ* P. 7. *εἰδότες* om. R. 12. *ἀρχόμενοι* P, *ἀρχάμενοι* R. 14. *τῶν* RV, *τὸ* P. 16. *ἐννεακαιδεκα*] *ιθ'* PV. 20. *βίσεκτον* P. 21. *λαμβάνωμεν* PV.

mensis lunae sexta decima celebratur: nam quarta decima, non Resurrectionis sed tempus fuit salutaris crucifixionis. Et ex hoc Judaeos contrarium facere apparet: quando enim jejunium celebrandum est, neque festivitas agi debet, illi contra facere, et se ad laetitiam componere videntur, nullo plane modo tempus vere servatoris nostri Jesu Christi resurrectionis à mortuis celebrantes, cum se minime sacris literis, sed propriis quibusdam ritibus insistere sciant.

Deinde si velimus ostendere quemadmodum hoc praesenti anno a mundi conditu v. MDXL. capto initio a XXI. mensis Martii, in quotam mensis, quamve feriam inciderit XIV. primi mensis lunae, invenimus v. MDXXXIX. quos dividimus per XIX. (hoc modo). Ducantur XIX. in C. prodibunt III. MDCCC. ducantur XIX. in XC. fient MDCCX. ducantur XIX. in I. fient XIX. reliqua sunt X. Unde colligimus anno juxta naturam X. decemnovennalis cycli, secundum vero positionem XI. adjunctas epactas XXI. His addimus XIII. anteluminares, et antelunares VII. et III. a XXI. mensis Martii, et XII. minutis minuta alia XLV. adjice, cum sit tertius annus post bisextum: et ex LXVII. minutis accipimus I. et fiunt XLIV. abjice XXX. reliqua sunt XIV. et ecce intelligimus uti XIV. primi mensis lunae oc-

λ'· λοιπὸν ιδ'. καὶ ἰδοὺ ἔγνωμεν ὡς ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης ἔφθασεν τῇ κγ' τοῦ μαρτίου μηνός. εἶτα καὶ τὴν ἡμέραν ζητοῦντες γνῶναι, καθ' ἣν ἔφθασεν ἡ ιδ', τοῖς ,εφλθ' προστίθεμεν τὸ τέταρτον ,ατπδ', γινόμενα ὁμοῦ ,ςϡκγ'· ταύτας παρὰ τὸν ζ'· ζ' ϡδ' γίνονται ,ςτ', ζ' π' γίνονται φξ', ζ' η' νς'· λοιπὸν ζ'. ταύταις προσβάλλομεν γ' τὰς πρὸ τῶν φωστήρων καὶ γ' τὰς ἀπὸ κα' τοῦ μαρτίου μηνός· γίνονται ιγ'· ἔκβα ζ'· λοιπὸν ς'. B

Καὶ δέδεικται ὡς ἡ ιδ' κατὰ τὸ παρὸν ,εφμ' ἔτος τῆς τοῦ κόσμου γενέσεως καὶ ιθ' τῆς Τιβερίου Καίσαρος μοναρχίας, ἀρχὴν εἰληφὸς ἀπὸ κα' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, ἰνδ. δ', καθ' ὃ ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὸν ἑκούσιον καὶ ζωοποιὸν ὑπέμεινε σταυρόν, ἔφθασεν τῇ κγ' τοῦ μαρτίου μηνὸς καὶ ἐν ἡμέρᾳ παρασκευῇ. ἐν ἡμέρᾳ δὲ παρασκευῇ σταυρωθῆναι τὸν κύριον διδάσκουσιν τὰ θεόπνευστα λόγια, ἐν τῇ τοῦ πάσχα ἑορτῇ, καθὼς ἔμπροσθεν εἴρηται. τριῶν οὖν πάσχα μετὰ τὸ βαπτισθῆναι τὸν κύριον τελεσθέντων, καὶ ἐν τῷ τετάρτῳ ἔτει τῆς τοῦ πάσχα ἑορτῆς ὑπὲρ ἡμῶν σταυρωθέντος τοῦ κυρίου, δείκνυται σαφῶς ὅτι τρία ὁλόκληρα ἔτη τὸ σωτήριον ἐδίδαξεν κήρυγμα καὶ ἡμέρας ος', τινὰς μὲν αὐτῶν πρὸ τοῦ πάσχα τοῦ πρώτου κατὰ τὸ ιε' ἔτος τῆς Τιβερίου Καίσαρος μοναρχίας, τινὰς δὲ πρὸ τοῦ κατὰ τὸ παρὸν ἔτος ,εφμ' γεγονότος σωτηριώδους C

3. ἔφθασεν] Post haec lacunam habet V. 5. τὸν] τῶν R. 9. ἡ ιδ' om. RV. ib. ἔτος ,εφμ' P. 12. ὁ alterum om. P. 14. παρασκευῆς bis P. 18. τῆς om. R. 20. πρώτου τοῦ πάσχα P.

currat XXIII. mensis Martii. Si deinde quaeramus diem, seu feriam, qua occurrit XIV. anni V. MDXXXIX. addimus quartam partem MCCCLXXXIV. et existunt VI. MDCCCCXXIII. his per X. partitis, septies DCCCC. efficiunt VI. MCCC. septies LXXX. efficiunt DLX. VII. VIII. LVI. reliqua sunt VII. quibus addimus III. a XXI. mensis Martii, et fiunt XIII. abjice VII. relinquuntur VI.

Ita igitur demonstratum est quemadmodum decima quarta lunae hoc praesenti a mundi conditu an. V. MDXL. et XIX. Imperii Tiberii Caesaris, anni initio sumpto a XXI. mensis Martii, Ind. IV. quando Dominus noster Jesus Christus salutarem crucem ultro subiit, inciderit in XXIII. mensis Martii, et in diem Parasceves. Die autem Parasceves crucifixum fuisse Dominum docent divinitus inspirata oracula, die scilicet festo, uti superius dictum est. Tribus ergo Paschatis festis, postquam Dominus baptizatus est, exactis, annoque quarto, Paschali festo, pro nobis crucifixo Domino, evidenter ostenditur totos tres integros annos salutarem praedicationem exercuisse, diesque praeterea LXXVI. ac horum quidem ante primum Pascha, anno XV. Imperii Tiberii Caesaris, aliquot vero ante Pascha hujus praesentis an. V. MDXL. quo salutare Pascha contigit. Quod autem Dominus praedicato per tres annos Evangelio, ad voluntariam et

πάσχα. ὅτι δὲ τρεῖς ἐνιαυτοὺς κηρύξας τὸ εὐαγγέλιον ὁ κύριος
D ἐπὶ τὸν ἑκούσιον καὶ ζωοποιὸν ἦλθε σταυρὸν διδάσκει καὶ Ἰγνά-
R 526 τιος ὁ θεοφόρος καὶ μάρτυς, ὁ Ἰωάννου τοῦ θεολόγου γνήσιος
μαθητὴς γεγονώς, τῆς δὲ ἐν Ἀντιοχείᾳ ἁγιωτάτης ἐκκλησίας
ἐπίσκοπος ὑπὸ τῶν ἀποστόλων καταστα θείς. ἐν τῇ πρὸς Τραλ-
λιανοὺς τοίνυν ἐπιστολῇ γέγραφεν ἐπὶ λέξεως οὕτως. „ἀληθῶς
τοίνυν ἐγέννησε Μαρία τὸ σῶμα θεὸν ἔχον ἔνοικον, καὶ ἀλη-
θῶς ἐγεννήθη ὁ λόγος ἐκ τῆς παρθένου Μαρίας, σῶμα ὁμοιο-
παθὲς ἡμῖν ἠμφιεσμένος. ἀληθῶς γέγονεν ἐν μήτρᾳ ὁ πάντας
ἀνθρώπους ἐν μήτρᾳ διαπλάττων, καὶ ἐποίησεν ἑαυτῷ σῶμα
P 222 ἐκ τῶν τῆς παρθένου σπερμάτων, πλὴν ὅσον ὁμιλίας ἀνδρὸς ἄνευ.
ἀληθῶς ἐκυοφορήθη, ὡς καὶ ἡμεῖς, χρόνων περιόδοις, καὶ
ἀληθῶς ἐτέχθη, ὡς καὶ ἡμεῖς. ἀληθῶς ἐγαλακτοτροφήθη, καὶ
τροφῆς κοινῆς καὶ ποτοῦ μετέσχεν, ὡς καὶ ἡμεῖς, καὶ τρεῖς δε-
κάδας ἐτῶν πολιτευσάμενος ἐβαπτίσθη ὑπὸ Ἰωάννου ἀληθῶς καὶ
V 178 οὐ δοκήσει. καὶ γ' ἐνιαυτοὺς κηρύξας τὸ εὐαγγέλιον καὶ ποιήσας
σημεῖα καὶ τέρατα ὑπὸ τῶν ψευδοϊουδαίων καὶ Πιλάτου ἡγεμόνος
ὁ κριτὴς ἐκρίθη, ἐμαστιγώθη ὑπὸ δούλων, ἐπὶ κόρρης ἐρραπίσθη,
ἐνεπτύσθη, ἀκάνθινον στέφανον καὶ πορφυροῦν ἱμάτιον ἐφόρε-
σεν, κατεκρίθη, ἐσταυρώθη ἀληθῶς, οὐ δοκήσει, οὐ φαντασίᾳ, οὐκ
ἀπάτῃ. ἀπέθανεν ἀληθῶς, καὶ ἐτάφη, καὶ ἠγέρθη ἐκ τῶν νεκρῶν."
B Ἰδοὺ φανερῶς ὁ τοιοῦτος καὶ τηλικοῦτος τῆς ἐκκλησίας δι-
δάσκαλος τρεῖς ἐνιαυτοὺς κηρῦξαι τὸ εὐαγγέλιον τὸν σωτῆρα
λέγει.

8. ἡμφιεσμένον R. 18. κόρης ἐραπίσθη PV.

vivificam crucem venerit, docet Ignatius ille Deifer et Martyr, qui Joannis Theologi genuinus discipulus fuit, sanctissimaeque Antiochenae Ecclesiae Episcopus ab Apostolis constitutus. Is quippe in Epistola ad Trallianos sic verbo tenus scripsit: *Vere etenim peperit Maria corpus, Deo in ea habitante, et vere natus est Deus Verbum ex Virgine: corpus similiter nobis passibile sine peccato induens: vere conceptus est in utero, et factus est in vulva, (qui omnes homines in vulva fingit) formans et faciens sibi corpus ex Virgine, sine semine scilicet et consuetudine viri: portatusque in utero, sicut et nos tempore portati sumus: et vere lactatus est, et nutritus sicut nos, et cibo et potu siculi et nos usus est: et triginta annos agens baptizatus est a Joanne, in veritate et non in phantasmate: et tribus annis praedicavit Evangelium, et fecit signa et prodigia coram falsis Judaeis: et a Pilato Praeside Judex judicatus est, flagellatus est, colaphis caesus est, consputus est, spineam coronam purpureamque vestem portavit, condemnatus est, crucifixus est vere, sepultus est, et resurrexit a mortuis.*

Ecce aperte omnino talis ac tantus Ecclesiae doctor triennio a servatore praedicatum Evangelium dicit.

Οἱ δὲ κατὰ τῶν ἑορτῶν τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας γράψαι τολμήσαντες τέσσαρας ἐνιαυτοὺς ὁλοκλήρους καὶ ἡμέρας τινὰς κηρῦξαι τὸν κύριον τὸ εὐαγγέλιον ἀπεφήναντο, ἐναντιούμενοι τῷ ῥηθέντι θεοφόρῳ καὶ μάρτυρι καὶ ταῖς ἁγίαις γραφαῖς.

Ὅτι δὲ τρεῖς ἐνιαυτοὺς ὁ σωτὴρ ἐδίδαξε τὸ κήρυγμα δείκνυται καὶ ἐξ ἑτέρων ἀναγκαίων λόγων, ἔκ τε τῶν ἱερῶν εὐαγγελίων καὶ ἐκ τῶν Ἰωσήππῳ τῷ παρ' Ἑβραίοις σοφῷ γραφέντων καὶ ἐξ ὧν, ὡς πρόκειται, ὁ παρὰ τοῖς Ἕλλησι χρονογράφος ἱστόρησε C
Φλέγων ὁ τὰς Ὀλυμπιάδας τεθεικώς, λέγων, Τῷ δὲ τετάρτῳ ἔτει τῆς σβ' Ὀλυμπιάδος ἐγένετο ἔκλειψις ἡλίου μεγίστη τῶν ἐγνω- R 528
σμένων πρότερον· καὶ νὺξ ὥρᾳ ἕκτῃ τῆς ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν οὐρανῷ φανῆναι, σεισμός τε μέγας κατὰ Βιθυνίαν γενόμενος τὰ πολλὰ Νικαίας κατεστρέψατο. ταῦτα ὁ δηλωθεὶς ἀνήρ. τὰ μέντοι ἱερὰ εὐαγγέλια ἄρξασθαι τὸν κύριόν φασι τοῦ σωτηρίου κηρύγματος ἐπὶ Ἄννα ἀρχιερέως, σταυρωθῆναι δὲ ἐπὶ Καϊάφα λέγουσιν. ὁ δὲ Ἰώσηππος ἐν τῷ ιη' τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας γράφει τρεῖς ἀρχιερεῖς μετὰ τὸν Ἄνναν γεγονέναι, Ἰσμάηλον τὸν τοῦ Βαφεὶ καὶ Ἐλεάζαρον τὸν τοῦ Ἀνάνου υἱὸν καὶ Σίμωνα τὸν τοῦ Καμαθεί, καὶ τότε μετ' ἐκείνους τὸν Καϊάφαν ἀρχιερέα γενέσθαι. ἐνιαύσιος δὲ ὁ τῆς ἑκά- D
στου ἀρχιερωσύνης ἦν χρόνος. ἐξ ὧν δῆλον ὅτι τρεῖς ἐνιαυτοὺς

9. χρονογράφοις P. 10. τεθηκώς PV. 11. σβ'] οβ' V. 13. τῷ οὐρανῷ P. 17. ιη'] 3. 18. Ἄννα PV. 20. Ἀννάνου P. 21. ἐνιαυτὸς P.

Qui ergo adversus Sanctae Catholicae et Apostolicae Ecclesiae dies festos ausi sunt scribere, quadriennio toto, diebusque aliquot a Domino Evangelium fuisse praedicatum, sancto Deifero Martyri, et sacris literis contraire deprehenduntur.

Quod vero Servator per tres annos Evangelium praedicaverit, patet praeterea ex aliis necessariis rationibus, et sacris Evangeliis, et ex scriptis Josephi, viri inter Judaeos docti: atque adeo ex iis, ut ante dictum est, quae inter Graecos chronologos celebris Phlegon narravit, qui Olympiadum rationem conscripsit, hisce verbis: *Quarto autem anno ccii. Olympiadis magna et insignis inter omnes, quae ante eam acciderant, defectio solis contigit: dies hora sexta in tenebrosam noctem ita versus est, ut stellae in coelo visae sint, terraeque motus in Bithynia Nicaeae urbis multas aedes subvertit.* Haec supradictus vir. Salutare quidem praedicationis munus a Christo coeptum, Anna Pontificatum obtinente, Christum vero crucifixum sub Caïpha, docent sacra Evangelia. Josephus vero lib. xviii. Antiq. Judaïc. scribit tres Pontifices post Annam fuisse, Ismaëlem Baphi F. Eleazarum Annani F. et Simonem Camathi F. post hos autem Caïpham Pontificatum obtinuisse. Singulorum porro unius anni fuit Pontificatus. Unde liquet tribus annis integris Ismaëlis, Elea-

τοῦ Ἰσμαήλου καὶ τοῦ Ἐλεαζάρου καὶ τοῦ Σίμωνος ὁλοκλήρους ἐκήρυξεν ὁ σωτὴρ τὸ εὐαγγέλιον τῆς βασιλείας, ἡμέρας δέ τινας ἐκ τοῦ τέλους τῆς ἀρχιερωσύνης τοῦ Ἄννα καὶ ἡμέρας τινὰς ἐκ τῆς ἀρχῆς τῆς τοῦ Καϊάφα ἀρχιερωσύνης. τῇ τεσσαρεσκαιδεκάτῃ οὖν, ὡς πρόκειται, τοῦ πρώτου μηνὸς τῆς σελήνης ἐσταυρώθη ὁ κύριος καὶ ἐν ἡμέρᾳ ἕκτῃ τῆς ἑβδομάδος.

Κἀντεῦθεν δείκνυται ὅτι καθ' ἣν ἡμέραν ἔπλασε τὸν ἄνθρωπον αὐτὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, αὐτὸς ἐπὶ συντελείᾳ τῶν αἰώ-
P 223 νων ἐσταυρώθη ἐν ἡμέρᾳ ἕκτῃ δι' ἡμᾶς τοὺς ἐξ αὐτοῦ ὑπὸ τὴν ἀπόφασιν τοῦ θανάτου διὰ τὴν ἁμαρτίαν γενομένους, ἵνα ἡμῖν τῷ οἰκείῳ πάθει τὴν ἀπάθειαν χαρίσηται, καθά φησιν ὁ μέγας Βασίλειος. καὶ τῇ ις' κατὰ σελήνην, ἐν ᾗ τὸ δράγμα προσέταξεν ὁ θεῖος νόμος προσφέρεσθαι ἀπαρχὴν θερισμοῦ, καὶ πρὸ τοῦ ἐπελθεῖν δρέπανον ἐπ' ἀμητὸν ἀνέστη ἐκ νεκρῶν, ἀπαρχὴ τῆς
B ἀνθρωπότητος γενόμενος ὁ κύριος ἡμῶν καὶ σωτὴρ ὁ Χριστὸς πρὸ τοῦ ἐπελθεῖν τὸ τῆς συντελείας δρέπανον τῷ κόσμῳ. καὶ καθὼς προδιέγραψεν ἐν τῇ προσφορᾷ τοῦ δράγματος τῆς ἀπαρχῆς, οὕτως ἀνέστη, λυτρωσάμενος ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν, ἐν ᾗ προσήνεγκεν τὸ δράγμα τῆς ἀπαρχῆς τοῦ ἡμετέρου φυράματος τῷ θεῷ καὶ πατρὶ τὴν ἐξ ἀναστάσεως τῶν νεκρῶν ἀπαρχὴν κατὰ τὰς ὑπ' αὐτοῦ περὶ ἑαυτοῦ προρρηθείσας γραφάς.

Ἐκ ταύτης δὲ τῆς ἡμέρας, τουτέστιν τῆς ις' καὶ αὐτῆς τοῦ

3. τοῦ τέλους — ἐκ om. P. 12. προέταξεν R, alterum in m. ponens. 14. ἀπελθεῖν P. 19. ἐν om. P. 21. περὶ ἑαυτοῦ om. P. *ib.* προρηθείσας PV.

zari, ac Simonis, Evangelium de regno coelesti praedicasse Salvatorem, et diebus aliquot ex initio Pontificatus Caïphae. Decima quarta igitur, ut supra dictum est, primi mensis lunae cruci affixus est Dominus, et feria VI. hebdomadis.

Hinc pariter patescit, eodem die quo hominem olim formarat verus Deus noster, eundem in saeculorum consummatione, die sexto, crucifixum pro nobis, qui ex eo procreati per sententiam propter peccatum morti addicti fueramus, ut morte sua impassibilitatem nobis compararet, quemadmodum ait magnus Basilius. Et sexta decima luna mensis, qua divina lex manipulum primitiarum ex messe offerri praeceperat, et antequam falx mitteretur in messem, surrexit ex mortuis, in primitias factus humanitatis Dominus noster et Salvator Christus, antequam falx consummationis in mundum mitteretur. Et quemadmodum praescripserat in oblatione manipuli primitiarum, ita surrexit, asserta nostra ex corruptione vita, in qua manipulum primitiarum nostri fermenti obtulit Deo Patri, ex mortuorum resurrectione primitias, secundum ab eo praenuntiatas scripturas.

Ab hoc porro die, hoc est XVI. ipsius scilicet primi mensis, prae-

πρώτου μηνός, ἀριθμεῖν τὰς ν' ἡμέρας τῆς πεντηκοστῆς ὁ θεῖος παρεκελεύσατο νόμος. καὶ τῇ τεσσαρακοστῇ ἡμέρᾳ τῆς ἀναστάσεως αὐτοῦ ὁ κύριος ἡμῶν. Ἰησοῦς ὁ Χριστὸς ἀνελήφθη εἰς τοὺς οὐρανοὺς τῇ τρίτῃ τοῦ ἀρτεμισίου μηνὸς ἐν ἡμέρᾳ πέμπτῃ τῆς ἑβδομάδος, καὶ καθὼς γέγραπται, Ἀνάστηθι, κύριε, εἰς τὴν ἀνάπαυσίν σου σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. καὶ ὁ ἅγιος Ἀθανάσιος ἑρμηνεύων τὸν ρλα' ψαλμὸν ἔγραψεν οὕτως· „Ἀνάστηθι, κύριε, εἰς τὴν ἀνάπαυσίν σου· τὴν εἰς οὐρανοὺς ἀνάληψιν ἐπισπεύδουσιν αὐτοῦ. Σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου τὴν ἁγίαν αὐτοῦ σάρκα φησί· μετ' αὐτῆς γὰρ ἀνελήφθη. οὐ γὰρ ἀποσαρκοῦται εἰς τοὺς ἀγηράτους αἰῶνας τῶν αἰώνων." R 530 V 179 C

Μετὰ δὲ τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὴν ἀποβολὴν τοῦ ἔθνους τῶν Ἰουδαίων, ὅσοι τῆς τοῦ δεσπότου Χριστοῦ κλήσεως δι' οἶκτον φιλανθρωπίας γεγόναμεν ἄξιοι, τὸ σκιῶδες πάσχα οὐκέτι ἐπετελέσαμεν· παρῆλθε γὰρ ἡ σκιὰ τοῦ νόμου τῆς χάριτος ἐπελθούσης. καὶ τῇ ιγ' τοῦ ῥηθέντος ἀρτεμισίου μηνὸς ἐν ἡμέρᾳ κυριακῇ, αὐτῇ τῇ πεντηκοστῇ ἡμέρᾳ τῆς σωτηριώδους ἀναστάσεως, ἐπεδήμησε τοῖς ἀποστόλοις ἐν πυρίναις γλώσσαις τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν. πλησθέντες δὲ οἱ ἀπόστολοι πνεύματος ἁγίου ἤρξαντο κηρύσσειν τὸ εὐαγγέλιον τῆς βασιλείας. ἐξ ἧς κανονίζοντες τὴν διὰ τὴν ἡμετέραν σωτηρίαν γενομένην ἀνάστασιν ἐν τῇ ἁγίᾳ κυριακῇ, ἑορτάζομεν τὸ ἐκκλησιαστικὸν κήρυγμα η' ἡμέρας, D

cepit lex divina ut dies Pentecostes putarentur: quadragesimo vero die post resurrectionem suam Dominus noster Jesus Christus in coelum assumptus est tertio die Artemisii, seu Maii mensis, feria quinta hebdomadis, et quemadmodum scriptum est: *Surge, Domine, in requiem tuam, tu et arca sanctificationis tuae.* Et Sanctus Athanasius in CXXXI. Psalmi explanatione hunc in modum scripsit: *Surge Domine in requiem tuam: ascensum in coelum ipsius accelerant: Tu et arca sanctificationis tuae: sanctum ipsius corpus dicit, cum hoc enim assumptus est; neque enim humanitatis naturam unquam in omnes aeternitates exuit.*

Post Assumptionem Domini nostri Jesu Christi, et dejectionem gentis Judaeorum, quotquot Domini nostri, ex illius clementia et misericordia, digni facti sumus vocatione, umbraticum illud Pascha non amplius celebravimus: legis enim umbra, gratia adveniente, praeteriit. Et XIII. dicti mensis Artemisii, die Dominica, ipsa quinquagesima die post salutarem resurrectionem, spiritus Sanctus in ignitarum linguarum specie ad Apostolos venit, et sedit super unum quemque eorum. Repleti ergo Spiritu sancto coeperunt praedicare Evangelium regni (Dei). Ex quo tempore celebrantes propter nostram salutem factam Resurrectionem die

P 224 ὡς φησιν ὁ ἅγιος Ἰωάννης. καὶ ἐκ τούτου τοῦ ἐνιαυτοῦ ἠρξάμεθα ἡμεῖς οἱ χριστιανοὶ ἑορτάζειν τὴν ζωοποιὸν ἀναστάσιμον ἑορτὴν τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Εἰσὶν δὲ καὶ οἱ ἐπίσημοι τῶν ἀποστόλων γεγονότες μετὰ τοὺς προγεγραμμένους ιβ' μαθητὰς τοῦ κυρίου κατὰ τὸ ιε' ἔτος τῆς Τιβερίου Καίσαρος μοναρχίας, οἵτινες μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ κυρίου, καὶ αὐτοί εἰσιν οἵδε.

νζ'. Βαρνάβας.

νή. Μάρκος ὁ εὐαγγελιστής.

νθ'. Σιλᾶς.

ξ'. Λουκᾶς ὁ ἰατρὸς καὶ εὐαγγελιστὴς γενόμενος, περὶ οὗ Παῦλος ἐν τῇ πρὸς Κολοσσαεῖς ἐμνημόνευσεν ἐπιστολῇ.

ξα'. Τιμόθεος.

ξβ'. Σιλουανός.

ξγ'. Τίτος.

R 532 Εἰσὶν δὲ καὶ οἱ καταστα θέντες διάκονοι μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ κυρίου ζ'.

B ξδ'. Στέφανος ὁ πρῶτος μάρτυς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς καὶ ἀνῃρέθη λιθοβοληθεὶς ὑπὸ Ἰουδαίων.

ξε'. Φίλιππος.

ξς'. Πρόχωρος.

ξζ'. Νικάνωρ.

ξη'. Τίμων.

5. οἱ om. P. 8. Ante καὶ addit m. R ἦνθησαν. 19. μάρτυρ P. 22. Πρόχορος P.

Dominica, festum agimus praedicationis Ecclesiasticae octo diebus, ut ait Sanctus Joannes. Et ab hoc anno nos Christiani coepimus colere diem vivificae Resurrectionis Domini Jesu Christi vere Dei nostri, cui gloria in saecula, Amen.

Sunt et alii illustres Apostoli praeter supra memoratos XII. Domini Discipulos ad XV. Tiberii Caesaris Imperii annum recensitos, qui post Domini in coelos assumptionem floruere. Ii vero sunt LVII. Barnabas, LVIII. Marcus Evangelista, LIX. Silas, LX. Lucas medicus et Evangelista, de quo Paulus in Epistola ad Colossenses mentionem facit, LXI. Timotheus, LXII. Silvanus, LXIII. Titus.

Sunt praeterea post Christi in coelos assumptionem constituti VII. Diaconi.

LXIV. Stephanus primus Martyr Domini nostri Jesu Christi, qui lapidibus impetitus a Judaeis extinctus est: LXV. Philippus: LXVI. Prochorus: LXVII. Nicanor: LXVIII. Timon: LXIX. Parmenio: LXX. Nicolaus.

ξθ'. Παρμενίων.

ο'. Νικόλαος.

Οὗτοι πάντες γεγόνασιν συνέκδημοι τοῖς ἀποστόλοις μετὰ τὴν τοῦ κυρίου εἰς οὐρανοὺς ἀνάληψιν.

Εἶτα ἐχειροτονήθησαν ἐπίσκοποι, πρῶτος ἐν Ῥώμῃ Πέτρος, ἐν Ἀλεξανδρείᾳ Μάρκος ὁ εὐαγγελιστής, ἐν Ἱεροσολύμοις Ἰάκωβος ὁ ἀδελφὸς τοῦ κυρίου, ἐν Ἀντιοχείᾳ ὁ προειρημένος ἀπόστολος Πέτρος. περὶ δὲ τῶν προγεγραμμένων ο' μαθητῶν τῶν μετὰ τοὺς ιβ' τοὺς προτεταγμένους ἱστορεῖ Κλήμης ὁ συγγραφεὺς ἐν τῇ πέμπτῃ τῶν Ὑποτυπώσεων. C

Εἰσὶν δὲ καὶ αἱ παρακολουθήσασαι τοῖς ἀποστόλοις ἅγιαι γυναῖκες μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ κυρίου, περὶ ὧν ἐπιστέλλων Παῦλος ἐμνημόνευσεν, Φοίβη, Τρυφῶσα, Εὐνίκη μήτηρ τοῦ ἀποστόλου Τιμοθέου, Πρίσκα, Περσίς, Πρίσκα, Μαρία, Ἰουλία, Κλαυδία, Ἰουνία, Πρίσκιλλα, Ἀπφία, Τρύφαινα, Λωΐς, μάμμη Τιμοθέου τοῦ ἀποστόλου. V 180

Περὶ τῆς γεννήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν καὶ τοῦ παναγίου αὐτοῦ βαπτίσματος καὶ τοῦ σωτηρίου αὐτοῦ πάσχα σύντομος διήγησις. D

Ἡ καθολικὴ γέννησις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἐστιν αὕτη.

4. *οὐρανὸν* P. 9. *τοὺς προτ.*] *προτ.* P. 10. *τῶν* om. P. 13. *Τριφῶσα* P. 14. *μήτηρ* post *Τιμοθέου* ponit P. 15. *Κλαυδία* — *Πρίσκιλλα* om. P. *ibid.* *Ἀππία* P. 17. *ἡμῶν* om. P.

Hi omnes Apostolorum socii fuere in peregrinationibus.

Deinde creati sunt Episcopi, primus Romae Petrus, Alexandriae Marcus Evangelista, Hierosolymis Jacobus frater Domini, Antiochiae supra memoratus Petrus. De recensitis vero discipulis LXX. praeter XII. supra dictos, agit Clemens scriptor lib. v. Hypotyposeon.

Sunt etiam sanctae quaedam mulieres, quae post Domini in coelum assumptionem Apostolos secutae sunt, quarum in Epistolis Paulus meminit: Phoebe scilicet, Triphosa, Eunice Timothei Apostoli mater, Prisca, Persis, Prisca, Maria, Julia, Appia, Tryphaena, Lois avia Timothei Apostoli.

De Nativitate Domini Jesu Christi veri Dei nostri, et sanctissimo ejus baptismo, et salutari illius Paschate, brevis narratio.

Catholica generatio Domini nostri Jesu Christi veri Dei ita se habet.

Ἐγεννήθη χοιὰχ κή ὥρᾳ ζ τῆς νυκτός. ἐβαπτίσθη τυβὶ ια ὥρᾳ ι τῆς ἡμέρας ὑπὸ Ἰωάννου ἐν τῷ Ἰορδάνῃ ποταμῷ, καὶ ὁ Ἰορδάνης ἀνεπόδισεν εἰς τὰ ὀπίσω.

P 225 Εἶπεν δὲ ὁ κύριος τῷ Ἰωάννῃ, Εἶπον τῷ Ἰορδάνῃ, Στῆθι, ὁ κύριος ἦλθεν πρὸς ἡμᾶς. καὶ εὐθέως ἔστησαν τὰ ὕδατα. τότε ὁ
R 534 Ἰωάννης προσεκίνησεν αὐτῷ λέγων, Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με. καὶ εἶπεν αὐτῷ ὁ κύριος, Ἄφες ἄρτι, δεῖ γενέσθαι τοῦτο. τότε καταβάντων αὐτῶν ἐπὶ τὸ ὕδωρ ἀνεκόχλασαν τὰ ὕδατα, ὥσπερ κεκερασμένον ὕδωρ. καὶ ὅτε ἀνέβη ἐκ τοῦ ὕδατος, εὐθέως ἀνεῴχθη ὁ οὐρανός, καὶ ἦλθεν τὸ πνεῦμα τὸ ἅγιον ὡς περιστερὰ πυροειδής· καὶ φωνὴ μεγάλη ἠκούσθη ὡς φωνὴ βροντῆς, λέγουσα, Οὗτός ἐστιν ὁ υἱός μου ὁ
B ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. ἔμεινεν δὲ ὁ Χριστὸς σὺν ἡμῖν ἐν τῷ κόσμῳ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἔτη λγ καὶ μῆνας γ. ἐν δὲ τῷ λδ ἔτει ἐκρατήθη καὶ ἐσταυρώθη φαμενὼθ κθ, ἡμέρᾳ τῆς σελήνης ιδ, παρασκευῆς οὔσης. ἀνέστη δὲ ἐν τριημέρῳ φαρμουθὶ α, κυριακῆς οὔσης, σελήνης ις, ὥρᾳ θ τῆς νυκτός. ἀνελήφθη παχὼν ι ὥρᾳ θ τῆς ἡμέρας.

σγ Ὀλυμπιάς.

Ἰνδ. ε. ιθ. ὑπ. Ἀρουντίου καὶ Ἀενοβάρβου.

1. κή] κε P, δεκεμβρίου κε m. V. *ibid.* νυκτός posui ubi ἡμέρας ponebatur in PV et ἡμέρας ubi νυκτός cum m. R. *ibid.* τυβὴ PV. ἰαννουαρίῳ ς m. V. 5. ὁ om. P. 9. ἀνεκάχλασαν P. *ib.* ὥσπερ] Scribe ὥσπερ πυρὶ. 15. φαμενὼθ κθ] μαρτίῳ κγ m. V, μαρτίου κγ m. R. 17. φαρμουθὶ α] μαρτίῳ κε m. V, μαρτίου κε m. R. 18. παχὼν ι P, παχῶν R, μαρτίῳ γ m. V, μαΐου γ m. R. 19. Ὀλυμπιάδος V.

Natus est Choiac XXV. hora VII. noctis. Baptizatus est a Joanne in Jordane fluvio Tybe XI. hora X. diei et Jordanis conversus est retrorsum.

Dixit autem Dominus Joanni: *Dic Jordani, Siste, Dominus venit ad nos.* Et statim constitere aquae. Tunc Joannes adoravit eum: *Ego,* inquit, *a te debeo baptizari, et tu venis ad me.* Et dixit illi Dominus: *Sine modo, istud fieri necesse est.* Tum in aquam iis descendentibus, crepitarunt aquae, veluti cum aqua infunditur. Cum vero ex aqua est egressus, statim coelum apertum est, et venit Spiritus sanctus instar igneae columbae, auditaque est vox magna, ut vox tonitrui, dicens: *Hic est filius meus dilectus, in quo mihi complacui.* Mansit autem Christus nobiscum in mundo, sanans omnem morbum, et omnem languorem annos XXXIII. et menses III. Anno vero XXXIV. comprehensus est, et in crucem actus mensis Phamenoth die XXIX. lunae XIV. cum esset Parasceve: resurrexit vero post triduum, Pharmuthi primo, qui dies erat Dominicus, lunae XVI. hora IX. noctis. In coelum denique assumptus est mense Paschon, hora diei IX.

Ἐν τῷ κ' ἔτει τῆς Τιβερίου βασιλείας, ἀρχὴν εἰληφότι ἀπὸ C
τῆς κα' καὶ αὐτῆς τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνὸς τῆς παρούσης πέμπτης ἰνδικτιῶνος, εἰκοστῷ πέμπτῳ ἔτει τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου καὶ δωδεκάτῳ τῆς ἐννεακαιδεκαετηρίδος τῆς σελήνης καὶ τῶν προκειμένων ὑπάτων, εὑρεθείσης τῆς ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης τῇ ια' τοῦ κατὰ Ῥωμαίους ἀπριλίου μηνός, ἐν ἡμέρᾳ ἕκτῃ τῆς ἑβδομάδος, καθὰ διὰ τῶν προκειμένων μεθόδων εὑρίσκομεν, ἑόρτασαν πρῶτον πάσχα οἱ ἅγιοι ἀπόστολοι μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ κυρίου, τὴν ἁγίαν δ' αὐτοῦ ἀνάστασιν τῇ ιγ' ξανθικοῦ μηνός. αὐτοὶ οὖν πρώτως, ὡς εἴρηται, κατὰ τὸ παρὸν ἔτος ἐπιτελέσαντες παρέδωκαν ταῖς D
ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις καθ' ἕκαστον ἐνιαυτὸν ἐπιτηρεῖν τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης μετὰ ἐπίβασιν τῆς ἡμέρας, καθ' ἣν ἡ ἐαρινὴ ἰσημερία γίνεται, τουτέστιν τὴν κα' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός. πάσης ἀμφιβολίας ἀμέτοχος ὁ λόγος R 536
τούς τε μεγάλους φωστῆρας ἐν τῇ τοῦ κόσμου καταβολῇ μετὰ γ' ἡμέραν γεγενῆσθαι καὶ τὸν μυστικὸν τοῦ κυρίου μετὰ τῶν μαθητῶν δεῖπνον ἐν τῷ τοῦ πάθους καιρῷ πρὸ γ' ἡμερῶν τῆς ἁγίας ἀναστάσεως ἐπιτελεσθῆναι. καλῶς ὡρίσθη πρὸ ια' καλανδῶν V 181
ἀπριλίων πάσχα ἐπιτελεῖν, μὴ ἐξεῖναι δὲ μηδὲ πρὶν τῆς πρὸ ια'

1. τῆς om. P. 3. η' καὶ κ' PV. 4. θ' καὶ δ. PV. 8. πρῶτον] πρῶτος V: quod aut πρώτοις scribendum aut πρώτως, ut altero abhinc versu: v. dicta ad p. 162. A. 10. δ' om. V. 12. τοῦ ἁγίου θεοῦ P. 17. τὸν] τὸ m. R. 20. πρὸ om. P.

A. C. [Ol. Iph.]

CCIII. Olympias.

Anni a m. c.

83. XIX. Ind. V. Aruntino et Aënobarbo Coss. 4. 202. 5540.

Anno XX. Imperii Tiberii, qui a XXI. mensis Martii secundum Romanos praesentis Indictionis V. initium sumit, XXV. anno vigintioctennalis solis, et XII. anno decemnovennalis lunae cycli, et praedictis Coss. invento die XIV. primi mensis, lunae XI. secundum Romanos mensis Aprilis, in feria VI, hebdomadis, ut juxta praedictas methodos deprehendimus, Apostoli tum primum Pascha celebrarunt post Domini in coelos Assumptionem: sanctam autem ejus resurrectionem XIII. die Xanthici mensis. Illi igitur primum, uti dictum est, hoc praesenti anno celebrato Paschate, sacris Sancti Dei Ecclesiis quotannis observandum tradiderunt XIV. diem primi mensis lunae post diei ascensum, quo vernum aequinoctium incidit, id est XXI. mensis secundum Romanos Martii. Et quidem extra omnem controversiam haberi debet, magna luminaria in mundi constitutione post primum diem esse creata, ac mysticam Domini cum Discipulis coenam, tempore quo est passus, triduo ante sanctam Resurrectionem, fuisse peractam. Proinde recte statutum est ante XI. Kalendas Apriles Pascha non peragendum, neque ante XI. Kalendas Apriles, vel post VII. Kalendas Maias Paschale festum celebrare fas esse. Ita ergo ab XI. ex

καλανδῶν ἀπριλίων μηδὲ μετὰ τὴν πρὸ ζ′ καλανδῶν μαΐων πά-
P 226 σχα ἑορτάσαι. οὕτω τοίνυν ταῖς δηλωθείσαις ἀπὸ τῆς πρὸ ια′ καλανδῶν ἀπριλίων μέχρι τῆς πρὸ ζ′ καλανδῶν μαΐων ἡμέραις κανονιστέον. καὶ ἐὰν ἐν κυριακῇ φθάσῃ ἡ ιδ′ τῆς σελήνης, εἰς τὴν ἐπιοῦσαν κυριακὴν οἱ τῆς καθολικῆς τοῦ Χριστοῦ ἐκκλησίας μαθηταὶ τὸ πάσχα τελοῦμεν, ἵνα μὴ μετὰ τῶν Ἰουδαίων ἑορτάσωμεν. εἰ δὲ ἐν δευτέρᾳ τυχὸν ἢ τρίτῃ ἢ τετράδι ἢ πέμπτῃ ἢ παρασκευῇ ἢ σαββάτῳ, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἡ ιδ′ φθάσῃ τοῦ φέγγους, εἰς τὴν προϊοῦσαν κυριακὴν ἡμεῖς οἱ Χριστιανοὶ τελοῦμεν τὸ πάσχα, ἐπεκτεινομένης δηλαδὴ τῆς ποσταίας
B τοῦ φέγγους διὰ τὴν τῆς κυριακῆς ἡμέραν.

Τινὲς δὲ κατὰ τῶν ἐν ταῖς ἀνὰ πᾶσαν τὴν ὑφ' ἥλιῳ ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις τελουμένων ἑορτῶν οὐ μόνον γλώσσας ἀλλὰ δὴ καὶ χεῖρας κινῆσαι τολμήσαντες οὐκ ὤκνησαν καὶ ἐν τούτῳ τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν ἐπισκῆψαι, διότι τὴν σεπτὴν τῆς ἐκ νεκρῶν ἀναστάσεως Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἑορτὴν πάσχα προσαγορεύει, ἀγνοήσαντες, ὡς ἔοικεν, τὸ διὰ τῆς λέξεως ταύτης δηλοίμενον. ὅπερ γὰρ τῇ ἑλλάδι φωνῇ λέγεται διάβασις καὶ ἔκβασις καὶ ὑπέρβασις, τοῦτο τῇ Ἑβραίων γλώσσῃ φασόχ, ἤγουν πάσχα, ὀνομάζεται.

C Ἀναγκαίως οὖν ἡ τοῦ θεοῦ ἐκκλησία οὐ μόνον τὸ πάθος τοῦ κυρίου, ἀλλὰ δὴ καὶ τὴν ἀνάστασιν αὐτοῦ πάσχα προσαγο-

7. τετράδι] τετάρτῃ P. 12. ὑφ' ἥλιον P, ὑφιλφ m. R. 19. φασέχ P sola.

a. d. Kal. Apriles usque ad ex a. d. VII. Kal. Maias hisce designatis diebus, regula est sumenda. Quod si XIV. luna in diem Dominicam inciderit, sequenti Dominica nos Catholicae Christi Ecclesiae discipuli Pascha celebramus, ne cum Judaeis illud celebremus. Si autem in secundam forte, aut tertiam, aut quartam, aut quintam, aut Parasceven aut Sabbatum, ut in superioribus dictum est, XIV. lunae inciderit, proxime sequenti Dominica nos Christi Pascha agimus, producta ac prorogata nimirum propter diem Dominicam quota seu aetate lunae.

Non defuere autem qui dum contra receptum ab omnibus quae sub sole sunt sanctis Dei Ecclesiis, in celebrandis festis Paschalibus morem, non linguas duntaxat, sed etiam manus exerere audent, sanctam Dei Ecclesiam in hoc pariter reprehendere non dubitantes, quod venerandam a mortuis Christi Dei Resurrectionis festivitatem Paschatis nomine donaverit, cum ipsi, ut videtur, ignorent quid hoc vocabulo intelligamus. Quod enim Graeca lingua dicitur transitus, exitus et transmissio, illud ipsum Hebraeorum idiomate Phasech, seu Pascha, nuncupatur.

Necessario igitur Dei Ecclesia non solum Passionem Domini, sed etiam ejus Resurrectionem Pascha appellat. Quippe propter Domini

ρεύει. διὰ γὰρ τοῦ πάθους τοῦ κυρίου καὶ τῆς ἀναστάσεως αὐτοῦ διάβασιν καὶ ἔκβασιν καὶ ὑπέρβασιν ἡ τῶν ἀνθρώπων φύσις εἴληφεν τοῦ ἔχοντος τὸ κράτος τοῦ θανάτου, αὐτοῦ τε τοῦ θανάτου καὶ τοῦ ᾅδου καὶ τῆς φθορᾶς. εἰ γὰρ ὁ θάνατος τοῦ Χριστοῦ τοῦτο ἡμῖν ἐδωρήσατο, πολλῷ μᾶλλον ἡ ἀνάστασις αὐτοῦ, ὅτε ἀνέστη ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων, μηκέτι μέλλων ὑποστρέφειν εἰς διαφθοράν. θάνατος γὰρ οὐκέτι κυριεύει κατὰ τὴν τῶν θείων ἀποστόλων διδασκαλίαν. R 536 D

Δοκοῦσι δέ μοι οἱ κατηγορῆσαι τῆς ἐκκλησίας ἐν τούτῳ τολμήσαντες παρανοῆσαι τὴν ἐκ τοῦ Λευιτικοῦ μαρτυρίαν, ἐν ᾗ φησιν ὁ νομοθέτης, Καὶ τῇ ιδ' τοῦ α' μηνὸς ἀνὰ μέσον τῶν ἑσπερινῶν πάσχα τῷ κυρίῳ. καὶ ἐν τῇ ιε' τοῦ μηνὸς τούτου ἑορτὴ ἀζύμων τῷ κυρίῳ ζ' ἡμέρας ἔδεσθε ἄζυμα, καὶ ἡ ἡμέρα ἡ α' κλητὴ ἁγία ἔσται ὑμῖν, ὁμοίως καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν. ἀλλὰ τοὺς μὲν Ἰσραηλίτας πάσχα προσαγορεύειν τὴν ιδ' μόνον ὁ νομοθέτης προστάττει, ἐπειδὴ ἐν αὐτῇ τῇ ἡμέρᾳ κατὰ θεῖον πρόσταγμα τὸν ἀμνὸν πρὸς ἑσπέραν ἔθυσαν, καὶ τῷ αἵματι αὐτοῦ τοὺς σταθμοὺς καὶ τὰς φλιὰς ἔχρισαν, καὶ τὰ κρέα ἐν αὐτῇ τῇ νυκτὶ ἔφαγον, καὶ οὕτω μεσούσης τῆς νυκτός, καθὼς γέγραπται, διερχόμενος ὁ θεὸς ἐν γῇ Αἰγύπτου πατάξαι τὰ πρωτότοκα τῶν Αἰγυπτίων, θεασάμενος τὸ αἷμα, τοὺς μὲν υἱοὺς Ἰσραὴλ ἐσκέπασεν, παρελθὼν αὐτῶν τὴν θύραν P 227

8. τῶν om. P. 10. τοῦ om. P. *ibid.* Λευιτικοῦ] XXIII. 4. 20. Αἰγύπτῳ P.

Passionem illiusque Resurrectionem, transitum, exitum, et transmissionem humana accepit natura illius qui in mortem habet imperium, et potestatem: in ipsam, inquam mortem, inferos, et corruptionem. Si enim mors Christi id nobis est clargita, multo magis ejus Resurrectio, quando ex mortuis resurrexit, ipse primitiae dormientium, non amplius in corruptionem reversurus. Mors quippe, secundum divinorum Apostolorum doctrinam, non amplius dominatur.

Illi porro mihi videntur in hoc Ecclesiam accusare, dum prave interpretari audent testimonium ex Levitico, ubi ita ait Legislator: *Et quarta decima die primi mensis ad vesperam Phase Domino. Et quinta decima mensis hujus festum Azymorum Domino: septem diebus comedetis Azyma, et dies prima vocata, sancta erit vobis.* Verum Israelitis praecipit Legislator, ut XIV. lunam Pascha duntaxat appellent: quandoquidem ipso die, secundum divinum praeceptum, sub vesperam agnum immolarunt, cujus carnes, sanguine illius liminibus et postibus prius inunctis, in ipsa nocte comederunt. Atque ita, quemadmodum scriptum est, transiens media nocte Dominus in terram Aegypti, ut interficeret primogenitos Aegyptiorum, viso sanguine, filios Israel operuit, ipsorum fores pertransiens, nec sinens quenquam ex iis ab exterminatore percuti.

καὶ μὴ ἀφεὶς τὸν ὀλοθρεύοντα πατάξαι τινὰ ἐξ αὐτῶν. Αἰγυπτίοις δὲ τὴν φθορὰν ἐναπέσκηψεν καὶ τὰ πρωτότοκα αὐτῶν
V 182 ἀνεῖλεν· καὶ οὕτω μετὰ τὸ μεσονύκτιον τοὺς υἱοὺς Ἰσραὴλ ἐξήγαγεν ἐξ Αἰγύπτου. γέγραπται γὰρ ἐν τῇ ἱερᾷ βίβλῳ τῆς Ἐξόδου ἐπὶ λέξεως οὕτως. ,,ἐκάλεσεν δὲ Μωϋσῆς πᾶσαν τὴν γερου-
B σίαν Ἰσραήλ, καὶ εἶπεν πρὸς αὐτούς, Ἀπέλθατε, λάβετε ὑμῖν αὐτοῖς πρόβατον κατὰ συγγενείας ὑμῶν, καὶ θύσατε τὸ πάσχα· λήψεσθε δὲ δέσμην ὑσσώπου, καὶ βάψαντες ἀπὸ τοῦ αἵματος τοῦ εἰς τὴν θύραν καθίξετε τῆς φλιᾶς, καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν ἀπὸ τοῦ αἵματος ὃ ἐστι παρὰ τὴν θύραν· ὑμεῖς δὲ οὐκ
C ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου αὐτοῦ ἕως πρωί. καὶ παρελεύσεται κύριος πατάξαι τοὺς Αἰγυπτίους, καὶ ὄψεται τὸ αἷμα ἐπὶ τῆς φλιᾶς καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν· καὶ παρελεύσεται κύριος τὴν θύραν, καὶ οὐκ ἀφήσει τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πατάξαι. καὶ φυλάξασθε τὸ ῥῆμα
R 540 τοῦτο νόμιμον σεαυτῷ καὶ τοῖς υἱοῖς σου ἕως αἰῶνος. ἐὰν δὲ εἰσέλθητε εἰς τὴν γῆν, ἣν δῷ κύριος ὑμῖν, καθότι ἐλάλησε, καὶ φυλάξετε τὴν λατρείαν ταύτην. καὶ ἔσται, ἐὰν λέγωσι πρὸς ὑμᾶς οἱ υἱοὶ ὑμῶν, Τίς ἡ λατρεία αὕτη; καὶ ἐρεῖτε αὐτοῖς, Θυσία τὸ πάσχα τοῦτο κυρίου, ὃς ἐσκέπασε τοὺς οἴκους τῶν υἱῶν Ἰσραὴλ ἐν γῇ Αἰγύπτου, ἡνίκα ἐπάταξε τοὺς Αἰγυπτίους, τοὺς δὲ οἴκους ἡμῶν ἐῤῥύσατο. καὶ κύψας ὁ λαὸς προσεκύνησεν. καὶ

2. ἐνεπέσκηψεν P. 4. Ἐξόδου] XII. 21. 6. ἀπέλθετε P. 7. αὐτοῖς om. P. 8. λήψεσθε] καὶ λήψεσθε P sola. ib. αἵματος τοῦ] αἵματος αὐτοῦ V, αἵματος ὃ ἐστι P. 9. καθέξετε V, καὶ θίξετε ἐπὶ P, καὶ θίξετε R. 21. Αἰγύπτῳ P.

Aegyptiis vero exitium immisit, sublatis eorum primogenitis: sicque filios Israel post mediam noctem ex Aegypto eduxit. Scribitur enim in sacro Exodi libro ad verbum: *Vocavit Moyses omnes seniores Israel, et dixit ad illos, Ite, et accipite agnum per cognationes vestras et sacrificate Pascha. Accipietis autem fasciculum hyssopi, et tingentes ex sanguine qui est apud januam, et tangetis limen, et utrosque postes a sanguine, qui est apud januam. Vos autem non egredicmini unusquisque januam domus suae usque ad mane. Et transibit Dominus ad percutiendum Aegyptios, et videbit sanguinem in limine, et super utrosque postes, et transibit Dominus januam, et non sinet exterminatorem ingredi in domos vestras ad percutiendum. Et servabitis verbum hoc legitimum tibi et filiis tuis usque ad saeculum. Si autem ingressi fueritis in terram, quam dederit Dominus vobis, sicut locutus est, servabitis cultum hunc. Et erit, si dixerint ad vos filii vestri, Quis cultus hic? Et dicetis illis, Victima Pascha hoc Domino, qui protexit domos filiorum Israel in Aegypto, quando percussit Aegyptios, domos autem nostras liberavit. Incurvatusque populus adoravit.* Et rursum: *Si interrogaverit te filius tuus post haec dicens, Quid hoc? dices illi, Quoniam in manu forti eduxit nos Dominus ex Aegypto,*

πάλιν, Ἐὰν ἐρωτήσῃ σε ὁ υἱός σου μετὰ ταῦτα λέγων, Τί τοῦτο; ἐρεῖς αὐτῷ ὅτι Ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ἡμᾶς κύριος ἐκ γῆς Αἰγύπτου ἐξ οἴκου δουλείας· ἡνίκα δὲ ἐσκλήρυνε Φαραὼ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου ἀπὸ D προτοτόκων ἀνθρώπων ἕως πρωτοτόκων κτηνῶν. καὶ ἔσται εἰς σημεῖον ἐπὶ τῆς χειρός σου καὶ ἀσάλευτον πρὸ ὀφθαλμῶν σου. ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ με κύριος ἐξ Αἰγύπτου." τούτων οὕτως ὑπὸ τῆς θεοπνεύστου γραφῆς εἰρημένων εἰκότως ἄρα ἐκείνην τὴν ἡμέραν μόνον πάσχα οἱ υἱοὶ Ἰσραὴλ προσηγόρευον, τὴν δὲ ιε′ καὶ τὰς μετὰ αὐτὴν ς′ ἡμέρας ἑορτὴν ἀζύμων. ὅθεν τὴν ἑβραΐδα γλῶσσαν εἰς τὴν ἑλληνίδα φωνὴν μεταβάλλοντες διαβατήρια καὶ ὑπερβάσια τὴν ἑορτὴν ταύτην ἐκάλουν, ὡς ἔστιν τοῦτο γνῶναι ἔκ τε τῶν θεοφόρων τῆς ἐκκλησίας διδασκάλων καὶ ἐκ τῶν παρ' Ἑβραίοις σοφῶν, Φίλωνος λέγω καὶ Ἰωσήπου. ἡ δὲ P 223 τοῦ θεοῦ ἐκκλησία οὐ μόνον τὸ πάθος καὶ θάνατον τοῦ Χριστοῦ ἀλλὰ καὶ τὴν ἀνάστασιν αὐτοῦ πάσχα ὀνομάζει ἀναγκαίως διὰ τὴν ῥηθεῖσαν αἰτίαν, εἰ καὶ ἐν οἱαδήποτε ἡμέρᾳ τῶν ἑπτὰ ἡμερῶν τῶν μετὰ τὴν ιδ′ τοῦ πρώτου μηνὸς τῆς σελήνης εὑρεθείη αὕτη, λέγω δὲ ἡ ἀνάστασις, ἑορταζομένη. ὅθεν Βασίλειος ὁ μέγας, ὁ Καισαρείας Καππαδοκίας ἐπίσκοπος γεγονώς, ἐν τῷ λόγῳ τῷ προτρεπτικῷ εἰς τὸ βάπτισμα μεγάλῃ τῇ φωνῇ κηρύττει βοῶν, Πᾶς μὲν οὖν χρόνος εὐκαιρίαν ἔχει πρὸς τὴν διὰ τοῦ βαπτίσματος

1. πάλιν] XIII. 14. *ib.* ἐρωτήσει PV. 2. ἐγχειρὶ V. 5. ἀνθρώπων om. R, uncis inclusum addit P. *ib.* εἰς om. P. 7. τούτων οὖν οὕτως P. 13. θεοφόρων — τῶν om. P. 14. Φίλωνος] vol. II. p. 169. ed. Mang. *ib.* Ἰωσήπου] Arch. II. 14. 6. 19. ὁ Καισαρείας] Καισαρείας P.

e domo servitutis, quando Pharao induravcrat cor ne dimitteret nos, interfecit Dominus omne primogenitum in terra Aegypti, a primogenitis hominum, usque ad primogenita jumentorum, Et erit signum in manu tua, et immotum ante oculos tuos. In manu enim potenti eduxit me Dominus ex Aegypto. His igitur ab inspirata a Deo scriptura sic dictis, merito sane diem illum duntaxat Pascha appellarunt filii Israel: quintamdecimam vero, et sex illam insequentes, Festum Azymorum. Unde qui Hebraeam linguam in Graecanicam transtulerunt, Diabateria, et Hyperbasia, seu dies transitus et exitus, Festum hoc nuncuparunt: quod colligere licet ex iis qui apud Hebraeos doctrinae laude claruerunt, Philone, inquam, et Josepho. Ecclesia vero non solum Passionem et mortem Christi, sed etiam ejus Resurrectionem Pascha necessario appellat, ea quae allata est causa, in quamcumque ex VII. diebus post decimam quartam primi mensis lunae illa inciderit. Unde Basilius magnus, Caesareae Cappadociae Episcopus, in adhortatione ad Baptismum, ingenti voce praedicabundus clamat: *Omne quidem tempus opportunum est ad saluta-*

B σωτηρίαν, κἂν νύκτα εἴπῃς κἂν ἡμέραν κἂν ὥραν κἂν στιγμὴν χρόνου κἂν τὸ βραχύτατον· πολλῷ δὲ δήπου εἰκὸς ἐπιτηδειότερον εἶναι τὸν οἰκειότατον. τί δ' ἂν γένοιτο τῆς ἡμέρας τοῦ πάσχα συγγενέστερον πρὸς τὸ βάπτισμα; ἡ μὲν γὰρ ἡμέρα μνημόσυνόν ἐστιν ἀναστάσεως, τὸ δὲ βάπτισμα δύναμίς ἐστι πρὸς τὴν ἀνά- 5
στασιν. ἐν τοίνυν τῇ ἀναστασίμῳ τῆς ἀναστάσεως τὴν χάριν
R 542 ὑποδεξώμεθα. καὶ Γρηγόριος δὲ ὁ θεολόγος ἐν τῷ εἰς τὸ πάσχα λόγῳ, οὗ ἡ ἀρχή, Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, φησὶν ὁ θεσπέσιος Ἀμβακούμ, τὰ παραπλήσια διδάσκει, γράφων ὧδέ πως· Πάσχα κυρίου, πάσχα, καὶ πάλιν ἐρῶ, πάσχα, τιμὴ τῆς ἁγίας 10
C τριάδος. αὕτη ἑορτῶν ἡμῖν ἑορτὴ καὶ πανηγύρεων πανήγυρις,
V 183 τοσοῦτον ὑπεραίρουσα οὐ τὰς ἀνθρωπικὰς μόνον καὶ χαμαὶ ἐρχομένας ἀλλ' ἤδη καὶ τὰς αὐτοῦ Χριστοῦ καὶ ἐπ' αὐτῷ τελουμένας, ὅσον ἀστέρος ἥλιος. καλὴ μὲν οὖν καὶ ἡ χθὲς ἡμῖν λαμπροφορία καὶ φωταγωγία, ἣν ἰδίᾳ τε καὶ δημοσίᾳ συνεστησάμεθα 15
πᾶν γένος ἀνθρώπων μικροῦ καὶ ἀξία πᾶσα, δαψιλεῖ τῷ πυρὶ τὴν νύκτα καταφωτίζοντες, καὶ τοῦ μεγάλου φωτὸς ἀντίτυπος, ὅσον τε οὐρανὸς ἄνωθεν φρυκτωρεῖ κόσμον ὅλον αὐγάζων τοῖς παρ' ἑαυτοῦ κάλλεσι καὶ ὅσον ὑπερουράνιον ἔν τε ἀγγέλοις τῇ
D πρώτῃ φωτεινῇ φύσει μετὰ τὴν πρώτην τὸ ἐκεῖθεν καταυγάζεσθαι 20
καὶ ὅσον ἐν τῇ τριάδι, παρ' ἧς φῶς ἅπαν συνέστηκεν ἐξ ἀμερί-

12. χαμαὶ ἐρχομένας] Imitatur epicum χαμαὶ ἐρχόμενοι ἄνθρωποι. 14. ἀστέρος PV. ἀστέρας Gregorius vol. I. p. 846. ed. Benedictin. *ib.* καὶ ἡ χθὲς] καὶ ἠχθὲς V, χθὲς P. 15. συνιστάμεθα P. 16. μικροῦ δεῖν P. 20. καταυγάζεται m. P.

rem baptismatis fontem excipiendum, sive diem dicas, sive noctem, sive horam, sive momentum, sive quod momento brevius est: sed jure meritissimo opportunior est dies proprius et ad eam rem designatus. Quid autem die Paschae cognatius ad baptismum? Haec enim dies memoria est Resurrectionis. Baptismus autem janua est ad Resurrectionem. Recipiamus ergo his Paschalibus feriis pignus et gratiam Resurrectionis. Et Gregorius Theologus oratione in Pascha, cujus hoc initium, *In custodia mea stabo, inquit divinus Abacuc*, omnino gemina docet, cum ita scribit: *Pascha Domini, Pascha, iterum dico, Pascha, honor sacrosanctae Trinitatis. Hoc est festorum festum, et celebritas celebritatum, tanto reliquis omnibus non humanis tantum et ab hominibus profectis, sed ipsis Christi festis diebus clarius, quanto sol stellas superat claritate. Illustris quidem nobis et hesterna lux plena luminum et lucernarum quas gestavimus fuit, quam publice privatimque omnes prope mortales, et omnes omnium dignitatum ordines pulsa crebris ignibus nocte, peregimus, lux inquam magni illius solis umbra, tanto magis umbra, quanto coelum altius totum terrarum orbem suis ornamentis illustrat, quantoque clarius illud lumen, quod supracoeleste est, et in Angelis, et in ipsa Trinitate, a qua splendor omnis velut ex aeterno fonte luminis trahitur, decerpiturque relucet. Prae-*

στου φωτὸς μεριζόμενον καὶ τεμνόμενον. καλλίων δὲ ἡ σήμερον καὶ περιφανεστέρα, ὅσον χθὲς μὲν πρόδρομον ἦν τοῦ μεγάλου φωτὸς ἀνιστάμενον τὸ φῶς καὶ οἷον εὐφροσύνη τις προεόρτιος. σήμερον δὲ τὴν ἀνάστασιν αὐτὴν ἑορτάζομεν οὐκέτι ἐλπιζομένην, ἀλλ' ἤδη γεγενημένην καὶ κόσμον ὅλον ἑαυτῇ συνάγουσαν.

Ἐκ τῶν ἱερῶν τοίνυν καὶ θεοπνεύστων λογίων καὶ τῶν ὁσίων τῆς ἐκκλησίας διδασκάλων ταῦτα σαφῶς διδαχθέντες μετὰ παῤῥησίας οἱ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας λέγωμεν, Τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη καὶ ἀνέστη Χριστός. P 229 καὶ πάσχα ὀνομάζομεν, ὡς ἀνωτέρω εἴρηται, τὸν θάνατον τοῦ κυρίου καὶ τὴν ἀνάστασιν.

Εἶτα γνῶναι βουλόμενοι καὶ τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης τὸ πότε ἔφθασεν αὕτη, τὰ ,εφμ' ἔτη ποιοῦμεν παρὰ τὸν ιθ'. ιθ' σ' ,γω'· ιθ' ϛ' γίνονται ,αψι'· ιθ' μία γίνονται ιθ'· λοιπὸν ια'. τὸ οἷν ια' ἔτος τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος ἔχει προσκειμένην ἐπακτὴν μίαν· ταύτῃ προστίθεμεν ιγ' τὰς πρὸ τῶν R 542 φωστήρων, ζ' τὰς προσελήνους καὶ ια' τὰς ἀπὸ κα' τοῦ μαρτίου μηνός, ἀπριλίου ιβ'· γίνονται μδ'· ἔκβα λ'· λοιπὸν ιδ'. καὶ ἔγνωμεν ὡς εἰς ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης κατὰ τὸ παρὸν B ἔτος ἔφθασεν τῇ ιβ' τοῦ ἀπριλίου μηνός. εἶτα γνῶμεν καὶ ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος ἔφθασεν αὕτη· τοῖς ,εφμ' ἔτεσιν προστίθε-

2. ὅσον] ὅσῳ Gregorius. 5. συνάγουσα V. 10. τὸ πάσχα] I. Cor. V. 7. ib. ἐθύθη P. 11. ἀνώτερον P. 14. τὸν] τῶν PV. 16. ιθ' ετηρίδος P. 18. τὰς] τὰ V, τοὺς P. 21. ποία ἡμέρα PV.

clarior ergo lux hodierna, quod hesterna hodiernae quasi nuntia fuerit, et veluti nascens primum jubar, et praecepta quaedam futuri sequentisque festi laetitia. Hodierna vero die ipsum resurgentis Christi triumphum agamus, non speratum amplius aut expectatum, sed praesentem, totumque ad se mundum attrahentem.

A sacris igitur et a Deo dictatis oraculis, sanctisque Ecclesiae doctoribus haec clare edocti, quotquot ex sancta Catholica et Apostolica sumus Ecclesia libere dicamus, *Pascha nostrum pro nobis immolatus est Christus, et resurrexit.* Et Pascha appellamus, ut supra dictum est, mortem Domini et Resurrectionem.

Porro si velimus nosse decimamquartam primi mensis lunae, et quando illa accidit, annos V. MDXL. partimur per XIX. XIX. vero ducimus in CC. existunt III. MDCCC. XIX. in LXXXX. prodeunt MDCCX. XIX. semel efficiunt XIX. relinquuntur XI. Undecimus ergo annus naturalis decemnovennalis cycli adjunctam habet epactam unam, cui adjicimus XIII. illas anteluminares VII. antelunares, et XI. a XXI. Martii XII. Aprilis, et fiunt XLIV. abjice XXX. relinquuntur XIV. Intelligimus ergo quemadmodum hoc praesenti anno XIV. primi mensis lunae incidat in XII. Aprilis. Quod

μεν τὸ δ' ,ατπε'· γίνονται ,ςϡκε'. ταύτας εἰς ζ'· ζ' ϡ' ,ςτ'· ζ' π' γίνονται φξ'· ζ' ϑ' γίνονται ξγ'· λοιπὸν δὲ δύο. ταύτας πρόσθες γ' τὰς πρὸ τῶν φωστήρων καὶ ια' τὰς ἀπὸ κα' μαρτίου καὶ ιβ' ἀπριλίου· γίνονται κη'· ἔκβα ζ' γ'· γίνονται κα'· λοιπὸν ζ'. ἔφθασεν οὖν ἡ ιδ' κατὰ τὸ παρὸν ἔτος ἐν ἡμέρᾳ σαββάτου.

C Τούτῳ τῷ δευτέρῳ ἔτει τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου Φίλιππος ὁ ἀπόστολος τὸν εὐνοῦχον Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων ἀπαρχὴν τῆς τῶν ἐθνῶν κλήσεως τῷ τοῦ Χριστοῦ κηρύγματι ὑπηγάγετο.

Τῷ αὐτῷ ἔτει πρῶτος τῶν κατὰ τὴν Παλαιστίνην Καισάρειαν Κορνήλιος σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ δι' ἐπιφανείας θείας, ὑπουργίᾳ δὲ Πέτρου τοῦ ἀποστόλου, τὴν εἰς Χριστὸν πίστιν κατεδέξατο.

Ἰνδ. ς'. κ'. ὑπ. Γάλβα καὶ Σύλλου.

V 184 Ἀγρίππας υἱὸς Ἡρώδου τοῦ βασιλέως κατήγορος Ἡρώ-
D δου τοῦ τετράρχου ἀφικόμενος ἐν Ῥώμῃ δεσμεῖται ὑπὸ Τιβερίου.

Ἰνδ. ζ'. κα'. ὑπ. Γάλλου καὶ Νοννιανοῦ.

Ἐπὶ τούτων τῶν ὑπάτων Πόντιος Πιλᾶτος περὶ τοῦ Χριστοῦ καὶ τοῦ χριστιανῶν δόγματος ἐκοινώσατο Τιβερίῳ Καίσαρι, κἀκεῖνος τῇ συγκλήτῳ Ῥώμης. τῆς δὲ μὴ προσιεμένης, Τιβέ-

12. δὲ] τε PV. 18. Χριστοῦ καὶ τοῦ om. P. 19. τῷ Τιβερίῳ P.

si et diem hebdomadis investigare velimus, annis v. MDXL. quartam addimus partem, nempe MCCCLXXXV. fiunt VI. MDCCCCXXV. quos per VII. partimur. Septies DCCCC. efficiunt VI. MCCC. septies LXXX. faciunt DLX. septies IX. reddunt LXIII. reliqua sunt II. quibus adde III. anteluminares, et illas XI. a XXI. Martii, et XII. Aprilis, fiunt XXVIII. abjice septies III. fiunt XXI. relinquuntur VII. ergo XIV. hoc anno incidit in Sabbatum.

Hoc secundo anno Domini in coelos Assumptionis, Philippus Apostolus Candacis Reginae Aethiopum Eunuchum, primitias gentium vocationis, Christi praedicationi subjecit.

Hoc eodem anno, primus in Palaestina Caesarea Cornelius cum tota sua familia, divina apparitione monitus, ac Petri Apostoli opera, fidem in Christum suscepit.

A. C. [Ol. Iph.]

34. XX. Ind. VI. Galba et Sulla Coss.

Agrippa, Herodis Regis filius, Romam profectus ad accusandum Herodem Tetrarcham, a Tiberio in vincula conjicitur.

35. XXI. Ind. VII. Gallo et Nonniano Coss. 1. 208.

His Coss. Pontius Pilatus Christianorum dogmata Tiberio Caesari, ille vero Senatui Romano communicavit. Senatu autem id non admittente, Tiberius capitis poenam in Christianorum delatores decrevit, quemadmodum Tertullianus Latinus scriptor refert.

ριος θάνατον ἠπείλησεν τοῖς χριστιανοκατηγόροις, ὡς ἱστορεῖ Τερτυλλιανὸς ὁ Ῥωμαῖος.

Ἰνδ. η'. κβ'. ὑπ. Λελιανοῦ καὶ Πλαύτου.

Τετάρτῳ ἔτει τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου Πέ- P 230
τρος ὁ ἀπόστολος ἀπὸ Ἱεροσολύμων ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ τὸν λόγον τοῦ θεοῦ ἐδίδασκεν, καὶ τὴν χειροτονίαν τῆς ἐπισκοπῆς δεξάμενος ἐκεῖσε ἑαυτὸν ἐνεθρόνισεν, πεισθεὶς τοῖς ἀπὸ Ἰουδαίων γενομένοις χριστιανοῖς· καὶ τοὺς ἐξ ἐθνῶν πιστοὺς οὐκ ἐδέξατο οὐδὲ ἠγάπα, ἀλλ' οὕτως ἐάσας αὐτοὺς ἐξῆλθεν ἐκεῖθεν.

σδ' Ὀλυμπιάς. R 544

Ὁ βασιλεὺς Τιβέριος τελευτᾷ ἰδίῳ θανάτῳ ἐν τῷ παλατίῳ Ῥώμης, ἄπαις καὶ ἀγύναιος, ὢν ἐτῶν ο'.

Ῥωμαίων τέταρτος ἐβασίλευσεν Γάϊος Γάλλος Καῖσαρ ἔτη B
δ'. ὁμοῦ ,εφμή'.

Ἰνδ. θ'. α'. ὑπ. Προκούλου καὶ Νιπρίνου.

Γάϊος Καῖσαρ ἅμα ἐβασίλευσεν, Ἡρῴδην ἐξώρισεν διὰ Ἡρωδιάδα, ὡς φησιν Ἰώσηππος, καὶ Ἀγρίππαν λύσας τῶν δεσμῶν βασιλέα τῶν Ἰουδαίων κατέστησεν. οὗτός ἐστιν Ἡρῴδης ὁ Ἰάκωβον ἀνελών, ὃ εἰς τὰς Πράξεις λαλούμενος, ὃ σκωληκόβρωτος γεγονώς· ὅστις ἐβασίλευσεν ἔτη ζ', Γαΐου μὲν δ', Κλαυ-

7. *ἐνεθρονίασεν* V. 9. *οὐδὲ*] *οὔτε* PV. 13. *Γάλλος* V, m. R, *Γαλλιγόλας* P. 15. *Νιγρίνου* P sola. 17. *Ἰώσηππος*] Arch. XVIII. 19. *τὰς Πράξεις*] XII. 1.

A. C. [Ol. Iph.] Anni a m. c.

36. XXII. Ind. VIII. Leliano et Plauto Coss. 4.

Quarto post Domini in coelos assumptionem anno, Petrus Apostolus Hierosolymis Antiochiam magnam profectus verbum Dei docuit, et Episcopatus ordinatione suscepta, a Judaeis qui Christiani effecti erant persuasus, illic semet in Thronum immisit: neque quemquam ex gentilibus qui fidem receperant aut excepit, aut amplexus est, sed illis ita dimissis, inde exivit.

CCIV. Olympias.

Tiberius Imperator propria morte moritur Romae in Palatio, absque liberis et caelebs, natus annos LXX.

Romanis IV. imperavit Caius Caligula Caesar annos IV. 5547.
Colliguntur anni V. MDXLVIII.

37. I. Ind. IX. Proculo et Nigrino Coss. 1. 204. 5544.

Caius Caesar simul ac imperare coepit, Herodem propter Herodiadem in exilium misit, ut ait Josephus, et Agrippam vinculis solutum Judaeorum Regem constituit: (hic est Herodes qui Jacobum interfecit, de quo loquuntur Acta Apostolorum, a pediculis consumptus) qui annos VII. regnavit, Caio

δίου δὲ τοῦ μετ' αὐτὸν Γάϊον ἔτη γ', ὡς ἀναγράφεται Ἰώσηππος.

P 242 ἐπιζητεῖ τὸ δίκαιον πῶς ἐν τῷ ἑπτάκις πληροῦται καὶ τὰ ἐκδικούμενα, πότερον τὰ ἁμαρτηθέντα ἑπτά ἐστιν ἢ ἓν μὲν τὸ ἁμάρτημα, ἑπτὰ δὲ ἐπὶ τῷ ἑνὶ αἱ κολάσεις. ἀεὶ μὲν οὖν ἡ γραφὴ τὸν τῆς ἀφέσεως τῶν ἁμαρτιῶν ἀριθμὸν ἐν τοῖς ἑπτὰ περιορίζει. ποσάκις, φησίν, ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ, ὁ Πέτρος ἐστὶ λέγων τῷ κυρίῳ, ἕως ἑπτάκις; εἶτα ἀπόκρισις τοῦ κυρίου, Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις
B ἑπτά· οὐ γὰρ ἐπ' ἄλλον ἀριθμὸν μετέβη ὁ κύριος, ἀλλὰ τὸν ἑπτὰ πολυπλασιάσας ἐν αὐτῷ τὸν ὅρον ἔθετο τῆς ἀφέσεως. καὶ δι' ἑπτὰ ἐτῶν ὁ Ἑβραῖος ἀπελύετο τῆς δουλείας. ἑπτὰ δὲ ἑβδομάδες ἐτῶν τὸν ὀνομαστὸν ἰωβίλαιον ἐποίουν τοῖς πάλαι, ἐν ᾧ ἐσαββάτιζεν ἡ γῆ. χρεῶν δὲ ἦσαν ἀποκοπαὶ καὶ δουλείας ἀπαλλαγή, καὶ οἱονεὶ νέος ἄνωθεν καθίστατο βίος ἐν τῷ ἑβδοματικῷ
R 572 V 194 ἀριθμῷ, τοῦ παλαιοῦ τρόπον τινὰ τὴν συντέλειαν δεχομένου.

1. εἰ] ἢ P, ἡ V. *ibid.* μέλλει P. *ibid.* βελτίω V. 4. τούτῳ τῷ PV, τοῦτο τὸ m. P. 9. ἢ om. P. 12. φησίν] Matth. XVIII. 21. 16. τῆς ἀφέσεως om. P. 18. τὸ P.

bus peccatis poenas irrogare, sed par est, ut auctorem delicti gravioribus affligat suppliciis, ut et ipse corrigatur, et reliquos exemplo suo tardiores ad culpam reddat. Ergo quia decretum erat ut Cain septemplicem lueret poenam scelerum suorum, solvet, inquit, hanc ipsam illi poenam a divina sententia decretam qui occiderit Cainum. Hic primus hoc loco occurrit lectionis intellectus: Quia vero studiosorum animus solet altius rerum caussas pervestigare, quaerit de justitia, quomodo per septemplicem poenam illi satisfiat? utrum septemplex sit delictum, an vero, culpa simplex aut una, et septemplex poena pro uno delicto? Divinae scripturae lex numerum remissionis peccatorum semper septenario definit. Quoties, *inquit*, peccabit in me frater meus, et remittam illi, (*verba Petri sunt ad Dominum*) usque septies? *Deinde respondet Dominus:* Non dico tibi septies, sed usque septuagies septies; *nec enim Dominus ad numerum alium transiit, sed septenario multiplicato, in eodem constitit, et quasi terminum fixit remissionis. Et septimo anno Hebraeus libertate donabatur. Septem annorum hebdomades illud celebratissimum antiquis Jubilaeum exacte faciebant, quo requiescebat terra, debitorum nomina rescindebantur, servitus tollebatur, et quasi novum vitae genus in septimo annorum quinquaginta numero (priore et veteri quasi ad finem per-*

ταῦτα δὲ τύποι τοῦ αἰῶνος τούτου, ὃς διὰ τῶν ἑπτὰ ἡμερῶν ἀνακυκλούμενος ἡμᾶς παρατρέχει· ἐν ᾧ γίνονται αἱ τῶν μετριωτέρων ἁμαρτημάτων ἐκτίσεις κατὰ τὴν φιλάνθρωπον ἐπιμέλειαν τοῦ ἀγαθοῦ δεσπότου, ὡς μὴ τῷ ἀπεράντῳ αἰῶνι παραδοθῆναι ἡμᾶς εἰς κόλασιν. τὸ μὲν οὖν ἑπτάκις διὰ τὴν πρὸς τὸν κόσμον C τοῦτον συγγένειαν, ὡς τῶν φιλοκόσμων ἀνθρώπων ἀπ' αὐτῶν ὀφειλόντων μάλιστα ζημιοῦσθαι, ὧν ἕνεκεν εἵλαντο πονηρεύεσθαι. ἐκδικούμενα δὲ εἴτε τὰ παρὰ τῷ Καΐν λέγοις, εὑρήσεις ἑπτά, εἴτε τὰ παρὰ τοῦ κριτοῦ ἐπ' αὐτῷ ὁρισθέντα, καὶ οὕτως οὐκ ἀποτεύξῃ τῆς ἐννοίας. ἐν μὲν οὖν τοῖς παρὰ τοῦ Καΐν τετολμημένοις πρῶτον ἁμάρτημα φθόνος ἐπὶ τῇ προτιμήσει τοῦ Ἄβελ, δεύτερον δόλος μεθ' οὗ διειλέχθη τῷ ἀδελφῷ, εἰπών, Διέλθωμεν εἰς τὸ πεδίον, τρίτον φόνος, τέταρτον προσθήκη τοῦ κακοῦ, ὅτι καὶ ἀδελφοῦ φόνος, μείζων ἡ ἐπίτασις, πέμπτον ὅτι D πρῶτος φονεὺς ὁ Καΐν πονηρὸν ὑπόδειγμα τῷ βίῳ καταλιπών, ἕκτον ἀδίκημα, ὅτι γονεῦσιν πένθος ἐνεποίησεν, ἕβδομον, ὅτι θεὸν ἐψεύσατο. ἐρωτηθεὶς γὰρ ὅτι Ποῦ Ἄβελ ὁ ἀδελφός σου; εἶπεν Οὐκ οἶδα. ἑπτὰ οὖν ἐκδικούμενα παρέλυσεν ἐν τῷ ἀναιρεθῆναι τὸν Καΐν.

Ἐπειδὴ γὰρ εἶπεν ὁ κύριος ὅτι Ἐπικατάρατος ἡ γῆ, ἣ ἔχα-

7. ἕνεκα εἵλοντο P. 8. εἴτε τὰ] εἴ τῳ PV. *ibid.* εἴτε] εἰ P. 10. παρὰ τοῦ] παρ' αὐτοῦ P. 12. διηλέχθη PV. 13. τέταρτον — πέμπτον] δ' — ε' addit m. P, om. PV. 15. φονεὺς ὁ] φονεύσω V, φονεὺς P. 20. εἶπεν] Gen. IV. 11.

ducto) instaurabatur. Quae omnia adumbrabant hoc nostrum aevum, quod septem dierum orbita revoluta nos transit, quo culparum humanarum pro clementia et cura boni Dei nostri erga nos, poenae reposcuntur, culpae remittuntur, ne suppliciis sempiternis in omnem aeternitatem addicamur. Illud igitur, septies, propter propinquitatem seu hominum affectionem erga mundum hunc, dicitur, ut qui cum mundum plus aequo diligant, ab ipsis debitoribus, quorum causa statuerunt peccare, maxima detrimenta accipiant. Delicta porro Caini si cui exponas, septem reperias; si judicis poenas illi irrogatas, septem itidem cogitatione tua deprehendes. Primum ergo quod Cainus ipse patravit, est invidia, quod sibi a Deo Abelem praelatum senserit. Alterum crimen est fraus seu dolus, quo circumvenit fratrem, cum dixit: Exeamus in agrum. *Tertium, caedes. Quartum auctarium sceleris seu complementum, quod et fratrem mactarit, quod parricidium auget facinus. Quintum cum et primus sicarius Cainus extiterit, et pessimum exemplum in posteritatem propagarit. Sextum delictum, quod parentibus gravem luctum attulerit. Septimum quod ipsi Deo sit mentitus. Interrogatus enim,* Ubi esset frater? *dixit,* Nescio: *septem ergo crimina in caede Caini punita sunt septem poenis.*

Etenim Dominus dixit: Maledictus eris in terra quae hiavit ut hau-

νεν δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου, καὶ στένων καὶ τρέ-
P 243 μων ἔσῃ ἐπὶ τῆς γῆς, ὁ Καΐν φησιν, Εἰ ἐκβάλλεις με σήμερον ἀπὸ
τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι
στένων καὶ τρέμων ἐπὶ τῆς γῆς, καὶ πᾶς ὁ εὑρίσκων με ἀποκτε-
νεῖ. πρὸς δὴ τοῦτο ὁ κύριός φησιν, Οὐχ οὕτως· πᾶς ὁ ἀποκτεί- 5
νας Καΐν ἑπτὰ ἐκδικούμενα παραλύσει. ἐπειδὴ γὰρ ἐνόμισεν εὐά-
λωτος εἶναι παντὶ ὁ Καΐν διὰ τὸ ἐκ τῆς γῆς τὴν ἀσφάλειαν μὴ
ἔχειν, ἐπικατάρατος γὰρ ἡ γῆ ἀπ' αὐτοῦ, καὶ τῆς ἀπὸ θεοῦ βοη-
θείας ἠρημῶσθαι, ὀργισθέντος αὐτοῦ ἐπὶ τῷ φόνῳ, ὡς οὔτε
ἀπὸ γῆς οὔτε ἀπὸ οὐρανοῦ ἀντιλήψεως αὐτῷ λειπομένης, Ἔσται, 10
B φησί, πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με, ἐλέγχει αὐτοῦ τὸ σφάλ-
R 574 μα ὁ λόγος λέγων, Οὐχ οὕτως, τουτέστιν οὐκ ἀναιρεθήσῃ. ὁ
δὲ οὐ μόνον κρύπτει τὸ ἕλκος, ἀλλὰ καὶ ἕτερον προσεργάζεται, τῷ
φόνῳ τὸ ψεῦδος ἐπισυνάπτων, Οὐκ οἶδα· μὴ φύλαξ τοῦ ἀδελ-
φοῦ μού εἰμι ἐγώ; ἐντεῦθεν λοιπὸν ἀπαριθμεῖται τὰς τιμωρίας. 15
ἐπικατάρατος ἡ γῆ ἀπὸ σοῦ· μία κόλασις· ἐργᾷ τὴν γῆν· δευ-
τέρα αὕτη· ἀνάγκη γάρ τις ἄῤῥητος αὐτῷ συνέζευκται πρὸς τὸ
ἔργον τῆς γῆς αὐτὸν κατεπείγουσα, ὥστε μηδὲ βουλομένῳ αὐτῷ
ἐξεῖναι ἀναπαύεσθαι, ἀλλ' ἀεὶ αὐτὸν προσταλαιπωρεῖσθαι τῇ
ἐχθρᾷ αὐτοῦ γῇ, ἣν ἐπικατάρατον αὐτὴν ἐποίησεν, μιάνας ἀδελ- 20
C φότητος αἵματι. δεινὴ γὰρ τιμωρία ἡ μετὰ τῶν μισούντων διω-

1. τὸ αἷμα] τὸ ατόμα m. R. 2. ἡ ἐκβάλλης V. 4. ἀποκτενεῖ με P, με ἀποκτενεῖ με R. 7. ὁ om. P. 9. ἠρημᾶσθαι P. 10. ἀπὸ τοῦ οὐρανοῦ P. 15. μου om. P. 19. πρὸς ταλ. RV, πρὸς τὸ ταλ. P. 20. ἐχθρᾷ m. R, ἔχθρα PV.

riret sanguinem fratris tui, et eris gemens et tremens super terram. *Et dixit Cain:* Si ejicis me hodie a terra, et a facie tua abscondar, et ero gemens et tremens super terram, et omnis qui me invenerit, occidet me. *Ad hoc respondet Dominus:* Nequaquam ita fiet, sed, omnis qui occiderit Cain septuplum punietur. *Quia ergo Cain existimavit se a quovis facile captum iri, quod nec in terris ullum sciret praesidium, cum terra esset ab illo maledicta, nec a Deo auxilium expectaret, qui iratus illi erat propter caedem, ita ut coeli terraeque spe opeque illum deserente exclusus dixerit:* Omnis qui me invenerit, occidet me; *corrigit illius errorem Verbum, cum dicit:* Nequaquam ita fiet: *hoc est non occideris. Sed ille non solum ulcus tegit, sed alterum quoque ad caedem addit, dum mendacium concinnat, et dicit:* Nescio, numquid custos fratris mei sum ego? *Hinc jam poenas numerare Deus incipit.* Maledicta erit terra abs te. *Prima animadversio.* Operare terram. *Haec altera poena est: inexplicabilis enim quaedam ipsi necessitas affixa erat, quae illum ad opus ita urgebat, uti neque volenti quidem liceret ullam quietis partem capere, sed assiduissime premebat, terra illi infesta et inimica, quam sibi execrabilem fecerat, cum eam fraterno sanguine polluisset. Acerbum enim genus supplicii est vivere cum iis qui te oderint, et hostem domesticum*

γωγή, σύναικον ἔχειν πολέμιον, ἄπαυστον ἔχειν τὸ μῖσος. ἐργᾷ τὴν γῆν, τουτέστιν, κατατεινόμενος τοῖς ἔργοις τοῖς γεωπονικοῖς οὐδένα χρόνον ἀνήσεις οὔτε νυκτὸς οὔτε ἡμέρας ἐκλυόμενος ἐκ τῶν V 195
πόνων, ἀλλὰ δεσπότου τινὸς χαλεπωτέραν ἔχων τὴν ἀνάγκην ἐπὶ
5 τὰ ἔργα σε διεγείρουσαν, καὶ οὐ προσθήσει δοῦναι τὴν ἰσχὺν αὐτῆς. καίτοι εἰ καὶ τὸ τῆς ἐργασίας ἄπαυστον εἶχέ τινα καρπόν, αὐτὸς ὁ πόνος οὐ μετρία βάσανος τῷ ἀεὶ κατατεινομένῳ καὶ κοπιῶντι· ἐπειδὴ δὲ καὶ ἡ ἐργασία ἄπαυστος καὶ ἄκαρπος ἡ περὶ γῆν ταλαιπωρία, ἡ ἀκαρπία τῶν πόνων. στένων καὶ τρέμων D
10 ἔσῃ ἐπὶ τῆς γῆς. δύο προσέθηκεν ἄλλας ταῖς τρισί, στεναγμὸν διηνεκῆ καὶ τρόμον τοῦ σώματος, τὸν ἐκ τῆς ἰσχύος στηριγμὸν τῶν μελῶν οὐκ ἐχόντων. ἐπειδὴ γὰρ κακῶς ἐχρήσατο τῇ δυνάμει τοῦ σώματος, ὑφῃρέθη αὐτοῦ ὁ τόνος, ὥστε κλονεῖσθαι αὐτὸν καὶ κατασείεσθαι, οὔτε ἄρτον δυνάμενον προσφέρειν ῥᾳδίως
15 τῷ στόματι οὔτε ποτὸν προσκομίζειν τῆς πονηρᾶς χειρὸς μετὰ τὴν ἀνοσίαν πρᾶξιν οὔτε ταῖς ἰδίαις καὶ ἀναγκαίαις τοῦ σώματος χρείαις λοιπὸν ἐξυπηρετεῖσθαι συγχωρουμένης. ἄλλη τιμωρία, P 244
ἣν αὐτὸς ἀπεκάλυψεν ὁ Κάϊν εἰπών, Εἰ ἐκβάλλεις με νῦν ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι. ἡ βαρυτάτη
20 κόλασις τοῖς σωφρονοῦσιν ὁ ἀπὸ θεοῦ χωρισμός. καὶ ἔσται, φησίν, πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με. εἰκάζει ἐκ τοῦ ἀκολούθου

5. τὴν om. P. 14. ῥᾳδίως] ἀδεῶς P. 16. ἀναγκαίοις P, ἀνάγκαις R. 18. αὐτὸς om. P. ibid. ἐκβάλλης V.

retinere, et odium aeternum alere. Operare terram hoc est, nullo umquam tempore a terrae colendae et fodiendae sudore remitte, uti neque de nocte, neque de die respires a labore, sed ut ultima necessitate, quae omnem servilem servitutem superet, cogente, semper ad opus urgearis, nec assiduo tamen cultu illam meliorem reddas. Nam quamvis continuum opus habeat subinde operae fructum, tamen ipse labor ingentem adfert molestiam et tormentum semper distento, semper occupato et nunquam ab opere cessanti. Sed tu cum ingenti labore nihil proficies, nec operaepretium facies, nec fructum ullum reportabis. Insuper gemens et tremens eris super terram. Duas adjunxit alias poenas tribus, assidua suspiria, et corporis tremorem, amissa membrorum, quam ex fortitudine seu robore accipiebant, firmitudine. Cum enim corporis viribus abusus esset, nervus ab illo cessit, ut paveret, et assidua quadam trepidatione conciteretur, uti nec cibum tuto ori admovere, nec gestare poculum sine tremore posset, manu impia, post impium et parricidale factum, usum necessariae corporis functioni subducente. Alia poena est, quam prodidit Cainus, cum dixit: Si ejicis me hodie a facie terrae, et a facie tua abscondar. Gravissimum hoc supplicium prudentibus, repulsa a facie et conspectu Dei. Et erit, inquit, omnis qui me invenerit, occidet me. Conjectat ex prioribus poenis, consecuturas. Si ejicis me a facie terrae, si a facie

R 576 τῶν προαγόντων, Εἰ ἀπὸ τῆς γῆς ἐκβέβλημαι, εἰ ἀπὸ τοῦ προσ-
ώπου σου κρυβήσομαι, λείπεται ἀπὸ παντὸς ἀναιρεῖσθαι. τί
οὖν ὁ κύριος; οὐχ οὕτως, ἀλλ' ἔθετο σημεῖον ἐπ' αὐτόν· ἑβ-
δόμη αὕτη τιμωρία, τὸ μηδὲ κρύπτεσθαι τὴν τιμωρίαν, ἀλλὰ
B σημείῳ προδήλῳ πᾶσι προκεκηρῦχθαι ὅτι οὗτός ἐστιν ὁ τῶν ἀνο- 5
σίων ἔργων δημιουργός. καὶ γὰρ τῷ ὀρθῶς λογιζομένῳ βαρυτάτη
κολάσεων αἰσχύνη, ἣν καὶ περὶ τῆς κρίσεως μεμαθήκαμεν ὅτι οὗ-
τοι ἀναστήσονται εἰς ζωὴν αἰώνιον καὶ οὗτοι εἰς αἰσχύνην καὶ ὀνει-
δισμὸν αἰώνιον. ἀκολουθεῖ τούτῳ ζήτημα συγγενὲς τὸ παρὰ τοῦ
Λάμεχ ταῖς γυναιξὶν εἰρημένον, Ὅτι ἄνδρα ἀπέκτεινα καὶ νεανί- 10
σκον, τὸν ἄνδρα εἰς τραῦμα καὶ νεανίσκον εἰς μώλωπα. ἄλλο οὖν
τραῦμα καὶ ἄλλο μώλωψ, καὶ ἄλλο ἀνὴρ καὶ ἄλλο νεανίσκος. ὅτι
εἰ ἐκ Κάϊν ἐκδεδίκηται ἑπτάκις, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις
ἑπτά, τετρακοσίας καὶ ἐνενήκοντα τιμωρίας ὑποσχεῖν, εἰ μὴ
δίκαιος, εἴπερ δικαία τοῦ θεοῦ ἡ κρίσις ἐπὶ τοῦ Κάϊν, ὥστε ἑπτὰ 15
C αὐτὸν παρέχειν τὰς κολάσεις· ὁ μὲν γὰρ ὥσπερ οὐκ ἔμαθεν παρ'
ἄλλου τὸ φονεύειν, οὕτως οὐδὲ εἶδεν τιμωρίαν ὑπέχοντα φονευτήν.
ἐγὼ δὲ ἐν ὀφθαλμοῖς ἔχων τὸν στένοντα καὶ τρέμοντα καὶ τὸ μέ-
γεθος τῆς ὀργῆς τοῦ θεοῦ, οὐκ ἐσωφρονίσθην τῷ ὑποδείγματι,
ὅθεν ἄξιός εἰμι τετρακοσίας καὶ ἐνενήκοντα δοῦναι κολάσεις. ἔνιοι 20
δὲ πρὸς τοιοῦτον ὥρμησαν λόγον, οὐκ ἀπάδοντα τοῦ ἐκκλησια-

1. ἐκβέβλη με V, ἐκβέβληκάς με P. 4. μὴ δὲ V, δὲ μὴ P. 5. πᾶσι om. P. 6. τῷ] τὸ PV. ib. λογιζομένων P. 7. ὅτε P. 10. νεανιανίσκον V. 11. τὸν ἄνδρα — νεανίσκον om. P. 14. 20. ἐννενήκοντα PV. 16. ὥσπερ om. P. 17. οὕτως οὐδὲ] οὗτος δὲ P.

tua me repellis, quid superest nisi ut proscriptus a quovis possim tolli. Quid ergo Dominus: Non ita: *sed posuit signum in illo: septima haec est poena. Quod autem animadversio non occulta, sed aperto signo praenuntiata sit, hunc esse nempe illum conceleratorum factorum architectum, sapientum judicio, poenarum omnium gravissima est ob ignominiam, quam ex ultimo quoque judicio existimare possumus, quando hi resurgent in vitam aeternam, et illi in ignominiam sempiternam. Sequitur huic annexa quaestio, quid sit quod Lamechus uxoribus suis dixit:* Quoniam virum interfeci, et juvenem in livorem. *Aliud ergo vulnus, et aliud livor, et aliud vir, et aliud adolescens. Quod si ob Cainum septemplex poena decreta est, ex Lamechi caede septuagies septena decernetur: si impius fuit Caihus, si pium et aequum judicium Dei de Caino, ut septemgemina poena plecteretur, is enim nullo exemplo caedem designavit, iste vero vidit etiam parricidam poenam subiisse. Ego vero ob oculos mihi versantem videre semper videor gementem et trementem Cainum, immensamque Dei iram et furorem, nec tamen exemplo sapere didici: unde dignus sum quadringentis nonaginta plagis. Quidam tamen*

στικοῦ δόγματος, ὅτι ἀπὸ τοῦ Κάϊν ἕως τοῦ κατακλυσμοῦ ἑπτὰ παρεληλύθασιν γενεαί. καὶ εὐθέως ἐπηνέχθη τῇ γῇ ἡ τιμωρία διὰ τὸ πολλὴν γενέσθαι χύσιν τῆς ἁμαρτίας. τὸ δὲ ἁμάρτημα τοῦ Λάμεχ οὐ κατακλυσμοῦ δεῖται πρὸς θεραπείαν, ἀλλ' αὐτοῦ D τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου.

Ἀρίθμησον τοίνυν ἀπὸ Ἀδὰμ μέχρι τῆς παρουσίας τοῦ Χριστοῦ τὰς γενεάς, καὶ εὑρήσεις κατὰ τὴν τοῦ Λουκᾶ γενεαλογίαν τῇ ἑβδομηκοστῇ καὶ ἑβδόμῃ διαδοχῇ γεγεννημένον τὸν Χριστόν. καὶ πρὸς εὐμάθειαν τῶν ἐντυγχανόντων καὶ αὐτὴν τὴν γενεαλογίαν ἐνταῦθα καθυπετάξαμεν.

R 578
V 196
P 245

Ἐκ τοῦ κατὰ Λουκᾶν τὸν εὐαγγελιστήν.

Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος εἶναι, ὡς ἐνομίζετο, υἱὸς

α'	τοῦ Ἰωσὴφ	β'	τοῦ Ἡλεὶ
γ'	τοῦ Ματταθὰ	δ'	τοῦ Λευὶ
ε'	τοῦ Μελχὶ	ς'	τοῦ Ἰαννὰ
ζ'	τοῦ Ἰωσὴφ	η'	τοῦ Ματταθίου
θ'	τοῦ Ἀμὼς	ι'	τοῦ Ναοὺμ
ια'	τοῦ Ἐσλεὶ	ιβ'	τοῦ Ναγγαὶ
ιγ'	τοῦ Μαὰθ	ιδ'	τοῦ Ματταθίου

6. τοίνυν] οὖν P. 11. Λουκᾶν] III. 23. 18. Ναοὺμ P.

ad hujuscemodi rationem progressi sunt, quae quidem ab Ecclesiastica doctrina minime est aliena. A Caino nempe usque ad diluvium septem generationes praeteriisse, et inde confestim terris poenam propter omnium peccatorum colluvionem et confusionem illatam. Lamechi porro delictum ad curationem cataclysmo non indigebat, sed illo ipso qui tollit peccata mundi.

Collige ergo aetates ab Adam usque ad Christi adventum, et juxta Lucae genealogiam, reperies, Christum septuagesima septima generationis successione natum. Atque etiam in gratiam seu faciliorem cognitionem lectorum ipsam hic Genealogiam subjecimus.

Ex Evangelio secundum Lucam Evangelistam.

Et ipse Jesus erat incipiens quasi annorum triginta, ut putabatur esse, filius.

I.	Joseph,	II.	Heli,
III.	Matthata,	IV.	Levi,
V.	Melchi,	VI.	Janna,
VII.	Joseph,	VIII.	Matthathiae,
IX.	Amos,	X.	Nasum,
XI.	Hesli,	XII.	Naggae,
XIII.	Maath,	XIV.	Matthathiae,

ιε' τοῦ Σεμεεὶ
B ιζ' τοῦ Ἰούδα
ιθ' τοῦ Ῥησὰ
κα' τοῦ Σαλαθιὴλ
κγ' τοῦ Μελχεὶ
κε' τοῦ Κωσὰμ
κζ' τοῦ Ἠρ
κθ' τοῦ Ἐλιέζερ
λα' τοῦ Ματθὰθ
λγ' τοῦ Συμεὼν
λε' τοῦ Ἰωσὴφ
λζ' τοῦ Ἐλιακεὶμ
λθ' τοῦ Μαϊανᾶν
μα' τοῦ Νάθαν
C μγ' τοῦ Ἰεσσαὶ
με' τοῦ Βοὸζ
μζ' τοῦ Ναασσὼν
μθ' τοῦ Ἀρὰμ
να' τοῦ Ἐσρὼμ
νγ' τοῦ Ἰούδα
νε' τοῦ Ἰσαὰκ
ις' τοῦ Ἰωσὴφ
ιη' τοῦ Ἰωαννὰ
κ' τοῦ Ζοροβάβελ
κβ' τοῦ Νηρεὶ
κδ' τοῦ Ἀδδεὶ
κς' τοῦ Ἐλμωδὰδ
κη' τοῦ Ἰωσῆ
λ' τοῦ Ἰωρεὶμ
λβ' τοῦ Λευὶ
λδ' τοῦ Ἰουδᾶ
λς' τοῦ Ἰωνὰν
λη' τοῦ Μελχέα
μ' τοῦ Ματταθὰ
μβ' τοῦ Λαβὶδ
μδ' τοῦ Ὠβὴδ
μς' τοῦ Σαλμὼν
μη' τοῦ Ἀμιναδὰβ
ν' τοῦ Ἰωρὰμ
νβ' τοῦ Φαρὲς
νδ' τοῦ Ἰακὼβ
νς' τοῦ Ἀβραὰμ

1. Σεμιεὶ P. 9. Ματτὰθ P. 12. Ἐλειακεὶμ P. ib. Μελχὰ P.
15. Ὀβὴθ P. 17. Μηναδὰβ P. 19. Φάρεξ P.

XV. Semei,
XVII. Juda,
XIX. Resa,
XXI. Salathiel,
XXIII. Melchi,
XXV. Cosam,
XXVII. Her,
XXIX. Eliezer,
XXXI. Matthath,
XXXIII. Symeon,
XXXV. Joseph,
XXXVII. Eliacim,
XXXIX. Maiana,
XLI. Nathan,
XLIII. Jesse,
XLV. Booz,
XLVII. Naasson,
XLIX. Aram,
LI. Esrom,
LIII. Juda,
LV. Isaac,
XVI. Joseph,
XVIII. Joanna,
XX. Zorobabel,
XXII. Neri,
XXIV. Addi,
XXVI. Elmodad,
XXVIII. Jesu,
XXX. Jorim,
XXXII. Levi,
XXXIV. Juda,
XXXVI. Jonan,
XXXVIII. Melcha,
XL. Matthatha,
XLII. David,
XLIV. Obed,
XLVI. Salman,
XLVIII. Minadab,
L. Joram,
LII. Pharez,
LIV. Jacob,
LVI. Abraham,

νζ′ τοῦ Θάῤῥα
νθ′ τοῦ Σεροὺχ
ξα′ τοῦ Φάλεγ
ξγ′ τοῦ Σάλα
ξε′ τοῦ Ἀρφαξὰτ
ξζ′ τοῦ Νῶε
ξθ′ τοῦ Μαθουσάλα
οα′ τοῦ Ἰάρετ
ογ′ τοῦ Καϊνὰν
οε′ τοῦ Σὴθ
οζ′ τοῦ θεοῦ.

νη′ τοῦ Ναχὼρ R 580
ξ′ τοῦ Ῥαγαῦ
ξβ′ τοῦ Ἔβερ
ξδ′ τοῦ Καϊνὰν
ξς′ τοῦ Σὴμ
ξη′ τοῦ Λάμεχ
ο′ τοῦ Ἐνὼχ D
οβ′ τοῦ Μαλελεὴλ
οδ′ τοῦ Ἐνὼς
ος′ τοῦ Ἀδὰμ

Ἰνδ. ι′. ιδ′. ὑπ′. Ἰταλικοῦ καὶ Τραχάλου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἀφανὴς γέγονεν Νέρων, καὶ τελευτᾷ ἐκ συσκευῆς τῶν Ἰουδαίων, καθότι Πιλᾶτον ἀπεκεφάλισεν ὡς εἰς ἐκδίκησιν τοῦ Χριστοῦ, καὶ τελευτᾷ ὁ αὐτὸς Νέρων, ὢν ἐτῶν ξθ′. μετὰ Νέρωνα Γαλβᾶς ἐβασίλευσεν ἐν Ἰβηρίᾳ, Οὐιτέλλιος ἐν Γερμανίᾳ, Ὄθων ἐπὶ Ῥώμης. P 246

Ἕκαστος αὐτῶν ἰδίᾳ ἐπέβη τῇ ἀρχῇ. Γάλβας ἐβασίλευσεν μῆνας ζ′. καὶ ἐν μέσῃ τῇ Ῥωμαίων ἀγορᾷ τὴν κεφαλὴν ἀπετμήθη.

2. Ῥαγὰβ P. 5. Φαξὰδ P. 8. Μαλαλεὴλ P. 9. Ἐνὸς PV. 12. Τραχάνου P. 15. εἰς om. R. 17. (ἐν) P, om. R. *ibid.* Post Ῥώμης addit R [σζ′, ση′, σθ′, σι′, σια′.]

Anni a m. c.

LVII.	Tharra,	LVIII.	Nachor,
LIX.	Seruch,	LX.	Ragab,
LXI.	Phaleg,	LXII.	Heber,
LXIII.	Sala,	LXIV.	Caïnan,
LXV.	Phaxad,	LXVI.	Sem,
LXVII.	Noë,	LXVIII.	Lamech,
LXIX.	Mathusala,	LXX.	Enoch,
LXXI.	Jared,	LXXII.	Malaleel,
LXXIII.	Caïnan,	LXXIV.	Enos,
LXXV.	Seth,	LXXVI.	Adam,
LXXVII.	Dei.		

A. C. [Ol. Iph.] 5576.

68. XIV. Ind. X. Italico et Trachano Coss. 4.

Hisce Coss. disparuit Nero, moriturque ex clandestinis Judaeorum consiliis, quod in Christi vindictam Pilatum capite plecti curaverit. Periit porro idem Nero annos natus LXIX. Post Neronem imperavit, in Hispania Galba, in Germania Vitellius, Romae denique Otho.

Horum singuli seorsim imperium arripuerunt. Galba imperavit menses VII. ac in medio Romae foro capite truncatus est.

Otho cum imperasset menses VI. sibi manus intulit.

Οὐϊτέλλιος βασιλεύσας μῆνας ι΄ ἑαυτῷ διεχειρίσατο Ὄθων βασιλεύσας μῆνας ϛ΄ ἐσφάγη ἐν τῷ παλατίῳ Ῥώμης.

σιβ΄ Ὀλυμπιάς.

Ῥωμαίων ζ΄ ἐβασίλευσεν Οὐεσπασιανὸς ἔτη θ΄, μῆνας ια΄,
B *ἡμέρας κβ΄, στέψαντος αὐτὸν τοῦ στρατοῦ.* ὁμοῦ ,εφπϛ΄.
V 197 *Ἰνδ. ια΄. α΄. ὑπ. Γαλβᾶ καὶ Τίτου Ῥουφίνου.*

Ἐπὶ τούτων τῶν ὑπάτων ταφῇ παρεδόθη τὰ σώματα τῶν ἁγίων ἀποστόλων κατὰ κέλευσιν Οὐεσπασιανοῦ τοῦ βασιλέως· ἐν ὁράματι γὰρ ἐκελεύσθη δοῦναι ταφῇ τὰ σώματα τῶν ἁγίων ἀποστόλων.

Τῷ αὐτῷ ἔτει ὁ ἅγιος Ἰάκωβος ὁ ἀπόστολος καὶ πατριάρχης Ἱεροσολύμων, ὃν ἐνεθρόνισεν ὁ ἅγιος Πέτρος εἰς τόπον
R 582 *ἑαυτοῦ, ἀνιὼν ἐπὶ τὴν Ῥώμην, ἐτελεύτησεν· καὶ παρέλαβε τὸ σχῆμα τῆς ἐπισκοπῆς Ἱεροσολύμων Συμεὼν ὁ καὶ Σίμων, καὶ γέγονε πατριάρχης.*
C *Ἐπὶ τῶν αὐτῶν ὑπάτων ἔπαθεν ἀπὸ θεομηνίας Νικομήδεια μητρόπολις μεγάλη τῆς Βιθυνίας.*

Τούτῳ τῷ ἔτει θνήσκει Ἀγρίππας ὁ βασιλεὺς ὁ τῆς Βερενίκης, βασιλεύσας ἔτη κϛ΄· καὶ λοιπὸν Οὐεσπασιανὸς καταλύει τὴν βασιλείαν τῶν ἀλλοφύλων Ἡρώδου καὶ Ἀγρίππα.

1. Ὄθων βασιλεύσας μῆνας ϛ΄ διεχειρίσατο ἑαυτὸν (ἑαυτῷ R, et in m. *lego* ἑαυτὸν). *Οὐιτέλλιος βασιλεύσας μῆνας ι΄ ἐσφάγη ἐν τῷ παλατίῳ Ῥώμης* P. 14. *μῆνας ια΄, ἡμέρας κβ΄* om. P, habet m. R. 16. *ἔπαθεν* om. P.

Anni a m. c. Vitellius denique imperii mense x. in Palatio est interemptus.

CCXII. Olympias.

5585. Romanis VII. imperavit Vespasianus annos IX. ab exercitu electus et diademate donatus. Colliguntur anni V. MDLXXXVI.
69. I. Ind. 11. Galba et Tito Rufino Coss. 1. 212.
His ipsis Coss tumulo condita sunt Sanctorum Apostolorum corpora praecepto Vespasiani Imperatoris: per visum enim corpora Sanctorum Apostolorum humo manducare jussus est.
Hoc eodem anno, Sanctus Jacobus Apostolus, et Hierosolymorum Patriarcha, quem Sanctus Petrus in locum suum Episcopum constituerat, dum Romam pergeret, mortuus est, et dignitatem Hierosolymorum Episcopatus excepit Symeon, qui et Simon vocabatur, factusque est Patriarcha.
Iisdem Coss. Nicomedia metropolis magna Bithyniae ex ira divina...
Hoc anno moritur Agrippa Rex, Berenices filius, cum regnasset annos XXVI. simulque Vespasianus Herodis et Agrippae alienigenarum regnum delet.

Κατὰ τὸν αὐτὸν χρόνον τυραννήσαντες οἱ Ἰουδαῖοι ἀνεῖλαν τὸν ἑαυτῶν ἄρχοντα Κυρήνιον.

Οὐεσπασιανὸς αὐτοκράτωρ τὸν κατὰ Ἰουδαίων ἐγχειρίσας πόλεμον Τίτῳ αὐτὸς δι' Ἀλεξανδρείας εἰς τὴν Ῥωμαίων ἀφίκετο πόλιν.

Ἰωάννης ὁ θεολόγος ἐκβὰς εἰς Ἔφεσον ἐποίησεν ἐκεῖσε ἔτη D
ἐννέα, καὶ ἐν τῇ ἐξορίᾳ αὐτοῦ ἐν Πάτμῳ τῇ νήσῳ ἔτη ιε', καὶ ὑποστρέψας πάλιν εἰς Ἔφεσον, καὶ γράψας τὸ εὐαγγέλιον, ἐποίησεν ἕως τῆς κοιμήσεως αὐτοῦ ἕτερα ἔτη κϛ'.

Ἰνδ ιβ'. β'. ὑπ. Οὐεσπασιανοῦ αὐτοκράτορος μόνου.

Τριακοστῷ ἑνάτῳ ἔτει τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου Τίτος υἱὸς Οὐεσπασιανοῦ τὴν Ἰουδαίαν παρέλαβεν καὶ τὴν Ἱερουσαλήμ, πορευθεὶς εἰς πᾶσαν τὴν Παλαιστίνην, τὸ ἱερὸν τῶν Ἰουδαίων κατέστρεψεν. ἦν δὲ ἡ ἡμέρα τῆς ἑορτῆς τοῦ πά-
σχα, ὅτε παρέλαβε τὴν πόλιν Ἱερουσαλὴμ καὶ ἀπώλεσε ψυχῶν P 247
μυριάδας ρι' ξίφεσιν αὐτοὺς κατακόψας, καὶ ἄλλας δὲ μυριάδας ιε' διαπέπρακεν αἰχμαλώτων νεανίσκων καὶ παιδίων ἀῤῥένικῶν καὶ παρθένων κορασίων, καθὼς Ἰώσηππος ὁ σοφώτατος χρονογράφος συνεγράψατο· ὡς γὰρ Ἑβραῖος ὑπάρχων παρῆν ἐν τῷ πολέμῳ. πάσας δὲ τὰς ἐπαρχίας τῆς Ἰουδαίας ἀπώλεσεν ὁ Τίτος.

Ὁ δὲ σοφώτατος Εὐσέβιος ὁ Παμφίλου συνεγράψατο οὕ-

1. ἀνεῖλον P. 11. ἐννάτῳ PV. 13. πορευθεὶς εἰς] καὶ ἐπόρθησε Malalas p. 260. 7. *ib.* τὸ] καὶ P. 14. ἡ om. P. 18. Ἰώσηππος] Bel. Iud. VI. 9. 20. τὰς om. P.

Eadem tempestate, Judaei seditione excitata, Cyrenium Praesidem suum interfecerunt. Anni a m. c.

Vespasianus Imperator, bello adversus Judaeos Tito mandato, per Alexandriam Romam venit.

Joannes Theologus cum Ephesum venisset, annos IX. in ea urbe, in suo vero in Patmo insula exilio, annos XV. exegit: rursumque Ephesum reversus, scripto Evangelio, usque ad mortem suam ibi versatus est annis aliis XXVI.

A. C. [Ol. Iph.]

70. II. Ind. XII. Vespasiano solo Cos. 2. 5579.

Anno XXXIX. Christi in coelos assumptionis, Titus Vespasiani filius Judaeam urbemque Hierusalem recepit, peragrata universa Palaestina, ipsoque Judaeorum everso templo. Agebatur tum Paschatis dies, cum urbem Hierosolymitanam expugnavit, et undecies centena Judaeorum millia, iis gladio interemptis, delevit, aliaque centum quinquaginta millia captivorum ex adolescentibus et pueris, ac virginibus et puellis, sub corona vendidit, ut tradit Josephus doctissimus Chronographus: quippe ut Hebraeus bello isti interfuit. Judaeae porro provincias omnes vastavit Titus.

Doctissimus vero Eusebius Pamphili de his in hunc modum scribit:

τως· ὅτι ἐν τῇ ἑορτῇ τὸν Χριστὸν ἐσταύρωσαν οἱ Ἰουδαῖοι, ἐν τῇ αὐτῶν ἑορτῇ πάντες ἀπώλοντο. καὶ τοῦτο μάλιστα γέγονεν αἴτιον τοῦ τοσοῦτον πλῆθος ηὑρῆσθαι ἐν τῇ πόλει, καθότι ἐν τῇ
B τοῦ πάσχα ἑορτῇ πάντες συνελήλυθότες ἐτύγχανον, ὥσπερ ἐν εἱρ-
R 584 κτῇ συγκλεισθέντες. ἔδει γὰρ ἔδει τοὺς ἐν ἡμέρᾳ τοῦ πάσχα τῷ σωτῆρι ἐπιβεβουλευκότας μὴ ἄλλοτε τὰ ἐπίχειρα ὧν ἐτόλμησαν παθεῖν, ταῦ σωτῆρος θεοῦ ἐκδεδωκότος αὐτούς.

Ὁ δὲ Τίτος θριαμβεύσας τὴν νίκην ἀνῆλθεν ἐπὶ τὴν Ῥώμην. Οὐεσπασιανὸς δὲ ὁ βασιλεὺς ἐκ τῆς Ἰουδαϊκῆς ποαίδας ἔκτισεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ τῆς Συρίας καὶ τὰ μεγάλα Χε-
ρουβεὶμ ταῖς πύλαις τῆς πόλεως ἐκεῖ ἔπηξεν, καὶ τὰ Χερουβεὶμ τὰ χαλκᾶ, ἃ ηἶρεν Τίτος ὁ υἱὸς αὐτοῦ ἐν τῷ ναῷ ὑπὸ Σολομῶνος πεπηγμένα· ὅτε γὰρ τὸν ναὸν ἔστρεψεν, ἀφείλατο αὐτὰ καὶ
C ἤνεγκεν αὐτὰ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ σὺν τοῖς Σεραφεὶμ θριαμ-
V 198 βεύων τὴν κατὰ Ἰουδαίων γινομένην ἐπὶ τῆς αὐτοῦ βασιλείας νί-
κην, στήσας ἄνω στήλην χαλκῆν εἰς τιμὴν τῆς σελήνης μετὰ τεσσάρων ταύρων προσεχόντων ἐπὶ Ἱερουσαλήμ. νυκτὸς γὰρ αὐτὴν παρέλαβεν λαμπούσης τῆς σελήνης, καὶ διὰ τοῦτο τὴν στήλην ἔστησεν. ἔκτισε δὲ καὶ τὸ θέατρον Δάφνης ἐπιγράψας ἐν αὐτῷ EX PRAEDA IVDAEAE. ἦν δὲ πρώην ὁ τοῦ αὐτοῦ θεάτρου τόπος συναγωγὴ Ἰουδαίων, καὶ πρὸς ὕβριν αὐτῶν τὴν

2. αὐτῶν] αὐτῇ Malalas, ἡ ἑορτῇ — τῇ αὐτῇ citat Scaliger ad Euseb. p. 199. a. 3. εὑρῆσθαι P. 11. τῆς πόλης τῆς RV. 18. τῆς om. P. ib. τὴν om. P. ib. σελήνην P. 20. EX PRAEDA IVDAEAE] ἐχρυσα ἐδακιδασεαε V, ἐκ τῆς ποαίδας τῶν Ἰουδαίων P, m. V, ἐξ ποαίδα Ἰουδαία Malalas.

Quoniam Christum die festo in crucem egerant Judaei, in ipso eorum festo die universi perierunt. Cur porro tanta hominum multitudo in urbe tum reperta fuerit, id praesertim causae fuit, quod ad Paschatis festum omnes convenerant, ita enim veluti in carcere concluderentur. Par erat, omnino, ut qui die Paschatis festo servatori necem parassent, non alio, eorum quae ausi fuerant vindictam, Servatore Deo illos in hostium manus tradente, paterentur.

Titus hac adepta victoria, Romam veniens triumphum egit. Vespasianus autem Imperator ex praeda Judaica in magna Antiochia Syriae ingentes etiam Cherubinos excitavit, eosque urbis portis affixit, ac aereos Seraphinos, quos Titus ejus filius in Templo a Salomone affixos invenit, (cum enim templum evertit, hos abstulit, et Antiochiam magnam detulit cum Seraphinis) in symbolum reportatae se imperante de Judaeis victoriae: erecta praeterea sublimi in honorem Lunae statua, cum tauris quatuor Hierusalem respicientibus. Cum enim lucente Luna urbem expugnasset, ideo Lunae statuam erexit. Condidit et Theatrum Daphnes, hac apposita inscriptione, EX SPOLIIS JUDAEORUM. Erat autem locus, ubi extructum est Theatrum, Judaeorum Synagoga, qua ad eorum

συναγωγὴν αὐτῶν λύσας θέατρον ἐποίησε, στήσας ἑαυτοῦ ἄγαλμα μαρμάρινον, ὅπερ ἕως νῦν ἐκεῖσε ἵσταται. D

Ἀρχομένου λοιπὸν τεσσαρακοστοῦ ἔτους τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου, δευτέρῳ ἔτει Οὐεσπασιανοῦ, οἱ Ἰουδαίων ἡγεμόνες τέλεον ἐπαύσαντο, τῆς ἐσχάτης αὐτοὺς ἁλώσεως καταλαβούσης.

Συνάγεται ὁ πᾶς χρόνος ἐπὶ τὸ δεύτερον ἔτος Οὐεσπασιανοῦ καὶ τὴν ὑστάτην ἅλωσιν Ἱεροσολύμων, ἀπὸ μὲν πεντεκαιδεκάτου ἔτους καὶ αὐτοῦ Τιβερίου Καίσαρος καὶ τοῦ σωτηρίου κηρύγματος ἀρχῆς εἰς ἔτη τεσσαράκοντα δύο, ἀπὸ δὲ ἕκτου ἔτους Δαρείου τοῦ Ὑστάσπου, καθ' ὃ δευτέρας οἰκοδομῆς ἔτυχεν ὁ ναός, ἤγουν ἀπὸ δευτέρου ἔτους καὶ αὐτοῦ ξγ' Ὀλυμπιάδος, ἐπὶ τὸ παρὸν P 248 δεύτερον ἔτος Οὐεσπασιανοῦ εἰς ἔτη φϟζ', ἀπὸ δὲ τῆς πρώτης ἐπισκευῆς αὐτοῦ τῆς ἐπὶ Σολομῶνος γενομένης εἰς ἔτη ,αργ'.

Ἰνδ. ιγ'. γ'. ὑπ. Οὐεσπασιανοῦ Αὐγούστου τὸ β' καὶ Νερουᾶ.

Ἰώσηππος ἱστορεῖ ἐν τῷ πέμπτῳ λόγῳ τῆς ἁλώσεως ὅτι ἔτους τρίτου Οὐεσπασιανοῦ ἡ ἅλωσις τῶν Ἰουδαίων γέγονεν, ὡς μετὰ μ' ἔτη τῆς γενομένης παρ' αὐτῶν τόλμης κατὰ τοῦ Ἰησοῦ· ἐν ᾧ χρόνῳ, φησί, καὶ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου καὶ ἐπί- R 586 σκοπον Ἱεροσολύμων γενόμενον ὑπ' αὐτῶν κρημνισθῆναι καὶ ὑπ' B αὐτῶν ἀναιρεθῆναι λιθοβοληθέντα.

4. δευτέρῳ δὲ ἔτει τοῦ Οὐεσπασιανοῦ P. 8. πέντε καὶ δέκα PV.
13. ἔτος δεύτερον R, ἔτος β' P.

contumeliam destructa, Theatrum aedificavit, erecta sui ipsius statua marmorea, quae etiamnum hodie stat. Anni a m. c.

Inchoante caeterum XL. Christi in coelos assumptionis, II. vero Vespasiani anno, Judaeorum duces defecerunt omnino, postrema hac captivitate deleti.

Colligitur universum tempus ad annum II. Vespasiani, et postremam urbis Hierosolymitanae expugnationem, a XV. Tiberii Caesaris anno, et Servatoris praedicationis exordio, anni XLII. a VI. vero Darii Hystaspis filii anno, quo secunda templi instauratio contigit, seu ab anno II. Olympiadis LXIII. ad hunc annum II. Vespasiani, intersunt anni DXCVII. a prima autem illius sub Solomone aedificatione facta anni MCIII.

A. C. [Ol. Iph.]
71. III. Ind. XIII. Vespasiano Augusto II. et Nerva Coss. 3. 5578.

Refert Josephus lib. V. de excidio Hierosolymitano, contigisse Judaeorum expugnationem anno III. Vespasiani, post XL. scilicet annum, ex quo in Jesum aggressi sunt facinus: quo tempore, inquit, et Jacobum fratrem Domini Hierosolymorum Episcopum ab ipsis praecipitem ex alto actum, et lapidibus appetitum, sustulere.

Κομμαγηνοὶ καὶ Σαμοσατεῖς ἐντεῦθεν τοὺς ἑαυτῶν ἀριθμοῦσι χρόνους.

Ἰνδ. ιδ'. δ'. ὑπ. Οὐεσπασιανοῦ Αὐγούστου τὸ γ' καὶ Τίτου.

σιγ' Ὀλυμπιάς.

Ἰνδ. ιε'. ε'. ὑπ. Οὐεσπασιανοῦ Αὐγούστου τὸ δ' καὶ Τίτου τὸ β'.

Οὐεσπασιανὸς μετὰ τὴν τῶν Ἱεροσολύμων ἅλωσιν πάντας
C *τοὺς ἀπὸ γένους Δαβὶδ ἀναζητεῖσθαι προστάττει, ὡς μὴ περιλειφθῆναι τινὰ παρὰ Ἰουδαίοις τῶν ἀπὸ τῆς βασιλικῆς φυλῆς καὶ ἐξ τούτου μέγιστον Ἰουδαίοις συμβῆναι διωγμὸν πάλιν.*

Ἰνδ. α'. ς'. ὑπ. Δομετιανοῦ καὶ Μεσσαλλίνου.

Ἰνδ. β'. ϑ'. ὑπ. Οὐεσπασιανοῦ Αὐγούστου τὸ ε' καὶ Τίτου τὸ γ'.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐν Ῥόδῳ ὁ κολοσσὸς ἀνεστάϑη, μῆκος ἔχων ποδῶν ρζ'.

Ἰνδ. γ'. η'. ὑπ. Οὐεσπασιανοῦ Αὐγούστου τὸ ς' καὶ Τίτου τὸ δ'.

V 199 D

σιδ' Ὀλυμπιάς.

Ἰνδ. δ'. ϑ'. ὑπ. Οὐεσπασιανοῦ Αὐγούστου τὸ ζ' καὶ Τίτου τὸ ε'.

Ἀλκίππη γυνὴ ἐν Ῥώμῃ ἐλέφαντα ἐγέννησεν, ἐν ᾧ καιρῷ φθορὰ ἀνϑρώπων ἐγένετο.

11. *Μεσσαλίνου* P.

Anniam. c. Commageni et Samosateni hinc annos suos ordiuntur.
IV. Ind. XIV. Vespasiano Augusto III. et Tito Coss. 4.

CCXIII. Olympias.

5579. 72. V. Ind. XV. Vespasiano Augusto IV. et Tito II. Coss. 1. 213.
Vespasianus post expugnatam Hierosolymorum urbem, universos ex stirpe Davidis praecepit inquiri, uti nemo apud Judaeos ex Regia tribu relinqueretur, indeque Judaeis ingens persecutio rursum accidit.
73. VI. Ind. I. Domitiano et Messalino Coss. 2.
74. VII. Ind. II. Vespasiano Augusto V. et Tito III. Coss. 3.
His Coss. [in Rhodo] Colossus pedum CVII. altitudine erectus est.
75. VIII. Ind. III. Vespasiano Augusto VI. et Tito IV. Coss. 4.

CCXIV. Olympias.

76. IX. Ind. IV. Vespasiano Augusto VII. et Tito V. Coss. 1. 214.
Alcippe femina Romae enixa est elephantem, quo tempore ingens extitit hominum mortalitas.

Ἰνδ. ε'. ι'. ὑπ. Τίτου τὸ ς' καὶ Δομετιανοῦ τὸ β'.

Ἐν τούτῳ τῷ χρόνῳ νόσῳ βληθεὶς ὁ Οὐεσπασιανὸς βασιλεὺς παρεθεὶς τελευτᾷ, ὢν ἐτῶν ο'.

Ῥωμαίων η' ἐβασίλευσεν Τίτος ὁ υἱὸς αὐτοῦ ἔτη β'. P 249

ὁμοῦ ,εφπη'.

Ἰνδ. ς'. α'. ὑπ. Τίτου Αὐγούστου τὸ ζ' καὶ Δομετιανοῦ τὸ γ'.

Ἰνδ. ζ'. β'. ὑπ. Γάλβα καὶ Πουλλίωνος. R 589

Ἕως τούτου τοῦ χρόνου διήρκεσαν Φίλων καὶ Ἰώσηππος ἱστορήσαντες τὴν ἅλωσιν.

σιέ Ὀλυμπιάς.

Ἐπὶ τῶν προκειμένων ὑπάτων πάθει δεινῷ βληθεὶς Τίτος ἀπέθανεν, ὢν ἐτῶν μβ'.

Ῥωμαίων ϑ' ἐβασίλευσεν Δομετιανὸς ἔτη ις'. ὁμοῦ ,εχδ'. B

Ἰνδ. η'. α'. ὑπ. Δομετιανοῦ Αὐγούστου τὸ δ' καὶ Σαβίνου.

Ἰνδ. ϑ'. β'. ὑπ. Δομετιανοῦ Αὐγούστου τὸ ε' καὶ Τίτου Ῥούφου.

Δομετιανὸς εὐνουχίζειν ἄνδρας ἐκώλυσεν.

Ἰνδ. ι'. γ'. ὑπ. Δομετιανοῦ Αὐγούστου τὸ ς' καὶ Σαβίνου.

Ἰνδ. ια'. δ'. ὑπ. Δομετιανοῦ Αὐγούστου τὸ ζ' καὶ Φουλβίου.

1. 6. p. seq. v. 1. 18. Δομιτιανοῦ R. 2. κλιθεὶς ὁ Οὐ. P. 3. παρευθὺς P. 10. σιέ Ὀλυμπιάς om. P.

A. C. [Ol. Iph.] Anni a m. c.

77. Vespasiano VIII. et Domitiano III. Coss. 2.
78. Commodo et Prisco Coss. 3.
79. x. Ind. v. Tito VI. et Domitiano II. Coss. 4.

Hoc ipso anno, Vespasianus Imperator ex morbo decumbens, statim moritur, annos natus LXX.

Romanis VIII. imperavit Titus, illius filius, ann. II. Colliguntur anni V. MDLXXXVIII. 5587.

80. I. Ind. VI. Tito Augusto VII. et Domitiano III. Coss. 4. 5601.
81. II. Ind. VII. Galba et Pollione Coss. 1. 215.

Ad hunc annum Philo et Josephus historias suas perduxerunt, in quibus narrant excidium Hierosolymitanum.

His praedictis Coss. gravi morbo oppressus Titus mortem obiit annos natus XLII.

Romanis IX. imperavit Domitianus ann. XVI. Colliguntur anni V. MDCIV.

82. I. Ind. VIII. Domitiano Augusto IV. et Sabino Coss. 2.
83. II. Ind. IX. Domitiano Augusto V. et Tito Rufo Coss. 3.

Domitianus vetuit ne viri Eunuchi fierent.

84. III. Ind. X. Domitiano Augusto VI. et Sabino Coss.
85. IV. Ind. XI. Domitiano Augusto VII. et Fulvio Coss. 4.

C σιϛ' Ὀλυμπιάς.

Ἰνδ. β'. ε'. ὑπ. Δομετιανοῦ Αὐγούστου τὸ η' καὶ Δολαβέλλα.

Δομετιανὸς τὸν ἄξυλον ναὸν κατεσκεύασεν.

Ἐπὶ τῶν προκειμένων ὑπάτων πρώτη πενταετηρὶς ἀγῶνος ἤχθη ἐν Ῥώμῃ.

Δύο μῆνες μετωνομάσθησαν, σεπτέμβριος γερμανικὸς καὶ ὀκτώβριος δομετιανός, διὰ τὸ νίκας ἐν αὐτοῖς κατὰ Γερμανῶν ἐνεχθῆναι τῇ Ῥώμῃ.

D Ἰνδ. ιγ'. ϛ'. ὑπ. Δομετιανοῦ Αὐγούστου τὸ θ' καὶ Σατορνίνου.

Ἰνδ. ιδ'. ζ'. ὑπ. Δομετιανοῦ Αὐγούστου τὸ ι' καὶ Τίτου Ῥούφου τὸ β'.

Ἰνδ. ιε'. η'. ὑπ. Φουλβίου τὸ β' καὶ Ἀτρατίνου.

Ἡ πρώτη τῶν τῆς Ἑστίας παρθένων Κορνηλία ἐπὶ φθορᾷ κατηγορήθη, καὶ ζῶσα κατωρύγη μετὰ τῶν συνήθων αὐτῆς φίλων κατὰ τὸν νόμον.

σιζ' Ὀλυμπιάς.

Ἰνδ. α'. θ'. ὑπ. Δομετιανοῦ Αὐγούστου τὸ ια' καὶ Νερούα.

V 200 P 250 Δομετιανὸς διετάξατο ἐν ταῖς πόλεσιν ἄμπελον μὴ φυτεύεσθαι.

18. τὸ om. R.

A. C. [Ol. Iph.]

CCXVI. Olympias.

86. v. Ind. xii. Domitiano Augusto VIII. et Dolabella Coss. 1. 216.

Domitianus templum quod nullo ligno constaret aedificavit.

His praedictis Coss. primum quinquennale certamen actum est Romae.

Duo menses, nominibus mutátis, September Germanicus, et October Domitianus, appellati, quod de victoriis ex Germanis relatis nuntii Romam hisce mensibus allati essent.

87. vi. Ind. xiii. Domitiano Augusto IX. et Saturnino Coss. 3.

88. vii. Ind. xiv. Domitiano Augusto X. et Tito Rufo Coss. 4.

89. viii. Ind. xv. Fulvio II. et Atratino Coss. 1. 217.

Prima ex Vestalibus virginibus Cornelia de stupro accusata est, cum familiaribus suis amicis secundum legem viva defossa est.

CCXVII. Olympias.

90. ix. Ind. i. Domitiano Augusto XI. et Nerva Coss. 2.

Domitianus edicto cavit ne intra urbem vineae colerentur.

Sect. 1. *De substantia et formatione.*

Cap. 1. *De substantia et formatione in genere.* § 101

Cap. 2. *De substantia et formatione in specie, ubi de Fauchair, Fauchaire, Fauchaire, Fauchaire

ζεται τὴν νῆσον, ἔνθα τὴν ἀποκάλυψιν ἑωρακέναι λέγεται, ὡς δηλοῖ Εἰρηναῖος.

Δομετιανὸς τοὺς ἀπὸ γένους Δαβὶδ ἀναιρεῖσθαι προσέταξεν, ἵνα μή τις διαμείνῃ διάδοχος τῆς τῶν Ἰουδαίων βασιλικῆς φυλῆς.

Ἰνδ. ς'. ιδ'. ὑπ. Ἀσπρενάτου καὶ Λατεράνου.

Ἱστορεῖ ὁ Βρούττιος πολλοὺς χριστιανοὺς κατὰ τὸ ιδ' ἔτος Δομετιανοῦ μεμαρτυρηκέναι.

D Ἰνδ. ζ'. ιέ. ὑπ. Δομετιανοῦ Αὐγούστου τὸ ιδ' καὶ Κλήμεντος τὸ β'.

Ἰνδ. η'. ις'. ὑπ. Οὐάλεντος καὶ Βετέρου.

Τούτῳ τῷ ἔτει ὁ βασιλεὺς Δομετιανὸς ἐφόνευσεν τὸν περιβόητον Ἀσκληπιόν, ὃς προεῖπεν αὐτῷ ὅτι σφαζόμενος τελευτᾷ.
R 592 καὶ κατασκευασθεὶς ἀπὸ τῆς συγκλήτου ὁ αὐτὸς βασιλεὺς Δομετιανός, ὡς εἰσῆλθεν ἐν τῷ ἱερῷ τοῦ Διὸς θυσιάσαι, ἀφανὴς γε-
P 251 νόμενος τελευτᾷ, ὢν ἐτῶν με', φησάντων πάντων ὅτι ἐπήρθη ἀπὸ τῆς γῆς εἰς τὸν ἀέρα, ὡς φιλόσοφος. ὁ δὲ ἀνῃρέθη ἐν τῷ τοῦ Διὸς ἱερῷ, σφαγεὶς ἀπὸ τῆς συγκλήτου, ὡς ὑπερήφανος καὶ τυραννῶν αὐτούς. οἵτινες ἐποίησαν ἣν ἐφόρει χλαμύδα πορφυρᾶν κρεμασθῆναι εἰς μίαν ἅλυσιν τῶν οὐσῶν ἐν τῷ ἱερῷ καν-

4. διαμείνοι PV. 7. Βροῦτος PV. Vide Scaligerum ad Euseb. p. 205. 9. Αὐγούστου om. P. 13. Ἀσκλήπιον PV. ib. σφαξόμενος R. 15. ἦλθεν P. 18. τοῦ Διὸς ἱερῷ] ἱερῷ Διὸς P.

A. C. [Ol. Iph.]

est relegatus, ubi Apocalypsin vidisse dicitur, ut Irenaeus tradit.

Domitianus Judaeos e Davidis stirpe deleri jussit, ne quispiam Regiae Judaeorum tribus successor remaneret.

94. XIV. Ind. VI. Asprenate et Laterano Coss. 2.

Narrat Brutus multos Christianos circa hunc XIV. Domitiani annum martyrio fuisse sublatos.

95. XV. Ind. VII. Domitiano XIV. et Clemente II. Coss. 3.

96. XVI. Ind. VIII. Valente et Vetere Coss. 4.

Hoc anno Domitianus Imperator celeberrimum Asclepium interfecit, a quo ipsi praedictum fuerat fore ut interficeretur. Ergo insidiis a Senatu appetitus Imperator ipse Domitianus, cum Jovis aedem, sacra facturus, intrasset, ex omnium conspectu subductus, moritur, cum annorum esset XLV. universis passim dictitantibus sublatum illum fuisse a terra in aërem, veluti Philosophum. Sublatus est autem in templo Jovis, a Senatoribus interfectus, ut qui superbia sua et tyrannide subditos opprimeret. Hi vero purpuream chlamydem, qua induebatur, ad unam ex templi catenis, ex qua pendebat Lychnuchus, appenderunt, unde decepti quotquot sunt templum ingressi, sublimem illum in aërem fuisse sublatum existimarunt.

δήλων, καὶ πάντες εἰσιόντες εἰς τὸ ἱερὸν ἠπατῶντο, νομίζοντες ὅτι ἐπήρθη εἰς τὸν ἀέρα. ἐγνώσθη δὲ μετὰ ταῦτα ὅτι ἐσφάγη, καὶ ἐγένετο ταραχή, διότι εἰς τὸ ἱερὸν ἔσω ἐσφάγη.

σιθ' Ὀλυμπιάς. V 201 B

5 Ῥωμαίων ι' ἐβασίλευσεν Νερουᾶς ἔτος α'. ὁμοῦ ,εχέ'.

Ἰνδ. θ'. α'. ὑπ. Νερουᾶ Αὐγούστου καὶ Τίτου Ῥούφου τὸ γ'.

Κατὰ τοῦτον τὸν χρόνον ὁ βασιλεὺς Νερουᾶς ἀνεκαλέσατο τὸν ἀπόστολον Ἰωάννην ἀπὸ Πάτμου τῆς νήσου, καὶ ἦλθεν πάλιν εἰς Ἔφεσον.

10 Ἐπὶ τῆς βασιλείας Νερουᾶ ἀνεφάνη δογματίζων Μάνης, διδάσκων καὶ ὀχλαγωγῶν.

Ἐν τούτῳ τῷ χρόνῳ ἐκωλύθησαν οἱ μονομάχοι καὶ αἱ θεαὶ αὐτῶν, καὶ ἀντ' αὐτῶν ἐπενοήθη ἡ τῶν κυνηγίων θέα.

Νερουᾶς νοσήσας ἐτελεύτησεν πρὸ ἡ' καλανδῶν φεβρουα- C

15 ρίων, ἄρξας ἔτος α'.

Ῥωμαίων ια' ἐβασίλευσεν Τραϊανὸς ἔτη ιθ'. ὁμοῦ ,εχκδ'.

Ἰνδ. ι'. α'. ὑπ. Τραϊανοῦ Αὐγούστου μόνου.

Ἰνδ. ια'. β'. ὑπ. Παλμᾶ καὶ Σενεκίωνος.

Ἰνδ. ιβ'. γ'. ὑπ. Τραϊανοῦ Αὐγούστου τὸ β' καὶ Ποντιανοῦ.

13. ὑπενοήθη P.

A. C. [Ol. Iph.] Anni a m. c.

Sed postmodum cognitum est illum interfectum fuisse, tumultusque inde exortus est, quod intra templum ipsum fuisset interemptus.

CCXIX. Olympias.

Romanis X. imperavit Nerva annum I. Colliguntur anni V. MDCV.

97. I. Ind. IX. Nerva Augusto et Tito Rufo III. Coss. 1. 219. 5604.

Hoc anno Imperator Nerva a Patmo insula Joannem Apostolum revocavit, isque rursum Ephesum venit.

Nerva imperante, exortus est Manes, isque dogmata sua, multis sibi conciliatis, pervulgavit.

Hoc anno sublati ludi gladiatorii, horumque interdicta spectacula, quorum loco inventa venationum ludicra.

Nerva morbo conflictatus vitae finem fecit VIII. Kalend. Februarii, cum annum I. imperasset.

Romanis XI. imperavit Trajanus ann. XIX. Colliguntur anni V. MDCXXIV.

98. I. Ind. X. Trajano Augusto solo Cos. 2.

99. II. Ind. XI. Palma et Senecione Coss. 3.

100. III. Ind. XII. Trajano Augusto II. et Pontiano Coss. 4.

σκ' Ὀλυμπιάς.

D Ἰνδ. ιγ'. δ'. ὑπ. Τραϊανοῦ Αὐγούστου τὸ γ' καὶ Πέτου.

Ἰωάννην τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν μέχρι τῶν Τραϊα-
R 594 νοῦ χρόνων παραμεῖναι τῷ βίῳ Εἰρηναῖος ἱστορεῖ. Κλήμης δὲ ὁ Ἀλεξανδρεὺς καὶ αὐτὸς τὰ αὐτὰ σύμφησι, καὶ περιέναι αὐτὸν τὴν Ἀσίαν καὶ τὰς πλησιοχώρους πατρίδας ἐπισκίπους καθιστῶντα καὶ κληρικούς.

Ἐν ᾧ χρόνῳ καὶ ὁ νεανίσκος, ὃν παρέθετο ὁ ἀπόστολος Ἰωάννης τῷ ἐπισκόπῳ Σμύρνης, καὶ μετὰ τοῦτο λῃσταρχος γεγονώς, εἶτα διὰ τοῦ ἁγίου Ἰωάννου μετανοήσας, ἐγνωρίζετο.

P 252 Ἰνδ. ιδ'. ε'. ὑπ. Συριανοῦ καὶ Συρίου.

Ἰνδ. ιε'. ς'. ὑπ. Τραϊανοῦ Αὐγούστου τὸ δ' καὶ Μαξίμου.

Ἰνδ. α'. ζ'. ὑπ. Συριανοῦ τὸ β' καὶ Μαρκέλλου.

Διήρκεσεν ὁ θεολόγος μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ἔτη οβ'.

Ἐπὶ τούτων τῶν ὑπάτων διωγμὸς χριστιανῶν ἐγένετο, καὶ πολλοὶ ἐνδόξως ἐμαρτύρησαν διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν.

Ἐπὶ τῶν προκειμένων ὑπάτων φασὶ τὸν ἅγιον Ἰωάννην γενόμενον ἐτῶν ρ' καὶ μηνῶν ζ' κοιμηθῆναι.

Ἐν τούτῳ τῷ χρόνῳ Κλήμης ὁ Ῥώμης ἐπίσκοπος τελευτᾷ.

8. ὁ prius om. P. 18. ἐπὶ τούτων τῶν P.

Anni am. c. A. C. [Ol. Iph.]

CCXX. Olympias.

101. IV. Ind. XIII. Trajano Augusto III. et Peto Coss. 1. 220.

Joannem Apostolum et Evangelistam ad tempora Trajani vitam produxisse scribit Irenaeus. Clemens vero Alexandrinus iisdem consona tradit, illumque Asiam et finitimas provincias peragrasse, Episcopis ubique ordinatis, ac Clericis constitutis.

Quo tempore adolescens ille claruit, quem Joannes Apostolus Smyrnae Episcopo commendavit, quique postea latronum Princeps factus, ad poenitentiam per Sanctum Joannem est revocatus.

5609. 102. V. Ind. XIV. Syriano et Syrio Coss. 2.
103. VI. Ind. XV. Trajano Augusto IV. et Maximo Coss. 3.
104. VII. Ind. I. Syriano II. et Marcello III. Coss. 4.

Supervixit Theologus (Sanctus Joannes Evangelista) post Domini ac Dei nostri Assumptionem ann. LXXII.

His Coss. facta est rursum Christianorum persecutio, multique glorioso martyrio propter confessionem in Christum vitam finiere.

His item Coss. aiunt Sanctum Joannem annos natum C. et menses VII. in domino obdormiisse.

Hoc ipso anno Clemens Romae Episcopus decedit. Eo-

κατὰ τὸν αὐτὸν χρόνον καὶ Σίμων ὁ Καναίτης ὁ ἐπικληθεὶς B
Ἰούδας Ἰακώβου, ὁ γενόμενος ἐπίσκοπος μετὰ Ἴάκωβον τὸν
ἀδελφὸν τοῦ κυρίου, ζήσας ἔτη ρκ', ἐσταυρώθη.

Ἐπὶ τούτου τοῦ Τραϊανοῦ καὶ Μάρκος ὁ εὐαγγελιστὴς καὶ
ἐπίσκοπος Ἀλεξανδρείας γενόμενος, κάλων λαβὼν καὶ συρεὶς ἀπὸ
τῶν καλουμένων τὰ Βουκολίων ἕως τῶν λεγομένων Ἀγγέλων, ἐκεῖ-
σε πυρὶ κατεκαύθη φαρμουθὶ πρώτῃ, καὶ οὕτως ἐμαρτύρησεν.

Κρήσκης κηρύξας τὸ εὐαγγέλιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ ἐν Γαλλίαις ἐπὶ Νέρωνος ἀποθνήσκει, καὶ ἐκεῖσε θά- C
πτεται.

σκα' Ὀλυμπιάς.

Ἰνδ. β'. η'. ὑπ. Κανδίδου καὶ Κουαδράτου.

Τραϊανοῦ κατὰ χριστιανῶν διωγμὸν κινήσαντος Σίμων ὁ τοῦ V 202
Κλεωπᾶ, τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας ἐπίσκοπος γενόμενος,
ἐμαρτύρησεν, γενόμενος ἐτῶν ρκ', ἐπὶ Ἀττικοῦ ὑπατικοῦ διαβληθεὶς
ὑπὸ τῶν τῆς μοίρας Κηρίνθου καὶ τῶν λεγομένων Νικολαϊτῶν,
ὡς οὐ μόνον χριστιανός, ἀλλὰ καὶ ὡς ἀπὸ τῶν τοῦ γένους Δαβὶδ R 596
ὑπάρχων, ὃς ἐπὶ πλείστας ἡμέρας αἰκισθείς, καὶ αὐτὸν τὸν δικα- D
στὴν καὶ τοὺς περὶ αὐτὸν τὰ μέγιστα καταπλήξας, τῷ τοῦ σταυ-

5. κάλον RV. 6. Βουκωλίων PV. 8. Κρίσκης PV. 14. γενόμενος suspectum est. 17. τῶν τοῦ] τοῦ P. 19. καὶ τοὺς περὶ αὐτὸν om. P.

A. C. [Ol. Iph.]

dem tempore Simon Cananita, cognomento Judas, Jacobi filius, quique post Jacobum fratrem Domini factus fuerat Episcopus, cum annum aetatis cxx. attigisset, crucifixus est.

Eodem Trajano imperante, Marcus Evangelista, quique Alexandriae Episcopus erat, injecto in illum laqueo, a Bucoliis ita appellatis, usque ad Angelos, locum ita dictum, tractus, ibi exustus est prima die Pharmuthi, sicque martyrio vitam consummavit.

Crescens Evangelio Domini nostri Jesu Christi in Galliis, Nerone imperante, praedicato, moritur, ibique sepelitur.

CCXXI. Olympias.

105. VIII. Ind. II. Candido et Quadrato Coss. 1. 221.

Trajano in Christianos persecutionem movente, Simon Cleopae filius Hierosolymitanae Ecclesiae Episcopus, martyrium obiit, cum annum ageret cxx. apud Atticum Consularem a sectatoribus Cerinthi, et ab iis, qui Nicolaitae appellantur, accusatus, non tantum ut Christianus, sed etiam, quod esset ex stirpe Davidica, qui plurimis diebus acerbis tormentis divexatus, ipso judice mirum in modum illius constantiam stupente, in crucem instar Domini actus expiravit. Pari modo

ροῦ πάθει παραπλήσιον τοῦ κυρίου τέλος ἀπηνέγκατο. ὁμοίως δὲ καὶ Ἰγνάτιος Ἀντιοχέων ἐπίσκοπος ἐν Ῥώμῃ ἐμαρτύρησεν.

Ἐπὶ τῶν προκειμένων ὑπάτων ἡ τῶν Ἐβιωναίων αἵρεσις ἐγνωρίζετο, πτωχὰ περὶ τοῦ Χριστοῦ δοξάζουσα, μὴ εἶναι λέγουσα τὸν Χριστὸν πρὸ αἰώνων, ἀλλ' ἐπ' ἐσχάτων, ἀξίαν τῆς αἱρέσεως αὐτῶν τὴν ὀνομασίαν εἰληφότες· Ἐβιωναῖοι γὰρ πτωχοὶ ἑρμηνεύονται.

P 253 Πετραῖοι καὶ Βοστρηνοὶ ἐντεῦθεν τοὺς ἑαυτῶν χρόνους ἀριθμοῦσι.

Ἰνδ. γ'. θ'. ὑπ. Κομμόδου καὶ Κερατανοῦ.

Τούτοις τοῖς ὑπάτοις πολέμου χαλεποῦ ἐπιβάντος τῇ Ῥωμανίᾳ ὑπὸ Περσῶν καὶ Γόθων καὶ ἑτέρων ἐθνῶν, Τραϊανὸς ἀπερχόμενος εἰς τὸν τούτων πόλεμον ἄφεσιν ἐχαρίσατο τῶν τελῶν, ἄχρις ἂν ἐπιστρέψῃ.

Ἰνδ. δ'. ι'. ὑπ. Συριανοῦ τὸ γ' καὶ Σενεκίωνος τὸ β'.

Τῆς Ἱεροσολύμων ἐκκλησίας τρίτος προέστη Ἰοῦστος ὁ ἐπι-
B κληθεὶς Βαρσαββᾶς, ὃ ἐκλεγεὶς ὑπὸ τῶν ἀποστόλων ἀντὶ Ἰούδα τοῦ προδότου· μεθ' οὗ καὶ Ματθίας ἐπελέγη ὑπὸ τῶν αὐτῶν ἁγίων ἀποστόλων.

Ἰνδ. ε'. ια'. ὑπ. Γάλλου καὶ Βραδουᾶ.

σκβ' Ὀλυμπιάς.

Ἰνδ. ς'. ιβ'. ὑπ. Παλμᾶ καὶ Τούλλου.

3. Ἐβιωνέων P sola, V. 6. τὴν om. P. 18. αὐτῶν om. P.

Anni a m. c. A. C. [Ol. Iph.]

etiam Ignatius Antiochenorum Episcopus Romae martyrio vitam exuit.

Iisdem praedictis Coss. Ebioneorum haeresis innotuit, inepta ac pauperrima de Christo praedicans, ut quae Christum ante saecula esse negaret, sed ultimis temporibus natum esse affirmaret, haeresi suae consentaneum nomen sortita: Ebionitae quippe pauperes dicuntur.

Petraei et Bostreni hinc annos suos putant.

5613. 106. IX. Ind. III. Commodo et Ceretano Coss. 2.

His Coss. gravi bello a Persis et Gotthis, aliisque gentibus Romaniae ingruente, Trajanus expeditione in illos suscepta, gratiam tributorum, quoad reverteretur, fecit.

107. X. Ind. IV. Syriano III. et Senecione Coss. 3.

Hierosolymorum Ecclesiae tertius praeest Justus, cognomento Barsabas, qui ab Apostolis in locum Judae proditoris electus est: cum quo et Matthias ab iisdem Sanctis Apostolis pariter est electus.

108. XI. Ind. V. Gallo et Bradua Coss. 4.

Μέχρι τούτων τῶν ὑπάτων οἱ συνόμιλοι τῶν ἁγίων ἀποστόλων ἐπίσκοποι γεγονότες ἐγνωρίζοντο.

Ἰνδ. ζ'. ιγ'. ὑπ. Ὀρφίτου καὶ Πρισκιανοῦ.

Ἰνδ. η'. ιδ'. ὑπ. Πίσωνος καὶ Ἰουλιανοῦ.

Ἰνδ. θ'. ιε'. ὑπ. Τραϊανοῦ Αὐγούστου τὸ ε' καὶ Ἀφρικανοῦ. C

σκγ' Ὀλυμπιάς.

Ἰνδ. ι'. ις'. ὑπ. Πρισκιανοῦ καὶ Κέλσου.

Ἰνδ. ια'. ιζ'. ὑπ. Μάλσου καὶ Βουλκίσκου.

Ἰνδ. ιβ'. ιη'. ὑπ. Μεσσάλα καὶ Πόδωνος. R 598

Ἰνδ. ιγ'. ιθ'. ὑπ. Αἰλιανοῦ καὶ Βετέρου.

Ὁ βασιλεὺς Τραϊανὸς ὑδρωπιάσας ἀπέθανεν ἐν Σελινοῦντι, πόλει τῆς Σελευκίας, ὢν ἐτῶν ξε'.

Ῥωμαίων ιβ' ἐβασίλευσεν Αἴλιος Ἀδριανὸς ἔτη κα'. D

ὁμοῦ ,εχμε'.

σκδ' Ὀλυμπιάς.

Ἰνδ. ιδ'. α'. ὑπ. Ἀπρωνιανοῦ καὶ Νίγρου.

Ἰνδ. ιε'. β'. ὑπ. Αἰλίου Ἀδριανοῦ Αὐγούστου καὶ Σαλινάτωρος.

11. *Σεληνοῦντι τῇ* P, *Σεληνοῦν τῇ* V. 12. *Σελευκίας*] V. Reimarus ad Dion. p. 1147. 97. 16. *Ἀπρωνίνου* P, *Ἀπρωίνου* R, *Ἀπρωνιανοῦ* V, m. R.

A. C. [Ol. Iph.]

CCXXII. Olympias.

109. XII. Ind. VI. Palma et Tullo Coss. 1. 222.

Ad hos usque Consules, Sanctorum Apostolorum socii Episcopi dignitatem consecuti claruerunt.

110. XIII. Ind. VII. Orphito et Prisciano Coss. 2.

111. XIV. Ind. VIII. Pisone et Juliano Coss. 3.

112. XV. Ind. IX. Trajano Augusto V. et Africano Coss. 4.

CCXXIII. Olympias.

113. XVI. Ind. X. Prisciano et Celso Coss. 1. 223.

114. XVII. Ind. XI. Malso et Bulcisco Coss. 2.

115. XVIII. Ind. XII. Messala et Podone Coss. 3.

116. XIX. Ind. XIII. Aeliano et Vetere Coss. 4.

Trajanus Imperator aqua intercute moritur Selinunte, Seleuciae civitate, cum esset annorum LXV.

Romanis XII. imperavit Aelius Hadrianus ann. XXI. Colliguntur anni V. MDCXLV.

CCXXIV. Olympias.

117. I. Ind. XIV. Apronino et Nigro Coss. 1. 224.

118. II. Ind. XV. Aelio Hadriano Augusto et Salinatore Coss. 2.

V 203 Ἰνδ. α'. γ'. ὑπ. Αἰλίου Ἀδριανοῦ Αὐγούστου τὸ β' καὶ Ῥουστικίου.

Ἐπὶ τούτων τῶν ὑπάτων Ἰουδαίων στασιασάντων ἦλθεν Ἀδριανὸς εἰς Ἱεροσόλυμα, καὶ ἔλαβε τοὺς Ἰουδαίους αἰχμαλώ-
P 254 τους, καὶ ἀπελθὼν εἰς τὴν λεγομένην Τερέβινθον προέστησεν πανήγυριν καὶ πέπρακεν αὐτοὺς εἰς ταγὴν ἵππου ἕκαστον, καὶ τοὺς ὑπολειφθέντας ἔλαβεν εἰς Γάζαν, καὶ ἐκεῖ ἔστησεν πανήγυριν καὶ ἐπώλησεν αὐτούς, καὶ ἕως τοῦ νῦν ἡ πανήγυρις ἐκείνη λέγεται Ἀδριανή. καὶ καθελὼν τὸν ναὸν τῶν Ἰουδαίων τὸν ἐν Ἱεροσολύμοις ἔκτισε τὰ δύο δημόσια καὶ τὸ θέατρον καὶ τὸ τρικάμαρον καὶ τὸ τετράνυμφον καὶ τὸ δωδεκάπυλον τὸ πρὶν ὀνομαζόμενον ἀναβαθμοὶ καὶ τὴν κόδραν, καὶ ἐμέρισεν τὴν πόλιν εἰς ἑπτὰ ἄμφοδα, καὶ ἔστησεν ἀνθρώπους ἰδίους ἀμφοδάρχας,
B καὶ ἑκάστῳ ἀμφοδάρχῃ ἀπένειμεν ἄμφοδον· καὶ ἕως τῆς σήμερον εἰς τὸ τοῦ ἀμφοδάρχου ὄνομα ἕκαστον ἄμφοδον χρηματίζει. καὶ ἐπέθηκε τὸ ἑαυτοῦ ὄνομα τῇ πόλει, Αἰλίαν αὐτὴν ὀνομάσας, ἐπειδὴ Αἴλιος Ἀδριανὸς ἐλέγετο.

Ἰνδ. β'. δ'. ὑπ. Σεβήρου καὶ Φούλκου.

σκε' Ὀλυμπιάς.

Ἰνδ. γ'. ε'. ὑπ. Σευήρου τὸ β' καὶ Αὐγουρίνου.

9. τὸν ἐν] τῶν ἐν P sola tacente V. 13. ἀμφοδόχους R, altero in m. posito.

A. C. [Ol. Iph.]

119. III. Ind. I. Aelio Hadriano Augusto II. et Rusticio Coss. 3.

His Coss. tumultuantibus Judaeis, venit Hadrianus Hierosolyma, captivisque factis Judaeis, Terebinthum, urbem sic appellatam, profectus, nundinas publicas instituit, in quibus illos vendidit, singulis ad equi commeatum aestimatis: reliquos Gazam perduxit, ibique constitutis nundinis, ipsos distraxit, ex quo ad hunc usque diem nundinae istae Hadrianae appellantur. Everso deinde Hierosolymorum templo, condidit duo Balnea publica, Theatrum, Tricameratum, Tetranymphum, Dodecapylum, quod Anabathmos seu gradus prius appellabant, et Codram. Divisit praeterea urbem in VII. vicos, illisque praefecit viros ex iis selectos Vicomagistros, ac unicuique Vicomagistro vicum assignavit, a quibus ad hunc usque diem singuli viri Vicomagistri nomen retinent. Urbi quoque nomen suum imposuit, Aelia ipsa appellata, cum ipse Aelius Hadrianus diceretur.

120. IV. Ind. II. Severo et Fulco Coss. 4.

CCXXV. Olympias.

121. V. Ind. III. Severo II. et Augurino Coss. 1. 225.

Ἰνδ. δ'. ς'. ὑπ. Ἀβιόλα καὶ Παυσᾶ.

Τούτοις τοῖς ὑπάτοις Ἀδριανὸς εἰς τὴν Αἴγυπτον παρεγέ- C
νετο, καὶ κτίζει τὴν Ἀντινόου τῆς Θηβαΐδος, πρὸ γ' καλανδῶν νοεμβρίου.

Ἰνδ. ε'. ζ'. ὑπ. Ἀπρωνιανοῦ τὸ β' καὶ Παμπίνου.

Ἐπὶ τούτων τῶν ὑπάτων Ἀπολλώνιος ὁ Τυανεὺς καταστρέ- R 598
φει τὸν βίον.

Ἀδριανὸς ἐν Νικομηδείᾳ καὶ Νικαίᾳ ἀγορὰς ἐποίησε καὶ τετραπλατείας καὶ τὰ τείχεα τὰ πρὸς τῇ Βιθυνίᾳ· ἔτι γε μὴν καὶ ἐν Κυζίκῳ ναὸν ἔκτισεν καὶ τὴν ἐν αὐτῇ πλατεῖαν ἔστρωσε μαρμάροις. καὶ ἐν πολλαῖς δὲ ἄλλαις ἐπισημοτέραις πόλεσι ναοὺς διαφόρους καὶ πολλοὺς ἀνέστησεν, καὶ ἀγάλματα ποικίλα ἵδρυσεν ἐν αὐτοῖς.

Ἰνδ. ς'. η'. ὑπ. Γλαβρίωνος καὶ Τορκουάτου. D

σκς' Ὀλυμπιάς.

Ἰνδ. ζ'. θ'. ὑπ. Ἀσιατικοῦ καὶ Ἀκυλίνου.

Ἰνδ. η'. ι'. ὑπ. Σεβήρου τὸ γ' καὶ Ἀμβιγούλου.

Ἀδριανὸς ὁ αὐτοκράτωρ πατὴρ πατρίδος ἀνηγορεύθη καὶ ἡ γυνὴ αὐτοῦ σεβαστή.

Ἰνδ. θ'. ια'. ὑπ. Τιτιανοῦ καὶ Γαλλικανοῦ.

Ἰνδ. ι'. ιβ'. ὑπ. Τορκουάτου καὶ Λίβωνος. P 255

9. καὶ alterum om. P. 14. Τουρωνάτου R. 17. Ἀμφιγούλου P.

A. C. [Ol. Iph.] Anni a m. c.

122. VI. Ind. IV. Aviola et Pansa Coss. 2.

His Coss. Hadrianus in Aegyptum profectus, oppidum Antinoi Thebaidis aedificat ex a. d. III. Kal. Novembr.

123. VII. Ind. V. Aproniano II. et Pampino Coss. 3.

His Coss. Apollonius Tyaneus diem suum obiit.

Hadrianus Nicomediae et Nicaeae fora aedificavit, et quadrivia, ac moenia quae Bithyniam spectant. Cyzici praeterea templum condidit, et in ea plateam marmoribus stravit. Sed et in multis aliis illustrioribus civitatibus diversa ac complura templa erexit, in iisque varias statuas posuit.

124. VIII. Ind. VI. Glabrione et Torquato Coss. 4. 5651.

CCXXVI. Olympias.

125. IX. Ind. VII. Asiatico et Aquilino Coss. 1. 226.

126. X. Ind. VIII. Severo III. et Amfigulo Coss. 2.

Hadrianus Imperator Pater Patriae appellatur, uxorque illius Augusta.

127. XI. Ind. IX. Titiano et Gallicano Coss. 3.

128. XII. Ind. X. Torquato et Libone Coss. 4.

Ἐπὶ τούτων τῶν ὑπάτων σεισμοῦ γενομένου Νικομηδείας καὶ Ἀορίας τῆς Βιθυνίας τὰ πολλὰ κατεστράφη.

σκζ' Ὀλυμπιάς.

Ἰνδ. ια'. ιγ'. ὑπ. Μαρκέλλου καὶ Κέλσου.

Ἰνδ. ιβ'. ιδ'. ὑπ. Κατουλλίνου καὶ Λίβωνος τὸ β'.

V 204 Ὁ ἐν Ῥόδῳ κολοσσὸς ἐπὶ τῆς ἀρχῆς Ἀδριανοῦ πρῶτος ἐκινήθη.

Ἰνδ. ιγ'. ιε'. ὑπ. Ποντιανοῦ καὶ Ῥούφου.

B Ἰνδ. ιδ'. ις'. ὑπ. Αὐγουρίνου καὶ Σεργιανοῦ.

Hoc anno Gallus, qui et Constantius, Caesar, per calumniam, quasi praeter voluntatem Constantii Augusti Praefectum Praetorio et Quaestorem interfecisset, Antiochia accersitus, in Iso Insula sublatus est. Constantius Julianum Galli Constantii fratrem purpura induit, et Caesarem renuntiavit ex a. d. VIII. Idus Octobres, cui in matrimonium collo-

σίσατο πρὸ ἡ ἰδῶν ὀκτωβρίων, δοὺς αὐτῷ πρὸς γάμον Κωνστάντιος Αὔγουστος τὴν ἑαυτοῦ ἀδελφὴν Ἑλένην, καὶ ἀπέστειλεν αὐτοὺς ἐν Γαλλίαις.

σπδ' Ὀλυμπιάς.

Ἰνδ. ιδ'. ιθ'. ὑπ. Κωνσταντίου Αὐγούστου τὸ ι' καὶ Ἰουλιανοῦ Καίσαρος.

B Ἐπὶ τούτων τῶν ὑπάτων, μηνὶ πανέμῳ α', Τιμοθέου τοῦ ἁγίου μαθητοῦ γενομένου Παύλου τοῦ ἀποστόλου, ἐπισκόπου τε πρώτου χειροτονηθέντος ἐν Ἐφέσῳ τῆς Ἀσίας, τὰ λείψανα ἠνέχθη ἐν Κωνσταντινουπόλει σὺν πάσῃ τιμῇ, καὶ ἀπετέθη εἰς τοὺς ἁγίους Ἀποστόλους ὑποκάτω τῆς ἁγίας τραπέζης.

Ἰνδ. ιέ. κ'. ὑπ. Κωνσταντίου Αὐγούστου τὸ ια' καὶ Ἰουλιανοῦ Καίσαρος τὸ β'.

Ἐπὶ τούτων τῶν ὑπάτων μηνὶ δύστρῳ γ' ἠνέχθη ἐν Κωνσταντινουπόλει τὰ λείψανα τῶν ἁγίων Λουκᾶ καὶ Ἀνδρέου τῶν ἀποστόλων σπουδῇ Κωνσταντίου τοῦ Αὐγούστου μετὰ σπουδῆς καὶ θεοσεβείας ψαλμῳδίας τε καὶ ὑμνολογίας, καὶ ἀπετέθη εἰς
C τοὺς ἁγίους Ἀποστόλους.

R 682 Κωνστάντιος Αὔγουστος εἰς τὴν ἑαυτοῦ εἰκοσαετηρίδα μετὰ πολλῆς φαντασίας καὶ παρατάξεως εἰσῆλθεν ἐν Ῥώμῃ· συνεισ-

9. πρῶτον P. 13. τὸ om. R. 14. ἰνδικτίωνος ιέ. ἐπὶ R. 17. ἀποτέθη R, illud m. 19. εἰκοσιετ. P.

cavit Constantius Augustus sororem suam Helenam, illosque in Gallias misit.

CCLXXXIV. Olympias.

A. C. [Ol. Iph.]

356. XIX. Ind. XIV. Constantio Augusto X. et Juliano Caesare Coss. 4.

His Coss. mense Panemo, die I. Sancti Timothei discipuli quondam Sancti Pauli, ac primi Ephesi in Asia creati Episcopi, reliquiae Constantinopolim cum summa veneratione delatae, in aede Sanctorum Apostolorum sub ipsa sacra mensa repositae sunt.

357. XX. Ind. XV. Constantio Augusto XI. et Juliano Caesare II. Coss. 1. 284.

His Consulibus mense Distro, die III. Constantinopolim allatae sunt reliquiae Sanctorum Lucae et Andreae Apostolorum, cura Constantii Augusti, cum veneratione et cultu, ac psalmorum et hymnorum cantu, depositaeque sunt in aede Sanctorum Apostolorum.

Constantius Augustus propter Vicennalia sua multo cum apparatu et comitatu Romam venit, et cum eo uxor ejus Eusebia Augusta, Romaeque morati sunt dies XIV.

ἦλθεν δὲ αὐτῷ καὶ ἡ γυνὴ αὐτοῦ Εὐσεβία ἡ βασίλισσα, καὶ ἐποίησαν ἡμέρας ιδ' ἐν τῇ Ῥώμῃ.

Ἰνδ. α'. κα'. ὑπ. Δατιανοῦ καὶ Κερεαλίου.

Ἰνδ. β'. κβ'. ὑπ. Εὐσεβίου καὶ Ὑπατίου.

Ἐπὶ τούτων τῶν ὑπάτων μηνὶ ὑπερβερεταίῳ μέγας γέγονε καὶ σφοδρὸς σεισμὸς ἐν Νικομηδείᾳ περὶ ὥραν γ' νυκτερινήν. καὶ ἡ πόλις κατέπεσε καὶ διεφθάρη, ἐν οἷς καὶ συναπώλετο ὁ τῆς αὐτῆς πόλεως ἐπίσκοπος Κεκρόπιος τοὔνομα. D

Γρατιανὸς υἱὸς Οὐαλεντινιανοῦ ἐγεννήθη πρὸ ι' καλανδῶν Ἰουνίων, καὶ αὐτῷ τῷ ἔτει ἐν πρώτοις προῆλθεν ἐν Κωνσταντινουπόλει ἔπαρχος Ῥώμης ὀνόματι Ὀνώρατος πρὸ γ' ἰδῶν σεπτεμβρίων.

σπε' Ὀλυμπιάς.

Ἰνδ. γ'. κγ'. ὑπ. Κωνσταντίου Αὐγούστου τὸ ιβ' καὶ Ἰουλιανοῦ Καίσαρος τὸ γ'.

Τούτῳ τῷ ἔτει μηνὶ περιτίῳ ιε' καθιερώθη ἡ μεγάλη ἐκκλησία Κωνσταντινουπόλεως.

Μακεδόνιος Κωνσταντινουπόλεως ἐπίσκοπος καθῃρέθη ἐπὶ πολλοῖς ἰδίοις αὐτοῦ ἐγκλήμασιν, καὶ κατέστη ἀντ' αὐτοῦ Εὐδόξιος τῆς αὐτῆς ἐκκλησίας ἐπίσκοπος, ἐνθρονισθεὶς μηνὶ αὐδυναίῳ κζ', παρουσίᾳ ἐπισκόπων οβ', Μάρι, Ἀχαικίου, Γεωργίου, V 235 P 294

1. Εὐσεβεία PV. 7. καὶ alterum om. P. 9. Οὐαλεντιανοῦ P. 15. Καίσαρος om. P. 21. Μάρι Ἀχαικίου Ducangius, Μαριακεσίου PV.

A. C. [Ol. Iph.]

358. XXI. Ind. I. Datiano et Cereale Coss. 2.

359. XXII. Ind. II. Eusebio et Hypatio Coss. 3.

His Coss. mense Hyperberetaeo Nicomediae ingens et vehemens terrae motus accidit circiter horam tertiam noctis: ac civitas concidit, et deleta est, unaque cum aliis ipse urbis Episcopus, Cecropius nomine, oppressus est.

Gratianus Valentiniani filius ex a. d. x. Kalend. Junias natus est. Et hoc ipso anno primum processit Constantinopoli Praefectus Romae, Honoratus nomine, ex a. d. III. Idus Septembres.

CCLXXXV. Olympias.

360. XXIII. Ind. III. Constantio Augusto XII. et Juliano Caesare III. Coss. 4.

Hoc anno, mense Peritio, die XV. Magna Ecclesia Constantinopoleos dedicata est.

Macedonius Episcopus Constantinopolitanus propter multa ipsius propria crimina exauctoratus est, et in locum ejus surrogatus Eudoxius

Σέρρα, Οὐρανίου, Θεοδοσίου, Εὐσεβίου, Λεοντίου, Κυρίωνος, Ἀραβιανοῦ, Ἀσίνου, Φιλοθέου, Ἀγερωχίου, Εὐγενίου, Ἐλπιδίου, Στεφάνου, Ἡλιοδώρου, Δημοφίλου, Τιμοθέου, Ἐξευρεσίου, Μεγασίου, Μειζονίου, Παύλου, Εὐαγρίου, Ἀπολλωνίου, Φοίβου, Θεοφίλου, Προτασίου, Θεοδώρου, Ἡλιοδώρου, Εὐμαθίου, Συνεσίου, Πτολεμαίου, Εὐτυχῇ, Κύντου, Ἀλφίου,
B *Τροφίμου, Εὐτυχίου, Βασιλίσκου, Θεομνήστου, Βετρανίωνος, Φιλίππου, Ἀναστασίου, Μαξεντίου, Πολυεύκτου, Γρατιανοῦ, Λεοντίου, Μητροδώρου, Εὐσταθίου, Ἰοννιανοῦ, Τροφίμου, Οἰκουμενίου, Μηνοφίλου, Εὐηθίου καὶ τῶν λοιπῶν.*

R 684 *Ἐπὶ τῆς αὐτῆς συνόδου τῶν ἐπισκόπων οἱ μετὰ πολλὰς ἡμέρας τοῦ ἐνθρονισθῆναι τὸν Εὐδόξιον ἐπίσκοπον Κωνσταντινουπόλεως τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας τῆς αὐτῆς πόλεως ἐτελέσθη δι' ἐτῶν λδ' μικρῷ πρόσω ἀφ' οὗ θεμελίους κατεβάλετο Κωνσταντῖνος νικητής, σεβαστός. ἐγένετο δὲ καὶ τὰ ἐγκαίνια αὐτῆς ἐπὶ τῶν προκειμένων ὑπάτων πρὸ ις' καλανδῶν μαρ-*
C *τίων, ἥτις ἐστὶ μηνὸς περιτίου ιδ'. εἰς τὰ ἐγκαίνια προσήγαγεν ὁ βασιλεὺς Κωνστάντιος Αὔγουστος ἀναθέματα πολλά, κειμήλια χρυσᾶ καὶ ἀργυρᾶ μεγάλα καὶ διάλιθα χρυσυφῆ ἁπλώματα τοῦ ἁγίου θυσιαστηρίου πολλά. ἔτι μὴν καὶ εἰς τὰς θύρας τῆς ἐκκλησίας ἀμφίθυρα χρυσᾶ διάφορα καὶ εἰς τοὺς πυλεῶνας τοὺς*

2. *Γερωχίου* P. 8. *Γρατιανοῦ — Εὐηθίου*] *Τροφίμου, Οἰκουμενίου, Γρατιανοῦ, Λεοντίου, Μητροδώρου, Εὐσταθίου, Μενοφίλου, Εὐηθέου* P. 14. *πρὸς* P. *ib. κατεβάλλετο* PV. 15. *δὲ* om. P. 17. *περιτιδίου* R, *περιτίου* m. R. 18. *ἀναθήματα* P 19. *χρυσοφῆ* R, *χρυσοϋφῆ* P bis sola.

mense Audynaeo, die XXVII. praesentibus Episcopis LXXII. Mari scilicet, Acacio, Georgio, Serra, Uranio, Theodosio, Eusebio, Pegasio, Leontio, Curione, Arabiano, Asino, Philotheo, Gerochio, Eugenio, Elpidio, Stephano, Heliodoro, Demophilo, Timotheo, Exeuresio, Megazio, Mizonio, Paulo, Evagrio, Apollonio, Phoebo, Theophilo, Protasio, Theodoro, Heliodoro, Eumathio, Synesio, Ptolemaeo, Eutyche, Quinto, Alphio, Trophimo, Eutychio, Basilisco, Theomnesto, Vetranione, Philippo, Anastasio, Maxentio, Polyeucto, Trophimo, Oecumenio, Gratiano, Leontio, Metrodoro. Eustathio, Joviano, Menophilo, Evetheo, et caeteris.

In eadem Synodo Episcoporum non post multos dies ab inauguratione Eudoxii Episcopi Constantinopoleos, Encaenia Magnae Ecclesiae ejusdem urbis celebrata sunt, anno trigesimo quarto plus minus, ex quo fundamenta Constantinus victor Augustus jecerat. Acta sunt autem illius Encaenia his Consulibus ex a. d. XVI. Kalend. Martias, qui dies est mensis Peritii XIV. Ad ea Encaenia Imperator Constantius Augustus munera multa, cimelia aurea et argentea ingentia, gemmisque et auro intextas pro altari mappas contulit. Praeterea pro Ecclesiae Januis varia aurea vela: et pro exterioribus vestibulis alia rursum vela auro

ἔξω χρυσοφῆ ποικίλα· ὡς πολλὰς δωρεὰς ἐχαρίσατο φιλοτίμως τότε παντὶ κλήρῳ καὶ τῷ καιρῷ τῶν παρθένων καὶ τῶν χηρῶν καὶ τοῖς ξενοδοχείοις. καὶ εἰς διατροφὴν τῶν προειρημένων καὶ τῶν πτωχῶν καὶ ὀρφανῶν καὶ φυλακῶν σιτομέτριον προσέθηκεν πλείονος μέτρου οὗπερ ὁ πατὴρ αὐτοῦ Κωνσταντῖνος ἐχαρίσατο. D

Ἰνδ. δ'. κδ'. ὑπ. Ταύρου καὶ Φλωρεντίου.

Ἀρχῇ τετάρτης ἰνδικτιῶνος διὰ τὴν ἀπαγγελθεῖσαν αὐτῷ ἀταξίαν Ἰουλιανοῦ Καίσαρος, ἐλθὼν εἰς Μόμψου κρήνας ἐν πρώτῃ μονῇ ἀπὸ Τάρσου Κιλικίας, καὶ πρότερος εἰληφὼς τὸ ἅγιον βάπτισμα παρὰ Εὐζωίου ἐπισκόπου Ἀντιοχείας μετασταλέντος ἐν τῇ αὐτῇ μονῇ ὑπὸ τοῦ αὐτοῦ Κωνσταντίου, μεταλλάττει τὸν βίον ὁ αὐτὸς Κωνστάντιος Ἄῤγουστος μηνὶ δίῳ γ' ἔτους Ἀντιοχείας νί' P 295 ἰνδικτιῶνος ε', εἰρήνης τῶν ἐκκλησιῶν ἐπιλαβομένου ἔτους ν', τῶν προειρημένων ὑπάτων Ταύρου καὶ Φλωρεντίου.

Ῥωμαίων λς' ἐβασίλευσεν Ἰουλιανὸς ὁ παραβάτης, ἀνεψιὸς μὲν Κωνσταντίου, ἀδελφὸς δὲ Γάλλου τοῦ καὶ Κωνσταντίου, ἔτη β'. ὁμοῦ ,εωοβ'.

Ἰνδ. ε'. α'. ὑπ. Μαμερτίνου καὶ Νεβήττα.

Μετὰ τελευτὴν Κωνσταντίου τοῦ Αὐγούστου ἡ εἰρήνη τῶν ἐκκλησιῶν διεκόπη, εἰσελθόντος Ἰουλιανοῦ ἐν Κωνσταντινουπόλει μηνὶ ἀπελλαίῳ ια'. καὶ ἔστιν τὰ παρακολουθήσαντα ταῦτα.

8. *Μόψου* P. *ib. ἐν πρώτῃ μονῇ*] *πρότιμον ἢ* R. 9. *πρότερον* P sola. 16. *Κωνσταντίου* m. R, *Κωνσταντίνου* RV. 21. *Ἀπηλαίῳ* PV. *ib. ἀκολουθήσαντα* P.

contexta et variegata. Multa enim beneficia magnifice largitus est, cum in universum Clerum, tum in religiosarum virginum ac viduarum collegia, et in Xenodochia. In praedictorum vero tum pauperum, tum orphanorum, ac captivorum, seu in carceribus detentorum alimenta, diarium majus concessit quam pater ejus Constantinus erat elargitus. Anni a m. c.

A. C. [Ol. Iph.]

361. XXIV. Ind. IV. Tauro et Florentio Coss 1. 285. 5869.

Ineunte IV. Indictione, Constantius Augustus, cum propter nuntiatam sibi Juliani Caesaris rebellionem Mopsucrenas venisset, in prima a Tarso mansione ab Euzoio Antiochiae Episcopo, ipso in eandem mansionem evocato, suscepto prius baptismo, moritur mensis Dii, seu Novembris die III. anno juxta Antiochenos CDX. Indict. V. redditae pacis Ecclesiis anno L. praedictis Tauro et Florentio Coss.

Romanis XXXVI. imperavit Julianus Apostata, Constantii quidem patruelis, Galli vero, qui et Constantius dictus est, frater, ann. II. Colliguntur anni V. MDCCCLXXII. 5871.

362. I. Ind. V. Mamertino et Nevitta Coss. 2.

Mortuo Constantio Augusto, pax Ecclesiarum Juliano Constantinopolin mensis Apelaei XI. die ingresso, sublata est. Quae autem sunt insecuta haec sunt.

B Ἰουλιανὸς γνοὺς Κωνσταντίου τοῦ Αὐγούστου τελευτήν,
R 686 τὴν ἑαυτοῦ ἀποστασίαν καὶ ἀσέβειαν φανερὰν καθιστῶν διατάγματα κατὰ τοῦ χριστιανισμοῦ καθ' ὅλης τῆς οἰκουμένης ἀποστέλλων τὰ εἴδωλα πάντα ἀνανεοῦσθαι προσέταττεν. ἐφ' οἷς ἐπαρθέντες οἱ κατὰ τὴν ἀνατολὴν Ἕλληνες εὐθέως ἐν Ἀλεξανδρείᾳ τῇ κατ' Αἴγυπτον Γεώργιον τὸν ἐπίσκοπον τῆς πόλεως συλλαβόμενοι ἀνεῖλον καὶ τὸ λείψανον αὐτοῦ ἀσεβῶς ἐνύβρισαν· καμήλῳ
V 236 γὰρ ἐπιθέντες δι' ὅλης τῆς πόλεως περιέφερον, καὶ μετὰ τοῦτο διαφόρων ἀλόγων νεκρὰ σώματα μετὰ τῶν ὀστέων συναγαγόντες καὶ συμμίξαντες αὐτοῦ τῷ λειψάνῳ καὶ κατακαύσαντες διεσκόρπισαν.

C Καὶ ἐν Παλαιστίνῃ δὲ τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ τὰ λείψανα ἐν Σεβαστῇ τῇ πόλει κείμενα ἀνορύξαντες διεσκόρπισαν.

Ἔτι δὲ καὶ τοῦ ἁγίου Πατροφίλου ἐπισκόπου τῆς ἐν Σκυθοπόλει ἐκκλησίας γενομένου ἀνορύξαντες ἀπὸ τοῦ τάφου τὰ λείψανα τὰ μὲν ἄλλα διεσκόρπισαν, τὸ δὲ κρανίον ἐφυβρίστως κρεμάσαντες ὡς ἐν σχήματι κανδήλας ἐνέπηξαν.

Ἐν δὲ Γάζῃ καὶ Ἀσκαλῶνι πρεσβυτέρους καὶ παρθένους ἀναιροῦντες, καὶ μετὰ τοῦτο ἀναπτύσσοντες καὶ τὰ σώματα αὐτῶν κριθῶν πληρώσαντες, τοῖς χοίροις παρέβαλον.

D Καὶ ἐν Φοινίκῃ δὲ Κύριλλον διάκονον Ἡλιουπολίτην ἀνελόντες τοῦ ἥπατος αὐτοῦ ἀπεγεύσαντο, ἐπειδὴ τὰ εἴδωλα αὐτῶν ἐπὶ τοῦ μακαρίτου Κωνσταντίνου κατέστρεψεν. ὁ δὲ ἀνατεμὼν τὸν

2. διάταγμα P. 19. ἀναπτύσσαντες PV. 21. Ἡλιοπολίτην P.

Julianus cognita Constantii Augusti morte, suam apostasiam et impietatem aperte professus, misso adversus Christianismum per totum orbem edicto, idola omnia instaurari praecepit. Quo inflati qui in Oriente erant Gentiles, statim Alexandriae Aegypti urbe, Georgio civitatis Episcopo capto et interfecto, illius cadaveri impie illudentes, impositum camelo per totam urbem illud circumtulerunt: ac diversorum deinde animalium cadaveribus cum ossibus collectis, ipsiusque reliquiis permixtis ac combustis, cineres disperserunt.

In Palaestina etiam Sancti Joannis Baptistae reliquias, quae Sebastae repositae erant, effossas disperserunt.

Patrophili quoque Scythopolitanae Ecclesiae Episcopi aperto tumulo, corporis alia quidem disperserunt, calvam vero in usum veluti lychni suspensam contumeliose infixerunt.

Gazae vero et Ascalone Presbyteros et virgines occiderunt, ac aperta eorum deinde corpora hordeo repleta, postea porcis exposuerunt.

In Phoenice praeterea Cyrillo Diacono Heliopolitano interfecto, illius jecur degustarunt, quod beatae memoriae Constantino imperante eorum evertisset idola. Sed quo pacto is qui Diaconum dissecuerat,

διάκονον καὶ ἀπογευσάμενος τοῦ ἤπατος αὐτοῦ ὅπως κατέστρεψε τὸν ἑαυτοῦ βίον ἄξιον ἐπιμνησθῆναι. τὴν μὲν γλῶσσαν σαπεῖσαν ἀπώλεσεν, τοὺς δὲ ὀδόντας θρυβέντας ἀπέβαλεν, τοὺς δὲ ὀφθαλμοὺς ἐπὶ πολὺ καὶ σφοδρότερον ὀδυνηθεὶς ἐπηρώθη, καὶ διὰ ὅλου τοῦ σώματος βασανιζόμενος δεινῶς ἀπέθανεν.

Ἐν δὲ Ἐμέσῃ τῇ μεγάλῃ ἐκκλησίᾳ ἐπελθόντες τὸ τοῦ Διονύσου εἴδωλον ἵδρυσαν.

Ὁμοίως δὲ καὶ ἐν Ἐπιφανείᾳ πόλει τῆς Συρίας ἐπεισελ- P 296
θόντες οἱ Ἕλληνες τῇ ἐκκλησίᾳ εἴδωλον εἰσήγαγον μετὰ αὐλῶν καὶ τυμπάνων. ὁ δὲ μακάριος Εὐστάθιος ὁ τῆς αὐτῆς ἐκκλησίας ἐπίσκοπος τυγχάνων, ἀνὴρ εὐλαβὴς καὶ εὐσεβής, ἀκούσας τῶν αὐλῶν καὶ πυθόμενος τὸ ποῦ ἂν εἴη ταῦτα, καὶ γνοὺς ὅτι ἐν τῇ ἐκκλησίᾳ, ζῆλον ἔχων ἐν πίστει καὶ εὐλαβείᾳ, ἀθρόως ἀκούσας R 688
ἐκοιμήθη, προσευξάμενος μὴ ἰδεῖν ταῦτα τοῖς ἑαυτοῦ ὀφθαλμοῖς.

Ἔτι δὲ καὶ ἐν Κωνσταντινουπόλει ἐπιβὰς ὁ Ἰουλιανός, Εὐδοξίου τε ἐπισκόπου ἐν αὐτῇ ὄντος, πολυτρόπως κατὰ τῆς ἐκκλησίας μηχανώμενος ἐπιβουλὰς εἰς σύγχυσιν καὶ τὰ κατ' αὐτὴν ἤγαγεν, βουληθεὶς ἅπαντας τοὺς καθαιρεθέντας πρὸ τούτου ἐπὶ B
διαφόροις ἀτόποις κακοδοξίαις ἐπαφεῖναι ταῖς ἐκκλησίαις, προφάσεις ἐκ τῶν γενομένων ταραχῶν ἐπινοῶν κατὰ τῶν ἐκκλησιῶν τοῦ θεοῦ.

Οὕτως οὖν καὶ Μελέτιος ὁ ἐπὶ ἀσεβείᾳ καὶ ἑτέροις κακοῖς

1. καὶ om. P. 3. τριβέντας P. 20. ἐπαφῆναι PV. 21. τῶν γ. P, αὐτῶν γ. R.

et jecur degustarat, vitam finierit, operae pretium est exponere. Linguam putrescentem amisit: dentes confractos expuit: oculis, post ingentes cruciatus, captus est: toto corpore denique dirissime tortus vitam exuit.

Emesae autem magnam Ecclesiam ingressi, Bacchi idolum in ea erexerunt.

Similiter quoque Epiphaniae Syriae civitate idolum cum tibiis et tympanis in Ecclesiam intulerunt Gentiles. Beatus porro Eustathius ejusdem Ecclesiae Episcopus, vir pius et religiosus, auditis tibiis, interrogavit ubi haec agerentur, intellectoque id in Ecclesia fieri, fidei zelo succensus, simul ac ista audiit, Deum precatus ne talia oculis spectare cogeretur, spiritum edidit.

Cum praeterea Constantinopolim venisset Julianus, ac Eudoxius tum esset urbis Episcopus, variis artibus adversus Ecclesiam structis insidiis, confusionem in eam immittere sategit, praecipiens ut omnes qui antehac propter absurdas varias opiniones fuerant exauctorati, Ecclesiis restituerentur, captata ex ejusmodi conflatis conturbationibus divexandi Dei Ecclesias occasione.

Ita ergo Meletius, qui ob impietatem et alia crimina depositus fue-

καθῃρημένος ἐπανελθὼν ἐν Ἀντιοχείᾳ τὴν παλαιὰν ἥρπασεν ἐκκλησίαν, συνδραμόντων αὐτῷ καὶ τῶν ἤδη ἐκ τοῦ κλήρου καθαιρεθέντων ἐνθέσμως ὑπὸ τῆς ἁγίας συνόδου· ἐν οἷς ἦν μάλιστα καὶ Διογένης, ἀπὸ πρεσβυτέρων, τῶν ἄλλων πλείω συντρέχων, καὶ Βιτάλιος λαϊκός, ἐν ἐπιθέσει ἀεὶ ζήσας, καὶ δὴ ἀπὸ πολ-
C λοῦ προϊών, καὶ ὕστερον λυπηθεὶς μετὰ χρόνον πρὸς τὸν Μελέτιον, ἀπεσχίσθη ἀπ' αὐτοῦ, καὶ αἵρεσιν γέλωτος καὶ αὐτὴν ἀξίαν οὖσαν συνεστήσατο, ἀφ' οὗ ἄχρι τοῦ νῦν Βιταλιανοὶ λέγονται. ταύτῃ τῇ αἱρέσει καὶ Ἀπολλινάριος, ὡς ἂν Λαοδικεὺς τῆς Συρίας, γραμματικοῦ υἱὸς γεγονώς, προέστη.

Ἰνδ. ς'. β'. ὑπ. Ἰουλιανοῦ Αὐγούστου τὸ δ' καὶ Σαλουστίου.

Ἐν τούτῳ τῷ χρόνῳ καὶ τῶν ἐν στρατείαις ἐξεταζομένων τι-
V 237 νὲς ἠπατήθησαν εἰς ἀποστασίαν, οἱ μὲν ἐπαγγελίαις δόσεων καὶ
D ἀξιωμάτων, οἱ δὲ καὶ ἀνάγκαις ταῖς ἐπιτιθεμέναις ὑπὸ τῶν ἰδίων ἀρχόντων χαυνούμενοι. καὶ Θεότεκνος δέ τις πρεσβύτερος τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας ἐξ ὑποσχέσεως ἀπατηθεὶς αὐτομάτως ἐπὶ τὴν εἰδωλολατρείαν ἐχώρησεν, ὃν ὁ θεὸς ἐτιμωρήσατο παραχρῆμα τρόπῳ τοιούτῳ· σκωληκόβρωτος γὰρ γενόμενος καὶ τὰς ὄψεις ἀποβαλὼν καὶ τὴν γλῶσσαν ἐσθίων, οὕτως ἀπέθανεν.

Τότε καὶ Ἤρων οὕτω λεγόμενός τις Θηβαῖος ἐπίσκοπος

4. πλείῳ P. Super usu hoc inferioris aetatis proprio diximus ad Xenoph. Hist. gr. II. 2. 16. Malchus p. 273. 16. πλείω πρὸς τοιαύτην δόξαν μαίνεσθαι. 8. ἄχρι τοῦ] καὶ P. ibid. λέγουσι R, λέγονται m. R, V. 9. Ἀπολινάριος PV. ib. ὡς ἂν δολαϊκεὺς V, ὡς Ἀνδολαϊκεὺς R, ὁ Λαοδικεὺς P. 10. προέφη R, προσέφυ P. 20. Ἴρων PV.

Anni a m. c. rat, Antiochiam reversus, antiquam Ecclesiam per vim occupavit, ad eum confluentibus Clericis, qui jam antea legitime depositi fuerant a sancta Synodo: inter quos praecipuus erat Diogenes ex Presbytero, prae reliquis omnibus concursans, et partes adjuvans: et Vitalis Laicus, qui semper fraudes atque imposturas exercuerat. Hic ulterius progressus, ad extremum offensus Meletio, ab illo se se abrupit, et haeresim ipse quoque ridiculam condidit, a quo etiam hodie Vitalianos nuncupavit. Huic etiam haeresi adhaesit Apollinarius ex Laodicea Syriae, Grammatici filius.

A. C. [Ol. Iph.]

5871. 363. II. Ind. VI. Juliano Augusto IV. et Salustio Coss. 3.

Hac ipsa tempestate, eorum qui ad militias inquirebantur nonnulli in Apostasiam prolapsi sunt, alii quidem munerum ac magistratuum illecti pollicitationibus, alii necessitate quadam imposita a suis Praefectis deliniti. Quidam vero Theotecnus Antiochenae Ecclesiae Presbyter promissionibus circumventus, sponte sua ad Deorum cultum se contulit, quem Deus extemplo hac ratione punivit: a vermibus enim adrosus, oculisque privatus, linguam comedens, interiit.

Tum etiam Iron, ita appellatus, Thebis oriundus, Episcopus, cum

αὐτομάτως ἀπέστη, ἐν τῇ Ἀντιοχέων πόλει τυγχάνων, ὃν ἡ παραδοξοποιὸς τοῦ θεοῦ δύναμις εἰς παράδειγμα καὶ φόβον πολλῶν τιμωρίας εἰσεπράξατο. ἔρημον γὰρ αὐτὸν καταστήσας πάσης κηδεμονίας, καὶ σηπεδόνος νόσον ἐμβαλὼν ἐν ταῖς πλατείαις φερόμενον ἐκψῦξαι δημοσίᾳ ἐνώπιον πάντων ἐποίησεν. R 690 P 297

Ἐν τούτοις καὶ Οὐαλεντινιανός, τριβοῦνος τότε ὢν τάγματος κορνούτων οὕτω λεγομένῳ νουμέρῳ, τῇ εἰς Χριστὸν ὁμολογίᾳ διέπρεπεν. οὐ μόνον γὰρ τοῦ ἀξιώματος κατεφρόνησεν, ἀλλὰ καὶ ἐξορίᾳ ὑποβληθεὶς γενναίως καὶ προθύμως ὑπέμενεν. ὃς μετὰ ταῦτα ὅπως ἐτιμήθη ὑπὸ τοῦ θεοῦ, βασιλεὺς Ῥωμαίων γενόμενος, ἐν τοῖς ἑξῆς δηλωθήσεται.

Ἀρτέμιος δὲ δοὺξ ὢν τῆς κατ' Αἴγυπτον διοικήσεως, ἐπειδήπερ ἐν τοῖς καιροῖς τῆς αὐτοῦ ἀρχῆς ἐπὶ τοῦ μακαρίτου Κωνσταντίου τοῦ Αὐγούστου ζῆλον πολὺν ὑπὲρ τῶν ἐκκλησιῶν ἐνεδείξατο, ἐν τῇ Ἀλεξανδρέων ἐδημεύθη καὶ τὴν κεφαλὴν ἀπετμήθη, μνησικακήσαντος αὐτὸν τοῦ Ἰουλιανοῦ. B

Ἐμαρτύρησεν δὲ καὶ ἐν Δοροστόλῳ τῆς κατὰ τὴν Θράκην Σκυθίας Αἰμιλιανός, ἀπὸ στρατιωτῶν πυρὶ παραδοθεὶς ὑπὸ Καπετωλίνου οὐϊκαρίου, πολλοί τε ἄλλοι κατὰ διαφόρους τόπους καὶ πόλεις καὶ χώρας διέπρεψαν τῇ εἰς Χριστὸν ὁμολογίᾳ, ὧν οὐκ ἔστιν ῥᾴδιον τὸν ἀριθμὸν ἐξειπεῖν καὶ τὰ ὀνόματα. C

1. ἡ om. P. 3. πάσαις κηδεμονίαις P. 6. τούτοις δὲ καὶ P. 7. λεγομένῳ νουμέρῳ V, λεγομένων νουμέρῳ R, λεγομένων νουμέρων ex correctione Raderi P. 10. ὃς] ὡς PV. 13. Κωνσταντίνου P. 17. Δωροστόλῳ PV. 18. ὑπὸ P.

Antiochiae versaretur, sponte pariter defecit: a quo miraculosa Dei potentia in exemplum, et terrorem multorum, poenas exegit. Omnium enim ope curaque destitutum, ac in eum immissis ulceribus, atque adeo putredine, fecit ut dum in plateis circumfertur, publice in conspectu omnium animam emiserit.

Inter haec quoque Valentinianus Tribunus legionis Cornutorum, numeri militaris sic appellati, prae caeteris fidei in Christum professione eminuit. Non solum quippe dignitatem suam contempsit, sed etiam exilio damnatus, fortiter ultroque illud pertulit. Quomodo vero post haec a Deo fuerit honoratus, Romanorum factus Imperator, infra narrabitur.

Artemius vero cum Dux esset Provinciae Aegypti, quod Beatae memoriae Constantini Augusti temporibus, dum ea dignitate fungeretur, in Ecclesias studium singulare professus esset, bonis in fiscum relatis, Alexandriae capite plexus est, immenso Juliani in illum odio.

Passus est etiam Dorostoli, Scythicae Thraciae oppido, Aemilianus, a militibus in ignem conjectus, sub Capitolino Vicario: aliique complures variis in locis, urbibus ac regionibus in Christum confessione claruerunt, quorum numerum inire haud omnino promptum est, vel eorum edere nomina.

Ἐν τούτῳ τῷ χρόνῳ Θαλάσσιός τις ὁ καὶ Μάγνος, ἐν ἀσελγείαις μὲν καὶ ἀσωτίαις ἐπίσημος, ὃς καὶ τῆς ἑαυτοῦ θυγατρὸς ἐπ' αἰσχρουργίαις προαγωγοὺς ἐτύγχανεν, συμπεσόντος αὐτῷ τοῦ οἴκου ἀπέθανεν.

Περὶ μαρτυρίου τοῦ ἁγίου Δομετίου.

Ἐν τούτῳ τῷ ἔτει ἐμαρτύρησε καὶ ὁ ἅγιος Δομέτιος τρόπῳ τοιούτῳ. ἀπερχόμενος γὰρ Ἰουλιανὸς εἰς πόλεμον, καὶ παρερχόμενος διὰ τῶν Κυρρήστικῶν εἶδεν ὄχλον ἑστῶτα ἔμπροσθεν τοῦ
D σπηλαίου τοῦ ἁγίου Δομετίου καὶ ἰώμενον, καὶ ἐπηρώτησε τὸ τίς ἔστιν· καὶ μαθὼν ὅτι μοναχὸς καὶ συνάγεται ὄχλος θέλων ἰαθῆναι καὶ εὐλογηθῆναι παρ' αὐτοῦ, ἐδήλωσεν τῷ ἁγίῳ Δομετίῳ αὐτὸς Ἰουλιανὸς διὰ ῥεφερενδαρίου χριστιανοῦ ταῦτα. Εἰ διὰ τὸ ἀρέσαι τῷ θεῷ σου εἰς τὸ σπήλαιον εἰσῆλθες, ἀνθρώποις μὴ θέλε ἀρέσκειν, ἀλλ' ἰδίαζε. ἀντεδήλωσεν αὐτῷ ὁ ἅγιος Δομέτιος ὅτι Τῷ θεῷ ἐκδούς μου τὴν ψυχὴν καὶ τὸ σῶμα ἐκ παλαιοῦ τοῦ χρό-
R 692 νου ἐν τῷ σπηλαίῳ τούτῳ ἀπέκλεισα ἐμαυτόν. τὸν δὲ πρὸς ἐμὲ ἐρχόμενον ἐν πίστει ὄχλον ἀποδιώκειν οὐ δύναμαι. καὶ ἐκέλευσεν
P 298 ὁ βασιλεὺς Ἰουλιανὸς ἀναφραγῆναι τὸ σπήλαιον, καὶ ἔμεινεν ἔσω ὁ δίκαιος. καὶ οὕτως ἐτελειώθη αὐτὸς ὁ ἅγιος Δομέτιος.

V 238 Τῷ αὐτῷ χρόνῳ εἶδεν Ἰουλιανὸς ἐν ὁράματί τινα τέλειον

1. τῷ om. P. *ibid.* ἀσελγίᾳ P. 2. ἀσωτείαις PV. *ibid.* ὃς] ὁ PV. 3. συνπεσόντος PV. 8. Κυρεστικῶν ἶδεν PV. 9. ἐπηρώτησε τὸ] ἐπηρωτήσατο PV. 10. συναγάγεται ὁ ὄχλος P. 15. τοῦ om. P. 19. ἐτελέσθη P. 20. ἶδεν PV.

Hoc tempore, Thalassius quidam, cui et Magno nomen, flagitiis et libidinum nequitiis insignis, qui et filiam suam lenonis instar prostituebat, aedis ruina oppetiit.

De sancti Dometii martyrio.

Hoc anno, martyrium subiit hacce ratione Sanctus Dometius. Cum Julianus ad bellum proficisceretur ac per Cyrestica transiret, turbam vidit ante Sancti Dometii speluncam stantem, ut curaretur, quis ille esset rogavit: intellectoque Monachum esse, populumque ibi cogi, ut sanitatem consequeretur, et ab eo benedictionem acciperet, haecce nuntiavit Sancto Domitio idem Julianus, per Referendarium, qui Christianus erat: *Si uti Deo tuo placeres, hoc antrum subiisti, noli hominibus placere, sed solitarius vive.* Cui reposuit Sanctus Dometius: *Anima mea et corpore jdm pridem Deo consecratis, in hoc spelaeo memet inclusi, populum autem ex fide ad me venientem arcere non possum.* Imperavit ergo Julianus spelaeum occludi, intusque manens vir justus Sanctus Dometius, vitam finivit.

Hoc eodem anno, vidit Julianus per somnium quendam adultae ae-

ἄνδρα ἐνδεδυμένον ὑπάτου σχῆμα καὶ εἰσελθόντα πρὸς αὐτὸν εἰς τὸν παπυλεῶνα, πεπηγμένον πλησίον τῆς πόλεως Κτησιφῶντος ἐν κώμῃ λεγομένῃ Ῥασίᾳ, κροῦσαι αὐτὸν λόγχῃ. καὶ ἐξυπνισθεὶς ἔκραξεν, καὶ ἀνέστησαν οἱ κουβικουλάριοι εὐνοῦχοι καὶ οἱ σπαθάριοι καὶ στρατὸς ὁ φυλάττων τὸν παπυλεῶνα, καὶ εἰσῆλθον πρὸς αὐτὸν μετὰ λαμπάδων βασιλικῶν· καὶ προσεσχηκὼς ὁ Ἰουλιανὸς ἑαυτὸν σφαγὴν κατὰ τῆς μασχάλης ἔχοντα ἐπηρώτησεν τοὺς παρεστῶτας Πῶς λέγεται ἡ κώμη, ὅπου ἐστὶν ὁ παπυλεών μου πεπηγμένος; καὶ εἶπον αὐτῷ Ῥασία. καὶ εὐθέως ἀνέκραξεν Ἰουλιανός, Ὦ Ἥλιε, ἀπώλεσας Ἰουλιανόν. καὶ ἐκχυθεὶς παρέδωκε τὴν ψυχὴν ὥρᾳ νυκτερινῇ ε′ μηνὶ δαισίῳ πρὸ ς′ καλανδῶν ἰουλίων. καὶ εὐθέως ὁ στρατὸς πρὸ τοῦ γνῶναι τοὺς πολεμίους Πέρσας ἀπῆλθαν ἐν τῷ παπυλεῶνι Ἰοβιανοῦ κόμητος δομεστίκων καὶ στρατηλάτου τὴν ἀξίαν· καὶ ἀγνοοῦντος αὐτοῦ τὰ τῆς τελευτῆς Ἰουλιανοῦ, ἤγαγον αὐτὸν εἰς τὸν βασιλικὸν παπυλεῶνα, ὡς τοῦ βασιλέως Ἰουλιανοῦ ζητήσαντος αὐτόν. καὶ ἀπότε εἰσῆλθεν εἰς τὸν παπυλεῶνα, συνέχοντες αὐτὸν ἀνηγόρευσαν βασιλέα μηνὶ τῷ αὐτῷ δαισίῳ πρὸ ς′ καλανδῶν ἰουλίων πρὸ τοῦ διαφαῦσαι. τὸ δὲ πλῆθος τοῦ στρατοῦ τὸ ὂν εἰς Κτησιφῶντα καὶ ἀπὸ πολλοῦ διαστήματος ἀπληκεῖον οὐκ ἔγνω τὰ συμβάντα ἕως ἀνατολῆς ἡλίου. τελευτᾷ οὖν ὁ αὐτὸς Ἰουλιανὸς ὢν ἐτῶν λς′.

3. 9. Ῥαδίᾳ R. Ἀσίᾳ Malalas p. 332. Verum est Φρυγίᾳ. Vide Valesium ad Ammianum XXV. 3. 9. 9. Ῥασσίᾳ V. *ib.* ἀνέκραξεν εὐθέως P. 10. ἀπώλεσες PV. 11. Δεσίῳ PV semper. 13. ἀπῆλθον P. 17. ὅτε P sola. V. p. 112. D. 19. διασαφῶσαι R. 21. τοῦ ἡλίου P.

tatis virum, Consulari habitu indutum, seque convenientem in tabernaculum ad urbem Ctesiphontem tum fixum, in loco Rhasia nuncupato, et ab eo hasta feriri. E somno vero excitatus, clamavit: statimque exurgentes cubicularii Eunuchi, et Spatharii, quique ad Imperatoris tentorium excubias agebant milites, cum lampadibus Imperatoriis ingressi sunt. Julianus vero cum animadvertisset se sub axilla vulnus accepisse, circumstantes rogavit, *Quod nomen est loco ubi fixum est tabernaculum.* ***Rhasiam*** vero appellari respondentibus, illico exclamavit Julianus: *O Sol, perdidisti Julianum.* Et effuso sanguine, animam emisit hora noctis quinta, mense Desio, ex a. d. VI. Kalend. Julias. Confestim vero exercitus, priusquam id hostes rescirent, ad tentorium Joviani, qui Comitis Domesticorum et Magistri militum dignitatem obibat, contenderunt, ipsumque Juliani mortis ignarum ad Imperatorium tentorium adduxerunt, tanquam a Juliano accersitum: cumque ingressus esset tentorium, extemplo arreptum Imperatorem inaugurarunt, mense Desio ex a. d. VI. Kal. Julias, priusquam dilucularet. Reliquus vero exercitus qui circa Ctesiphontem erat, proculque castra posuerat, ante solis ortum, de iis quae acciderant nihil novit. Moritur igitur Julianus, annos natus XXXVI.

Ἐν αὐτῇ δὲ τῇ νυκτὶ εἶδεν ἐν ὁράματι ὁ ὁσιώτατος Βασίλειος ἐπίσκοπος Καισαρείας τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸν σωτῆρα Χριστὸν ἐπὶ θρόνου καθήμενον καὶ εἰπόντα κραυγῇ, Μερκούριε, ἀπελθὼν φόνευσον Ἰουλιανὸν τὸν βασιλέα τὸν κατὰ
D τῶν χριστιανῶν. ὁ δὲ ἅγιος Μερκούριος, ἑστὼς ἔμπροσθεν τοῦ 5
R 694 κυρίου, φορῶν θώρακα σιδηροῦν, ἀκούσας τὴν κέλευσιν ἀφανὴς ἐγένετο. καὶ πάλιν ηὑρέθη ἑστὼς ἔμπροσθεν τοῦ θρόνου τοῦ κυρίου, καὶ ἔκραξεν, Ἰουλιανὸς ὁ βασιλεὺς σφαγεὶς ἀπέθανεν, ὡς ἐκέλευσας, κύριε. καὶ θροηθεὶς ἐκ τῆς κραυγῆς ὁ ἐπίσκοπος Βασίλειος διυπνίσθη τεταραγμένος. ἐτίμα δὲ αὐτὸν ὁ βασιλεὺς Ἰου- 10
λιανός, ὡς ἑλλόγιμον καὶ ὡς συμπράκτορα αὐτοῦ, καὶ ἔγραφεν αὐτῷ συνεχῶς. καὶ κατελθὼν ὁ ἐπίσκοπος Βασίλειος εἰς τὴν ἐκκλησίαν διὰ τὰ ἑωθινά, καλέσας πάντα τὸν κλῆρον εἶπεν αὐτοῖς
P 299 τὸ τοῦ ὁράματος μυστήριον καὶ ὅτι ἐσφάγη Ἰουλιανὸς ὁ βασιλεὺς καὶ τελευτᾷ ἐν τῇ νυκτὶ ταύτῃ· καὶ πάντες παρεκάλουν 15
αὐτὸν σιγᾶν καὶ μὴ λέγειν τι τοιοῦτον.

Μετὰ δὲ τὴν βασιλείαν Ἰουλιανοῦ μηνὶ δαισίῳ ἐβασίλευσεν ὁ αὐτὸς Ἰοβιανὸς μῆνας η', στεφθεὶς ἀπὸ τοῦ στρατοῦ εἰς τὰ Περσικὰ μέρη. ἅμα δὲ ἐβασίλευσεν, προσεφώνησεν τῷ παντὶ στρατῷ καὶ τοῖς μετ' αὐτοῦ συγκλητικοῖς διὰ φωνῆς αὐτοῦ ἰδίας, 20
Εἰ θέλετε βασιλεύειν με ὑμῶν, ἵνα πάντες χριστιανοὶ ἐσμεν. καὶ εὐφήμησεν αἰτὸν ἅπας ὁ στρατὸς καὶ ἡ σύγκλητος καὶ τὰ τάγμα-

2. Σαρείας R, alterum in m. ponens. 4. τὸν Ἰουλιανὸν P. 7. τοῦ θρόνου om. P. 9. ἐκέλευσες V. 10. δὲ] γὰρ P. 13. τὰ om. P. 16. σιωπᾶν αὐτὸν P. 18. ὁ αὐτὸς om. P. ib. στεφθεὶς δὲ ἀπὸ P. 21. εἰ θέλετε] ἐθέλετε R.

Eadem nocte, per somnium vidit sanctissimus Basilius Caesareae Episcopus coelos apertos, et Salvatorem Christum in throno sedentem, magnoque clamore dicentem: *Mercuri, abi, occide Julianum Imperatorem, illum hostem Christianorum.* Sanctus autem Mercurius stans coram Domino, lorica ferrea indutus, audito mandato, evanuit. Rursus deinde visus est astare coram Domino, exclamans: *Julianus Imperator interfectus mortuus est, ut imperasti, Domine.* Territus eo clamore Episcopus Basilius e somno excitatur: illum enim colebat Julianus Imperator, ut virum eruditum, et consiliorum socium, crebriusque ad illum epistolas mittebat. Descendens deinde idem Basilius Episcopus in aedem sacram ad preces matutinas, universo advocato Clero, visionis arcanum aperuit, et quod interfectus esset Julianus Imperator, hacque nocte obiisset. Ii vero Episcopum rogarunt, ut haec reticeret, neminique enuntiaret.

Mortuo Juliano mense Desio, Imperavit Jovianus menses VIII. Coronatus autem est ab exercitu in Persarum regionibus: qui simul ac imperium occepit, universum exercitum, et qui cum eo erant Senatores, suamet ipsius voce ita est allocutus: *Si vultis ut vobis imperem, simus omnes Christiani.* Tum vero faustis acclamationibus illum prosecuti sunt

τα τῶν στρατευμάτων. καὶ λοιπὸν ἐξελθὼν ὁ αὐτὸς Ἰοβιανὸς ἅμα τῷ οἰκείῳ στρατῷ ἐκ τῆς ἐρήμου γῆς εἰς τὴν εὐθαλῆ Περ- B
σικήν, ἐμερίμνα πῶς ἐξέλθῃ ἐκ τῶν λοιπῶν Περσικῶν μερῶν.

Ὁ δὲ βασιλεὺς Περσῶν Λαβουαρσάκιος μήπω μαθὼν τὴν V 239
τοῦ βασιλέως Ἰουλιανοῦ τελευτήν, ἐν φόβῳ πολλῷ κατεχόμενος, ἐκ τῆς Περσικῆς Ἀρμενίας χώρας πρεσβεύων ἐξέπεμψέν τινα τῶν μεγιστάνων αὐτοῦ ὀνόματι Σουρέναν πρὸς τὸν βασιλέα Ῥωμαίων περὶ εἰρήνης αἰτῶν καὶ δεόμενος. ὅντινα δεξάμενος ἀσμένως Ἰοβιανὸς ὁ βασιλεὺς ἐπένευσεν δέχεσθαι τὴν πρεσβείαν τῆς εἰρήνης, εἰρηκὼς καὶ αὐτὸς πέμπειν πρεσβευτὴν πρὸς τὸν βασιλέα Περσῶν. ἀκούσας δὲ τοῦτο Σουρένας πρεσβευτὴς Περσῶν, ᾔτησε τὸν βασιλέα Ἰοβιανὸν τυπῶσαι εὐθέως καὶ παραχρῆμα εἰρήνης C
πάκτα.

Καὶ ἀφορίσας ὁ βασιλεὺς Ἰοβιανὸς ἕνα συγκλητικὸν αὐτοῦ, τὸν πατρίκιον Ἀρινθαιον, δεδωκὼς αἰτῷ τὸ πᾶν, συνθέμενος ἐμμένειν τοῖς παρ' αὐτοῦ δοκιμαζομένοις ἤτοι τυπουμένοις μετὰ τῆς συγκλήτου καὶ τοῦ πρεσβευτοῦ Περσῶν ποιῆσαι εἰρήνης R 696
πάκτα, ὡς αὐτὸς ἀσχολούμενος. καὶ παρέσχεν ἔνδοσιν τοῦ πολέμου τρεῖς ἡμέρας ἐν τῇ περὶ τῆς εἰρήνης βουλῇ. καὶ ἐτυπώθη μεταξὺ τοῦ πατρικίου Ἀρινθαίου τοῦ Ῥωμαίου καὶ Σουρένα συγκλητικοῦ Περσῶν δοῦναι Ῥωμαίους Πέρσαις πᾶσαν τὴν ἐπαρχίαν καὶ τὴν λεγομένην πόλιν Νισίβιος γυμνὴν σὺν τείχεσι καὶ μόνοις D

6. Περσικῆς γῆς P. 8. αἰτῶν Malalas p. 335. 6. αὐτῶν RV, αὐτῆς P. 11. Σούρενος P. 14. ὁ om. P. 18. πολέμου om. P. 22. Νησιβέων P.

universus exercitus, et Senatus, ac milites Praetoriani. Jovianus cum suis copiis e solitudine in florentes Persidis agros egressus, anxius erat quomodo ex reliquis Persicis regionibus se se subduceret.

Rex vero Persarum Labuarsacius, nondum accepta Juliani Imperatoris morte, haud modico pavore perculsus, ex Armeniae Persicae Provinciis instituta ad Romanorum Imperatorem legatione, quendam ex proceribus, Surenam nomine, misit, qui de pace ageret, eamque expeteret. Quo gratanter excepto, oblatae de ineunda pace legationi annuit Jovianus Imperator, vicissimque missurum se dixit legatum ad Persarum Regem. Quibus auditis, Surenas Persarum legatus rogavit Jovianum Imperatorem, uti pacis conditiones quamprimum ederentur.

Jovianus igitur Imperator uni e Senatoribus, qui cum eo erant, Arinthaeo Patricio selecto, totum rei negotium ita mandavit, ut quidquid ille probaret cum Senatu et Persarum legato de pacis conditionibus, se etiam inconsulto, statueret, rata haberentur: concessis trium dierum induciis, intra quos de pace consilia agitarentur. Ac illa quidem ita confecta est inter Arinthaeum Patricium Romanum, et Surenam Persarum Senatorem, ut Romani Persis tota provincia cederent, ipsaque

ἄνευ ἀνδρῶν τῶν οἰκούντων αὐτήν. καὶ τούτου στηριχθέντος καὶ εἰρήνης ἐγγράφου γενομένης, ἔλαβεν μεθ' ἑαυτοῦ ὁ βασιλεὺς Ἰοβιανὸς ἕνα τῶν σατραπῶν Περσῶν, ὄντα μετὰ τοῦ πρεσβευτοῦ, ὀνόματι Ἰούνιον, εἰς τὸ παραλαβεῖν τὴν ἐπαρχίαν καὶ τὴν μητρόπολιν αὐτῆς. καὶ καταφθάσας ὁ αὐτὸς βασιλεὺς Ἰοβιανὸς τὴν Νισιβέων πόλιν οὐκ εἰσῆλθεν ἐν αὐτῇ, ἀλλ' ἔξω τῶν τειχῶν ἔστη. ὁ δὲ Ἰούνιος ὁ τῶν Περσῶν σατράπης ἐπελθὼν ἐν τῇ πόλει κατὰ κέλευσιν τοῦ βασιλέως εἰς ἕνα τῶν πύργων σημεῖον Περσικὸν ἐπέθηκε, τοῦ βασιλέως Ῥωμαίων κελεύσαντος τοὺς πολί-
P 300 τας πάντας σὺν πᾶσιν τοῖς διαφέρουσιν αὐτοῖς ἕως ἑνὸς εὐθέως ἐξελθεῖν. καὶ ἐξελθὼν πρὸς αὐτὸν Σιλουανός, κόμης τὴν ἀξίαν καὶ πολιτευόμενος τῆς αὐτῆς πόλεως, προσέπεσεν τῷ βασιλεῖ, δεόμενος μὴ παραδοῦναι τὴν πόλιν Πέρσαις. ὡς δὲ οὐκ ἔπεισεν αὐτόν, ὀμωμοκέναι γὰρ ἔφασκεν καὶ μὴ βούλεσθαι δόξαν ἐπιόρκου παρὰ πᾶσιν ἔχειν, τειχίσας κώμην οὖσαν ἔξω τοῦ τείχους τῆς πόλεως Ἀμίδης προσέζευξεν τὸ αὐτὸ τεῖχος τῷ τείχει τῆς πόλεως Ἀμίδης, καλέσας τὴν κώμην Νισίβεως, καὶ ἐκεῖ πάντας τοὺς ἐκ τῆς Μυγδονίας χώρας οἰκεῖν ἐποίησεν, καὶ Σιλουανὸν τὸν πολιτευόμενον εὐθέως ἐκ τῆς Μεσοποταμίας καὶ πάντα χριστιανὸν ἀνήγαγεν,
B καὶ χριστιανοῖς ἐνεχείρισεν τὰς ἀρχὰς τῆς ἀνατολῆς πάσης καὶ ἐπάρχους.

Καὶ μετὰ τὸ ποιῆσαι πάκτα εἰρήνης μετὰ Περσῶν ἀπολι-

5. καὶ καταφθάσας — Ἰοβιανὸς om. P. 7. ἀπελθὼν P. 11. Σιλβανὸς P. 20. τῆς ἀνατολῆς πάσης om. P. 22. κατὰ Π. R.

urbe Nesibi, cum solis muris, nuda ab omnibus civibus. Quibus sic firmatis, pacisque pactis in tabulas relatis, secum accepit Imperator Jovianus unum e Persicis Satrapis, qui cum legato venerat, Junium nomine, qui provinciam acciperet, et illius Metropolim Nesibenorum civitatem. Illam tamen haud ingressus est, sed extra moenia constitit. Junius vero Persarum Satrapa urbem Imperatoris mandato ingressus, in turrium una vexillum Persicum fixit, Imperatore cives omnes ad unum cum bonis omnibus excedere jubente. Egressus vero Silvanus, dignitate Comes, ac urbis ejusdem Decurio, pedibus Imperatoris advolutus, enixe eum precatus est, ne civitatem Persis dederet. Verum non persuasit Imperatorem, qui cum Sacramento adstrictum se diceret, ac perjurii noxam nolle se omnino incurrere, vicum, qui extra muros Amidae civitatis erat, muniit, moeniaque vici cum moenibus urbis Amidae conjunxit, Nesibini vici nomine indito, illicque omnes ex Mygdonia regione evocatos collocavit: Silvanum quoque Comitem statim ex Mesopotamia, Christianosque omnes reduxit, ac Christianis dignitates et Praefecturas tradidit.

Pace cum Persis confecta, relicto Oriente, Imperator Jovianus intra breve tempus Constantinopolim properanter propter hyemem, quae gravis incubuerat, contendit.

πὼν τὴν ἀνατολὴν ὁ βασιλεὺς Ἰοβιανὸς πρὸς ὀλίγον χρόνον ἐξώρμησεν ἐπὶ Κωνσταντινούπολιν μετὰ τοῦ στρατοῦ σπουδαίως διὰ τὸν χειμῶνα· ἦν γὰρ βαρύς.

σπς' Ὀλυμπιάς.

Ῥωμαίων λζ' ἐβασίλευσεν Ἰοβιανὸς μῆνας ι', ἡμέρας ιε'. ὁμοῦ ,εωογ'.

Ἰνδ. ζ'. α'. ὑπ. Ἰοβιανοῦ Αὐγούστου καὶ Βαῤῥωνιανοῦ.

Τούτῳ τῷ ἔτει ἐτελεύτησεν Ἰοβιανὸς Αὔγουστος εἰς Δαδάστανα μηνὶ περιτίῳ πρὸ ιβ' καλανδῶν μαρτίων. R 698 C

Ῥωμαίων λη' ἐβασίλευσεν Οὐαλεντινιανὸς Αὔγουστος, Σαλουστίου τοῦ ἐπάρχου πραιτωρίων καὶ παλαιοῦ πατρικίου ἐπιλεξαμένου τὸν αὐτὸν Οὐαλεντινιανόν· ὄντινα Οὐαλεντινιανὸν Ἰουλιανὸς ὁ παραβάτης ὡς χριστιανὸν πάνυ πέμψας ἦν εἰς Σηλυβρίαν, ποιήσας αὐτὸν ἐκεῖ τριβοῦνον ἀριθμοῦ. ἔγνω γὰρ ἐν ὁράματι Ἰουλιανὸς ὅτι μετ' αὐτὸν βασιλεύει. ὁ δὲ ἔπαρχος τῶν πραιτωρίων Σαλούστιος πέμψας ἤνεγκεν αὐτὸν ἀπὸ Σηλυβρίας, καὶ εἶπεν τῷ στρατῷ καὶ τῇ συγκλήτῳ ὅτι οὐδεὶς ποιεῖ βασιλέα εἰς τὰ Ῥωμαίων ὡς αὐτός. καὶ ἐπήρθη Οὐαλεντινιανὸς Αὔγουστος ἐν Νικαίᾳ Βιθυνίας μηνὶ περιτίῳ πρὸ ε' καλανδῶν μαρτίων. V 240 D

Ἐβασίλευσεν δὲ Ῥωμαίων λη' ὁ αὐτὸς θειότατος Οὐαλεντινιανὸς ἔτη ιδ'. ὁμοῦ ,εωπζ'.

2. σπουδαίου R. 8. Δάστανα R. 10. λη' om. P. 13. ἦν addit V, om. P. 16. Ὀλυβρίαν V, Ὀλυμβρίαν R, Σηλυμβρίαν P. 16. ἀπὸ Σολιβρίας V, ἀπ' Ὀλυμβρίας R, ἀπὸ Σηλυμβρίας P. 20. Ῥωμαίων λη' ἐβασίλευσεν δὲ P, omisso δὲ R.

CCLXXXVI. Olympias.

Romanis XXXVII. imperavit Jovianus menses X. dies XV. Colliguntur anni V. MDCCCLXXIII. Anni a m. c. 5872.

A. C. [Ol. Iph.]

364. I. Ind. VII. Joviano Augusto et Varroniano Coss. 4. 5872.

Hoc anno Jovianus Augustus Dadastanis decessit, mense Peritio, ex a. d. XII. Kalend. Martias.

Romanis imperavit Valentinianus Augustus, eum eligente Salustio Praefecto Praetorio et Ex-Patricio: quem quidem Valentinianum Julianus Apostatà, ut qui Christianae religioni impensius esset addictus, Selymbriam amandarat, numeri militaris Tribunum acturum. Didicerat enim Julianus per visum illum post se imperaturum. Salustius vero Praefectus Praetorio Valentinianum, misso nuntio, ex Selymbria adduci curavit, cum exercitum ac Senatum allocutus, neminem adeo esse ad imperandum idoneum, quam ille esset, affirmasset. Et levatus est Valentinianus Augustus Nicaeae Bithyniae, mense Peritio, ex a. d. V. Kal. Martias.

Romanis XXXVIII. imperavit idem religiosissimus Valentinianus ann. XIV. Colliguntur anni V. MDCCCLXXXVII. 5886.

Ὅστις Οὐαλεντινιανὸς ἅμα ἐβασίλευσεν, διεδέξατο τὸν ἔπαρχον τῶν πραιτωρίων Σαλούστιον, καὶ ὑπὸ ἐγγύας αὐτὸν
P 301 ποιήσας ἔθηκε προθέματα κατ' αὐτοῦ, ἵνα εἴ τις ἠδίκηται παρ' αὐτοῦ, προσέλθῃ τῷ βασιλεῖ Οὐαλεντινιανῷ. καὶ οὐδεὶς προσῆλθεν κατὰ Σαλουστίου· ἦν γὰρ ἀγνότατος πάνυ.

Τούτῳ τῷ ἔτει ἐπήρθη Οὐάλης Αὔγουστος ὁ ἀδελφὸς Οὐαλεντινιανοῦ εἰς Κωνσταντινούπολιν ἐν τῷ Ἑβδόμῳ ὑπὸ Οὐαλεντινιανοῦ Αὐγούστου μηνὶ δύστρῳ πρὸ δ' καλανδῶν ἀπριλίων.

Οὗτος Οὐάλης ὁ ἀδελφὸς Οὐαλεντινιανοῦ ἦν Ἀρειανός, καὶ ἔσχεν γυναῖκα Δομνίκην, ἐξ ἧς ἔσχεν υἱὸν ὀνόματι Γαλάτην καὶ
B θυγατέρας δύο, Ἀναστασίαν καὶ Καρῶσαν, καὶ κτίζει δύο δημόσια ἐν Κωνσταντινουπόλει πρὸς τὰ αὐτῶν ὀνόματα, Ἀναστασιανὰς καὶ Καρωσιανάς.

Ἰνδ. η'. α'. ὑπ. Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος.

Τούτῳ τῷ ἔτει ἡ θάλασσα ἐκ τῶν ἰδίων ὅρων ἐξῆλθεν μηνὶ πανέμῳ πρὸ ιβ' καλανδῶν σεπτεμβρίων.

R 700 Ἰνδ. θ'. β'. ὑπ. Γρατιανοῦ ἐπιφανεστάτου καὶ Δαγαλαΐφου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐγεννήθη Οὐαλεντινιανὸς Αὔγουστος μηνὶ αὐδυναίῳ πρὸ ιε' καλανδῶν φεβρουαρίων.

C Καὶ τῷ αὐτῷ ἔτει Προκόπιος ἀντάρτης εἰς Φρυγίαν Σα-

3. εἴ τις] ἤτις V, (εἴ) τις P, τις R. 6. ὁ om. P. 8. σύστρῳ R, δούστρῳ V. 13. Καρουσιανάς V. 16. σεπτεμβρίων] Immo αὐγούστων. Conf. Clinton. Fast. vol. II. p. 359. annot. c. 20. ἀνταρθεὶς R, alterum in m. ponens.

Anni a m. c. Valentinianus vero simul ac suscepit imperium, Salustio Praefecto Praetorio exauctorato, dignitatem statim reddidit, hac apposita cautione, ut adversus illum emitteretur decretum, quo cuivis, qui ab eo injuriam passus esset, Imperatorem convenire liceret. Verum nemo contra Salustium prodiit, ut qui esset inculpatae prorsus vitae.

Hoc anno, Valens, Valentiniani frater, levatus est Constantinopoli, in Hebdomo, a Valentiniano Augusto, mense Dystro, ex a. d. IV. Kalend. Apriles.

Hic Valens, Valentiniani frater, Arianus erat, uxoremque habuit Domnicam, ex qua filium suscepit Galatam, et natas duas, Anastasiam et Carosam, condiditque Constantinopoli Balnea publica duo, earum nominibus, Anastasianas et Carosianas appellata.

A. C. [Ol. Iph.]

5873. 365. I. Ind. VIII. Valentiniano et Valente Coss. 1. 286.

Hoc anno, mare suos fines egressum est, mense Panemo, ex a. d. XII. Kalend. Septemb.

366. II. Ind. IX. Gratiano Nobilissimo et Dagalaifo Coss. 2.

His Coss. natus est Valentinianus Augustus, mense Audyneo, ex a. d. XII. Kalend. Febr.

Eodem ipso anno, Procopius, qui tyrannidem arripuerat in Phrygia salutari, in Nacoliae campo a Valentiniano Augu-

Accompte le sujet d'une Pastorale fut Heureusement imaginé par Monsieur Lecomte Intendant de Provence, et Monsieur Bertin Conseiller de Grand Chambre au Parlement d'Aix.

Le Sujet est tiré de la Fable. Le Dieu Pan ayant Entendu Les Nymphes de Diane aller sur Mer, Leur fit naître

Le Sujet est tiré de la Fable. Le Dieu Pan ayant entendu les Nymphes de Diane aller sur Mer, leur fit naître

Pastorale, ou Fable en Musique, représentée devant Sa Majesté, et devant Leurs Altesses Royales, le 28 Janvier 1737. Par l'Académie Royale de Musique.

Les paroles sont de Monsieur Bertin Conseiller de Grand Chambre au Parlement d'Aix, et la Musique de Monsieur Lecomte Intendant de Provence.

Le Sujet est tiré de la Fable. Le Dieu Pan ayant entendu les Nymphes de Diane aller sur Mer, leur fit naître

Pastorale, ou Fable en Musique, représentée devant Sa Majesté, et devant Leurs Altesses Royales, le 28 Janvier 1737. Par l'Académie Royale de Musique.

Les paroles sont de Monsieur Bertin Conseiller de Grand Chambre au Parlement d'Aix, et la Musique de Monsieur Lecomte Intendant de Provence.

ἀδικοῦντας καὶ κλέπτοντας καὶ παραδικάζοντας. καὶ τὸν πραι-
P 302 πόσιτον τοῦ παλατίου αὐτοῦ, Ῥοδανὸν ὀνόματι, ἄνδρα δυνα-
τὸν καὶ εὔπορον καὶ διοικοῦντα τὸ παλάτιον, ὡς πρῶτον ὄντα
ἀρχιευνοῦχον καὶ ἐν μεγάλῃ τιμῇ ὄντα, ἐποίησε ζωοκαυστὸν εἰς
τὴν σφενδόνα τοῦ Ἱππικοῦ φρυγάνοις, ὡς θεωρεῖ τὸ ἱππικόν.

Ὁ αὐτὸς πραιπόσιτος Ῥοδανὸς ἥρπασεν περιουσίαν ἀπό τι-
νος χήρας γυναικός, καλουμένης Βερενίκης, πλέξας αὐτῇ, ὡς
ἐν δυνάμει ὤν, καὶ προσῆλθεν ἐκείνη τῷ βασιλεῖ Οὐαλεντινιανῷ
κατ᾽ αὐτοῦ τοῦ πραιποσίτου, καὶ ἔδωκεν αὐτοῖς δικαστὴν τὸν
πατρίκιον Σαλούστιον, ὅστις κατέκρινε τὸν αὐτὸν πραιπόσιτον
R 702 Ῥοδανόν. καὶ μαθὼν ὁ βασιλεὺς τὸν ὅρον παρὰ τοῦ πατρικίου
Σαλουστίου ἐκέλευσε τῷ αὐτῷ πραιποσίτῳ δοῦναι τῇ χήρᾳ ἅπερ
ἥρπασεν παρ᾽ αὐτῆς. οὐκ ἐπείσθη δὲ ὁ αὐτὸς Ῥοδανὸς ἀνα-
B δοῦναι αὐτῇ ἅπερ ἥρπασεν παρ᾽ αὐτῆς, ἀλλ᾽ ἐξεκαλέσατο τὸν
πατρίκιον Σαλούστιον. καὶ ἀγανακτήσας ὁ Σαλούστιος ἐκέ-
λευσεν τῇ γυναικὶ προσελθεῖν τῷ βασιλεῖ, ὡς θεωρεῖ τὸ ἱππικόν.
καὶ προσῆλθεν τῷ βασιλεῖ Οὐαλεντινιανῷ ἡ γυνὴ τῷ δ᾽ βαΐῳ
πρωΐ, ὡς ἵσταται ἐγγὺς αὐτοῦ ὁ πραιπόσιτος. καὶ ἐκέλευσεν ὁ
βασιλεύς, καὶ κατηνέχθη ἀπὸ τοῦ καθίσματος πάντων θεωρούν-
των ὁ πραιπόσιτος, καὶ ἀπηνέχθη εἰς τὴν σφενδόνα καὶ ἐκαύθη.
καὶ ἐχαρίσατο ὁ βασιλεὺς τῇ γυναικὶ Βερενίκῃ πᾶσαν τὴν περιου-
σίαν τοῦ πραιποσίτου Ῥοδανοῦ, καὶ εὐφημήθη ἀπὸ τοῦ δήμου

6. ἥρπασεν περιουσίαν] γὰρ interponit supra versum alia manu V. 11. παρ᾽ αὐτοῦ P. 13. δὲ om. P. 17. δ᾽ om. P. 21. Βερνίκῃ R, altero in m. posito.

neci dedit. Praepositum etiam Palatii, Rhodanum nomine, virum potentem ac divitem, ut qui primus esset inter Eunuchos, et magna veneratione haberetur, in Circi Funda, dum populus spectaculis interesset, aridis ramentis vivum cremari jussit.

Idem hic Praepositus Rhodanus viduae cuidam Berenicae, potentia sua fretus, bona per calumniam eripuit: illa vero cum Valentinianum Imperatorem contra Praepositum actura adiisset, ille Salustium Patricium iis dedit judicem, a quo Rhodanus est condemnatus. Imperator, ut decretum Salustii Patricii intellexit, praecepit Rhodano Praeposito, uti quae viduae rapuisset restitueret. Verum Rhodanus adduci non potuit, ut quae viduae abstulerat redderet, sed a Salustio Patricio provocavit. Salustius vero indignatus, praecepit feminae, uti ad Imperatorem cum Circensia spectarentur accederet. Accessit mulier ad Imperatorem Valentinianum circa tempus primi Bravii, cum prope illi astaret Praepositus. Tum vero Imperatoris mandato a Tribunali projectus est Praepositus in Fundam Circi, spectantibus universis, et exustus. Confestimque Imperator bona omnia Praepositi Rhodani feminae Berenicae addixit, universo populo, ipsoque Senatu, propter illius justitiam et severitatem

παντὸς καὶ τῆς συγκλήτου ὁ βασιλεύς, ὡς δίκαιος καὶ ἀπότομος· καὶ ἐγένετο φόβος πολὺς εἰς τοὺς κακοπράγμονας καὶ εἰς τοὺς C ἁρπάζοντας τὰ ἀλλότρια, καὶ ἡ δικαιοσύνη ἐκράτει.

Ὁμοίως καὶ τὴν δέσποιναν Μαρῖναν τὴν αὐτοῦ γυναῖκα ἀγοράσασαν προάστειον παρ' ὅσου ἦν ἄξιον ἔχον πρόσοδον, καὶ ὡς Αὔγουσταν τιμηθεῖσαν, ἀκούσας ἔπεμψεν ὁ βασιλεύς, καὶ διετιμήσατο τὸ προάστειον, ὁρκώσας τοὺς διατιμησαμένους. καὶ μαθὼν ὅτι πλείονος τιμῆς πολὺ ἦν ἄξιον τῆς ἀγορασθείσης, ἠγανάκτησε κατὰ τῆς βασιλίσσης, καὶ ἐξώρισεν αὐτὴν τῆς πόλεως, ἀναδοὺς τῇ πωλησάσῃ γυναικὶ τὸ προάστειον. D

Ἰνδ. ιγ'. ς'. ὑπ. Οὐαλεντινιανοῦ Αὐγούστου τὸ δ' καὶ Οὐάλεντος Αὐγούστου τὸ γ'.

Ἐπὶ τούτων τῶν ὑπάτων καθιερώθη ἡ ἐκκλησία τῶν ἁγίων Ἀποστόλων ἐν Κωνσταντινουπόλει μηνὶ ξανθικῷ πρὸ πέντε ἰδῶν ἀπριλίων.

Ἰνδ. ιδ'. ζ'. ὑπ. Γρατιανοῦ τὸ β' καὶ Πρόβου.

σπή' Ὀλυμπιάς.

Ἰνδ. ιε'. η'. ὑπ. Μοδέστου καὶ Ἀρινθαίου.

Ἰνδ. α'. θ'. ὑπ. Οὐαλεντινιανοῦ Αὐγούστου τὸ ε' καὶ Οὐάλεντος Αὐγούστου τὸ δ'. P 303

4. τὴν δ.] δ. P. 5. παράστιον R. 6. ἀκούσας addebat Raderus et confirmat Malalas p. 341. 3. 7. 10. προάστιον R. ib. αὐτοὺς P. 8. ἀγορασθείσης] ἀγορασίας Malalas. 10. πωλησαμένῃ P. 13. ἡ om. P. 19. Αὐγούστου om. P.

acclamante: ex quo facinorosos, et alienorum bonorum raptores ingens timor invasit, jusque fasque obtinuit. Anni a m. c.

Similiter etiam cum accepisset Dominam Marinam, conjugem suam, suburbanum praedium viliori, quam redituum ratione valeret, pretio emisse, ipsamque tanqnam Augustam pretium posuisse, misit Imperator qui suburbanum aestimarent, exacto prius ab ipsis aestimatoribus sacramento. Cumque accepisset longe pluris valere, quam emerat, adversus Augustam indignatus, illam ab urbe proscripsit, suburbano feminae, a qua venditum fuerat, reddito.

A. C. [Ol. Iph.]

370. VI. Ind. XIII. Valentiniano Augusto IV. et Valente Augusto III. Coss. 2. 5878.

His Coss. dedicata est Ecclesia Sanctorum Apostolorum Constantinopoli, mense Xanthico, ex a. d. v. Id. Apriles.

371. VII. Ind. XIV. Gratiano II. et Probo Coss. 3.

CCLXXXVIII. Olympias.

372. VIII. Ind. XV. Modesto et Arinthaeo Coss. 4.

373. IX. Ind. I. Valentiniano Augusto V. et Valente Augusto IV. Coss. 1. 288. 5881.

Ἰνδ. β'. ι'. ὑπ. Γρατιανοῦ Αὐγούστου τὸ γ' καὶ Αἰκυτίου.

Ἰνδ. γ'. ια'. ὑπ. Γρατιανοῦ Αὐγούστου τὸ δ' καὶ Αἰκυτίου τὸ β'.

R 704 Ἐπὶ τούτων τῶν ὑπάτων ἐνεκαινίσθη τὸ γυμνάσιον Καρωσιαναί, παρόντος τοῦ ἐπάρχου Οὐινδαθνίου Μάγνου.

V 242 Ἐπὶ τῶν αὐτῶν ὑπάτων ἐπήρθη Οὐαλεντινιανὸς νέος Αὔγουστος μηνὶ δίῳ πρὸ ε' καλανδῶν δεκεμβρίων εἰς πόλιν Ἄκυγκον.

B σπθ' Ὀλυμπιάς.

Ἰνδ. δ'. ιβ'. ὑπ. Οὐάλεντος Αὐγούστου τὸ ε' καὶ Οὐαλεντινιανοῦ Καίσαρος.

Ἰνδ. ε'. ιγ'. ὑπ. Γρατιανοῦ Αὐγούστου τὸ ε' καὶ Μεροβαύδου.

Ἰνδ. ς'. ιδ'. ὑπ. Οὐάλεντος Αὐγούστου τὸ ζ' καὶ Οὐαλεντινιανοῦ Καίσαρος τὸ β'.

Ἐπὶ τούτων τῶν ὑπάτων νόσῳ βληθεὶς ὁ βασιλεὺς Οὐαλεντινιανὸς τελευτᾷ ἐν καστελλίῳ Βεργιτινῶν, ὢν ἐτῶν νε'.

Ἐπὶ τῶν αὐτῶν ὑπάτων Γρατιανὸς Αὔγουστος ἀνεκαλέσατο

C τὴν οἰκείαν μητέρα Μαρῖναν τὴν δέσποιναν.

Ῥωμαίων λθ' ἐβασίλευσεν Γρατιανὸς καὶ Οὐάλης καὶ Θεοδόσιος ὁ μέγας ἔτη ις'. ὁμοῦ ,εφγ'.

4. *Καρουσιαναί* V. 5. *Οὐινδαννήου* P. 6. *νέος* om. P. 7. *Ἄκυγκον* V. 11. *Μεροβάνδου* R. 16. *Βεργιτινῶνι* P sola.

A. C. [Ol. Iph.]

374. x. Ind. II. Gratiano Augusto III. et Aequitio Coss. 2.

375. XI. Ind. III. Gratiano Augusto IV. et Aequitio II. Coss. 3.

His Coss. dedicatum est Balneum Carosianae, praesente Praefecto Vindanneo Magno.

Iisdem Coss. levatus est Valentinianus Augustus, mense Dio, ex a. d. v. Kal. Decembr. in urbe Acynco.

CCLXXXIX. Olympias.

376. XII. Ind. IV. Valente Augusto V. et Valentiniano Caesare Coss. 4.

377. XIII. Ind. V. Gratiano Augusto V. et Merobaude Coss. 1. 289.

378. XIV. Ind. VI. Valente Augusto VII. et Valentiniano Caesare II. Coss. 2.

Iisdem Coss. Valentinianus Augustus morbo correptus in castello Vergitione moritur, cum esset annorum LV.

Iisdem Coss. Gratianus Augustus Marinam matrem suam Augustam revocavit.

Ἐπήρθη Θεοδόσιος Αὔγουστος ἐν Σιρμίῳ ὑπὸ Γρατιανοῦ Αὐγούστου τοῦ αὐτοῦ γυναικαδελφοῦ μηνὶ αὐδηναίῳ πρὸ ιδ' καλανδῶν φεβρουαρίων. καὶ εἰσῆλθεν ἐν Κωνσταντινουπόλει μηνὶ δίῳ πρὸ η' καλανδῶν δεκεμβρίων.

Ἰνδ. ζ'. α'. ὑπ. Αὐσονίου καὶ Ὀλυβρίου.

Ἐπὶ τούτων τῶν ὑπάτων Θεοδόσιος ὁ βασιλεὺς ἔδωκε τὰς ἐκκλησίας τοῖς ὀρθοδόξοις, πανταχοῦ ποιήσας σάκρας καὶ διώξας ἐξ αὐτῶν τοὺς λεγομένους Ἀρειανοὺς Ἐξωκιονίτας, τοὺς δὲ ναοὺς τῶν Ἑλλήνων κατέστρεψεν ἕως ἐδάφους. D

Κωνσταντῖνος ὁ ἀοίδιμος βασιλεύσας τὰ ἱερὰ μόνον ἔκλεισεν καὶ τοὺς ναοὺς τῶν Ἑλλήνων· οὗτος Θεοδόσιος καὶ κατέλυσεν, καὶ τὸ ἱερὸν Ἡλιουπόλεως τὸ τοῦ Βαλανίου τὸ μέγα καὶ περιβόητον τὸ τρίλιθον, καὶ ἐποίησεν αὐτὸ ἐκκλησίαν χριστιανῶν. ὁμοίως δὲ καὶ τὸ ἱερὸν Δαμασκοῦ ἐποίησεν ἐκκλησίαν χριστιανῶν. καὶ ηὐξήθη τὰ χριστιανῶν πλέον ἐπὶ τῆς αὐτοῦ βασιλείας.

σϟ' Ὀλυμπιάς. P 304

Ἰνδ. η'. β'. ὑπ. Γρατιανοῦ Αὐγούστου τὸ ς' καὶ Θεοδοσίου Αὐγούστου.

2. *Αὐγούστου* om. P. 4. *η'*] *ιδ'* P sola. 8. *Ἀρειανοὺς*] *ἀριθμοὺς* R. 9. *τῶν* om. P. 11. *οὗτος ὁ Θ.* P. 12. *Ἡλιοπόλεως* R. *ib. Βαλανίου*] *Βάλ* (*Βαάλ*) *Ἡλίου* J. J. M. M. (Marklandus) in Obs. Misc. vol. II. p. 1. p. 174. 13. *τὸ* Malalas p. 344. 21. *καὶ τὸ* P.

A. C. [Ol. Iph.] Anni a m. c.

Romanis XXXIX. imperavit Gratianus, cum Valente et Theodosio Magno, ann. XVI. Colliguntur anni V. MDCCCCIII. 5902.

Theodosius levatus est Augustus in Sirmio ab Gratiano, uxoris fratre, mense Audynaeo, ex a. d. XIV. Kal. Febr. et Constantinopolim ingressus est, mense Dio, ex a. d. VIII. Kal. Decembres.

379. I. Ind. VII. Ausonio et Olybrio Coss. 3.

Hisce Coss. Theodosius Imperator Ecclesias orthodoxis tradidit, emissis ubique Sacris jussionibus, expulitque Arianos, Exocionitas dictos. Fana vero Gentilium ab fundamentis destruxit.

Inclitus Constantinus, dum imperaret, Paganorum delubra duntaxat clausit: hic vero Theodosius etiam evertit. Urbis Heliopolitanae Balanii templum ingens et celeberrimum, ex marmore trilitho constructum, Christianorum Ecclesiam fecit: parique modo Damasci fanum Christianis tradidit, auctumque est impensius Christianorum nomen, imperante Theodosio.

CCXC. Olympias.

380. II. Ind. VIII. Gratiano Augusto VI. et Theodosio Augusto Coss. 4.

R 706 Ἐπὶ τούτων τῶν ὑπάτων Γρατιανὸς Αὔγουστος, υἱὸς Οὐαλεντινιανοῦ τοῦ μεγάλου, πονέσας τὸν σπλῆνα ἔμεινεν ἐπὶ πολὺν χρόνον νοσηλευόμενος, καὶ ἐν τῷ ἀνέρχεσθαι αὐτὸν εἰς τὸ Ἱππικὸν Κωνσταντινουπόλεως θεωρῆσαι διὰ τοῦ Κοχλίου κατὰ τὴν θύραν τοῦ λεγομένου Δεκίμου παρεσκεύασεν αὐτὸν Ἰουστῖνα ἡ μητρυιὰ αὐτοῦ ὡς χριστιανὸν ὄντα σφαγῆναι· ἦν γὰρ ἐκείνη Ἀρειανή.

B Ἰνδ. θ'. γ'. ὑπ. Συαγρίου καὶ Εὐχερίου.

Τῷ τριακοσιοστῷ πεντηκοστῷ πρώτῳ ἔτει τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου συνηθροίσθη σύνοδος ἁγίων καὶ μακαρίων πατέρων ρν' ἐν Κωνσταντινουπόλει. καὶ αὐτοὶ τὸ τῆς ὀρθοδοξίας ἐκραταίωσαν σύμβολον, καταβαλόντες Μακεδόνιον, καὶ αὐτὸν ὁμοίως ἀρειοθολωθέντα τὴν διάνοιαν, ὃς τῆς τοῦ ἁγίου πνεύματος τῷ πατρὶ καὶ τῷ υἱῷ συναϊδιότητος τὸ ἀκατάληπτον καὶ ἀόρατον κτιστὸν ὑπὸ χρόνον τάττειν ὁ δυσσεβὴς οὐ κατενάρχησεν.

V 243 Ἰνδ. ι'. δ'. ὑπ. Ἀντωνίνου καὶ Συαγρίου τὸ β'.

Ἰνδ. ια'. ε'. ὑπ. Μεροβαύδου καὶ Σατορνίνου.

C Ἐπὶ τούτων τῶν ὑπάτων Ἀρκάδιος Αὔγουστος ἐν Κωνσταντινουπόλει ἐν τῷ τριβουναλίῳ τοῦ Ἑβδόμου ὑπὸ τοῦ πατρὸς

12. καταλαβόντες R, alterum in m. ponens. *ib.* τὸν Μακεδόνιον P. 13. ἀρείῳ θολενθέντα m. R, Ἀρειωθολωθέντα PV. *ib.* ὃς om. V, addidit Raderus. 18. Μεροβούλου m. R, Μερωβάνδου R.

Anni a m. c. A. C. [Ol. Iph.]

His Coss. Gratianus Augustus, Valentiniani Magni filius, splenis doloribus laborans, plurimo tempore aeger perstitit: quem quidem, dum in Circum Constantinopolitanum, spectaculorum inspiciendorum gratia, per Cochleam conscenderet, versus portam, quam Decimi vocant, Justina noverca, ut pote Catholicum, per insidias occidi curavit, cum ipsa esset Ariana.

5889. 381. III. Ind. IX. Syagrio et Eucherio Coss. 1. 290.

Trecentesimo quinquagesimo primo anno Christi in coelum Assumpti, coacta est Synodus Constantinopoli CL. beatorum Patrum. Atque ii Orthodoxiae Symbolum confirmarunt, damnato Macedonio, qui mente sua Ariana haeresi infecta, incomprehensum et invisibilem Spiritum sanctum cum Patre et filio coaeternum in tempore creatum, impie non dubitavit asserere.

382. IV. Ind. X. Antonino et Syagrio II. Coss. 2.

383. V. Ind. XI. Merobaude et Saturnino Coss. 3.

His Coss. Arcadius Constantinopoli a patre suo Theodosio Augusto in Tribunali Hebdomi renuntiatus est Augustus, mense Audinaeo, ex a. d. XIII. Kalend. Februarias.

αὐτοῦ Θεοδοσίου τοῦ Αὐγούστου ἀνηγορεύθη μηνὶ αὐδυναίῳ πρὸ ιδ' καλανδῶν φεβρουαρίων.

Καὶ αὐτῷ τῷ ἔτει εἰσῆλθεν τὸ σκήνωμα Κωνσταντίας τῆς θυγατρὸς Κωνσταντίνου Αὐγούστου ἐν Κωνσταντινουπόλει μηνὶ γορπιαίῳ πρὸ μιᾶς καλανδῶν σεπτεμβρίων, καὶ κατετέθη μηνὶ ἀπελλαίῳ καλανδαῖς δεκεμβρίαις.

σλϛ' Ὀλυμπιάς.

Ἰνδ. ιβ'. ξ'. ὑπ. Ῥηχομήρου καὶ Κλεάρχου.

dum, et Sanctum Cyrillum, et duodecim ejus capitula, in quibus sceleratis conscriptis idem Theodoretus affectualem dicit unitatem Dei Verbi ad hominem quemdam, de quo blasphemans dixit, quod palpavit Thomas eum qui resurrexit, et adoravit eum qui resuscitavit; et propter hoc impios vocat Doctores Ecclesiae, qui unitatem secundum subsistentiam Dei Verbi ad carnem confitentur. Et super haec Dei Genitricem abnegat sanctam et gloriosam semper Virginem Mariam. Si quis igitur memorata conscripta Theodoreti defendit, et non anathematizat ea, talis anathema sit. Propter tales enim blasphemias ab episcopatu dejectus est, et postea in sancto Calchedonensi Concilio compulsus est omnia contraria memoratis suis conscriptis facere, et rectam fidem confiteri."

„Si quis defendit impiam epistolam, quam ad Marim Persam haereticum Ibas scripsisse dicitur, quae abnegat Deum Verbum hominem factum esse, et dicit non Deum Verbum ex Virgine incarnatum, natum esse, sed purum hominem ex ipsa esse natum, quem Templum vocat, ut alius sit Deus Verbum, et alius homo: et super haec injuriat Ephesinam primam Synodum, quasi sine inquisitione et examinatione ab ipsa Nestorio condemnato, et sanctum Cyrillum vocat haereticum, et duodecim

ἁγίοις Κύριλλον αἱρετικὸν ἀποκαλούσης καὶ ἀσεβῆ τὰ ιβ' αὐτοῦ κεφάλαια, Νεστόριον δὲ καὶ Θεόδωρον μετὰ τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων ἐπαινούσης καὶ ἐκδικούσης· εἴ τις τοίνυν, καθὰ εἴρηται, τὴν εἰρημένην ἀσεβῆ ἐπιστολὴν ἐκδικεῖ ἢ ὀρθὴν αὐτὴν εἶναι λέγει ἢ μέρος αὐτῆς, ἀλλὰ μὴ ἀναθεματίζει αὐτήν, ἀνάθεμα ἔστω.

Τῆς τοιαύτης τοίνυν ἐπιστολῆς δικαίως ἀναθεματισθείσης διὰ τὰς περιεχομένας αὐτῇ βλασφημίας, οἱ τὰ Θεοδώρου καὶ C
Νεστορίου τῶν ἀσεβῶν φρονοῦντες ἐπιχειροῦσι λέγειν ταύτην δεδέχθαι παρὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου. τοῦτο δὲ λέγουσι τὴν μὲν ἁγίαν σύνοδον συκοφαντοῦντες, τῷ δὲ ταύτης προσχήματι σπουδάζοντες τῆς ὀφειλομένης κατακρίσεως ἐλευθερῶσαι R 832
Θεύδωρον καὶ Νεστόριον καὶ τὴν ἀσεβῆ ἐπιστολήν, περὶ ἧς Ἴβας πολλάκις κατηγορηθεὶς οὐκ ἐτόλμησε ταύτην οἰκειώσασθαι διὰ τὰς περιεχομένας αὐτῇ βλασφημίας. καὶ ταῦτα ἀποδείξομεν ἐκ τῶν διαφόρως περὶ τούτου κεκινημένων. ἐν γὰρ τοῖς παρὰ Φω- V 289
τίου καὶ Εὐσταθίου πεπραγμένοις ἐν Τύρῳ κατηγορούμενος ὁ προλεχθεὶς Ἴβας περὶ τῶν ὕβρεων τοῦ ἐν ἁγίοις Κυρίλλου φανερῶς κατέθετο μετὰ τὴν ἕνωσιν τῶν ἀνατολικῶν τὴν πρὸς τὸν ἐν D
ἁγίοις Κύριλλον μηδὲν ὕβρεως ἐχόμενον εἰρηκέναι περὶ αὐτοῦ. ἡ δὲ ἐπιστολὴ ἡ πεπληρωμένη τῶν εἰρημένων βλασφημιῶν, ἐφ' αἷς κατηγορεῖτο Ἴβας, πολλὰς κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου

2. δὲ om. P. 8. περιεχομένας (ἐν) P sola. ib. οἱ τὰ] οἷα PV.
21. ἡ om. P. 22. κατηγορεῖτο m. R, κατηγορεῖται PV.

ejus capitula impia dicit, Nestorium autem et Theodorum cum impiis eorum conscriptis collaudat et defendit. Si quis igitur, sicut dictum est, eamdem ipsam epistolam vindicat, vel rectam esse dicit ipsam, vel partem ipsius, sed non anathematizat eam, anathema sit."

conlaudat. *sic alibi.*

„Tali ergo impia epistola juste anathematizata propter insertas ei blasphemias, Theodori et Nestorii impiorum sequaces conantur dicere, susceptam esse eam a sancto Calchedonensi Concilio. Hoc autem dicunt, sanctam quidem Calchedonensem Synodum calumniantes, nomine autem ejus festinantes debita condemnatione liberare Theodorum, et Nestorium, et impiam epistolam, pro qua Ibas saepius accusatus, non est ausus eam suam dicere propter insertas ei blasphemias. Et haec demonstrabimus ex his, quae diverse de ista causa mota sunt. In his enim quae apud Photium et Eustathium Tyri acta sunt, cum accusaretur praedictus Ibas de injuriis Sancti Cyrilli, manifeste confessus est, post unitatem orientalium, quae ad sanctae memoriae Cyrillum facta est, nihil injuriosum de eo dixisse. Epistola autem plena praedictis blasphemiis, pro quibus accusabatur Ibas, multas contra Sanctum Cyrillum injurias continens, facta

ὕβρεις περιέχουσα παρίστησιν ὅτι μετὰ τὴν ἕνωσιν τὴν πρὸς τοὺς ἀνατολικοὺς γέγονεν· ἐξ οὗ δείκνυται Ἴβας ταύτην ἀπαρνησάμενος. ὅθεν οἱ μνημονευθέντες Φώτιος καὶ Εὐστάθιος διὰ τὴν τῶν ἐγκαλούντων πληροφορίαν ἐγγράφως διετύπωσαν τὸν εἰρημένον Ἴβαν πάντα τὰ ἐναντία τῇ ἐπιστολῇ πρᾶξαι, καθὼς ἡ περὶ τούτου δοθεῖσα παρ' αὐτῶν ἐπίκρισις δείκνυσιν. ἀλλὰ μὴ πληρώ-
P 363 σας Ἴβας τὰ παρ' ἐκείνων ἐπικριθέντα ἐξεβλήθη τῆς ἐπισκοπῆς διὰ τὰς βλασφημίας τῆς εἰρημένης ἐπιστολῆς, καὶ Νόννος ἀντ' αὐτοῦ ἐχειροτονήθη, ὃς καὶ συνεκαθέσθη τῇ ἁγίᾳ ἐν Χαλκηδόνι συνόδῳ.

Περὶ τῶν αὐτῶν τοίνυν καὶ ἐν Χαλκηδόνι κατηγορηθεὶς ὁ μνημονευθεὶς Ἴβας μετὰ τὴν ἀνάγνωσιν τῆς ἀσεβοῦς ἐπιστολῆς οὐκ ἐτόλμησε ταύτην οἰκειώσασθαι, ἀλλ' εὐθὺς αὐταῖς λέξεσιν ἐπήγαγεν ὅτι Ἀλλότριός εἰμι τῶν ἐπαγομένων μοι. ὅθεν ἡ ἁγία σύνοδος, μὴ ἀρκεσθεῖσα τῇ ἀρνήσει Ἴβα τῇ ἐπὶ τῇ ἀσεβεῖ ἐπιστολῇ, συνώθησεν αὐτὸν τἀναντία ταύτῃ πρᾶξαι. τουτέστιν τὴν ἐν αὐ-
B τῇ ἀθετουμένην ὀρθὴν πίστιν ὁμολογῆσαι καὶ τὴν ἐν Ἐφέσῳ πρώτην ἁγίαν σύνοδον δέξασθαι καὶ τὸν ἐν ἁγίοις Κύριλλον πατέρα καὶ διδάσκαλον ἐπιγράψασθαι τὰ ἐν τῇ αὐτῇ ἀσεβεῖ ἐπιστολῇ ὑβριζόμενα καὶ Νεστόριον καὶ τὸ ἀσεβὲς αὐτοῦ δόγμα ἀναθεματίσαι, ὅπερ ἡ ἀσεβὴς ἐπιστολὴ ἐπαινεῖ καὶ ἐκδικεῖ.

Εἰ τοίνυν καὶ αὐτὸς Ἴβας διαφόρως κατηγορηθεὶς περὶ τῆς ἀσεβοῦς ἐπιστολῆς οὐκ ἐτόλμησεν αὐτὴν οἰκειώσασθαι, ἀλλὰ

8. καὶ de meo addidi. 21. ὅπερ m. R, ἅπερ PV.

esse ostenditur post unitatem ad orientales factam, ex quo demonstratur Ibas eam abnegasse. Unde praedicti Photius et Eustathius satisfacientes accusatoribus, in scriptis definierunt, praedictum Ibam omnia contraria epistolae peragere, sicut judicium ab eis de hoc datum significat. Sed cum Ibas non adimplesset ea quae illi judicaverunt, ejectus est ab
et *Delent* Episcopatu propter blasphemias praedictae epistolae, et Nonnus pro illo
Cod. et ordinatus est, qui et consedit in sancto Calchedonensi Concilio."
Leuncl. „De eisdem igitur etiam Calchedone accusatus memoratus Ibas, post lectionem impiae epistolae non est ausus eam suam esse confiteri, sed statim ipsis verbis intulit, alienum se esse eorum quae ei inferebantur. Unde sancta Synodus, cum ei non sufficeret abnegatio Ibae, quae facta est de impia epistola, compulit eum contraria ei peragere, id est, reprobatam in ea rectam fidem confiteri, et Ephesinam primam sanctam Synodum suscipere, et Sanctum Cyrillum Patrem et Doctorem adscribere, quae in eadem impia epistola injuriantur, et Nestorium, impiumque ejus
et *Del. Cod.* dogma anathematizare, quae et impia epistola defendit et collaudat."
et Leuncl. „Si igitur et ipse Ibas propter impiam epistolam saepius accusatus, non est ausus eam suam dicere, sed etiam Calchedonense sanctum Con-

καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος πάντα τὰ ἐναντία ταύτης παρεσκεύασεν αὐτὸν πρᾶξαι, πῶς εἶχεν ἡ αὐτὴ ἁγία σύνοδος τὴν εἰρημένην ἐπιστολὴν δέξασθαι καὶ τῷ κρίματι τῆς περιεχομένης αὐτῇ ἀσεβείας ὑποπεσεῖν, ἀφ' ἧς Ἴβαν ἐλευθερῶσαι ἐσπούδασεν; R 834 C

Ἐπειδὴ δὲ πάσας ὑπερβαίνοντες τὰς περιεχομένας τῇ ἐπιστολῇ βλασφημίας οἱ αἱρετικοὶ τοῦτο μόνον ἐξ αὐτῆς προφέρουσι τὸ πρὸς ἀπάτην τῶν ἁπλουστέρων παρὰ τοῦ τὴν ἐπιστολὴν γράψαντος εἰρημένον, τοῦτ' ἔστιν δύο φύσεις, μίαν δύναμιν, ἓν πρόσωπον, ἀποδείξομεν αὐτὸν καὶ ἐν τούτῳ τὴν ἰδίαν ἀσέβειαν παραμιγνύντα. τίνος γὰρ ἂν καὶ λέγοι δύο φύσεις καὶ ἓν πρόσωπον ὁ ἀπαρνούμενος τὸν θεὸν λόγον σαρκωθῆναι ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τεχθῆναι ἐξ αὐτῆς; ἀλλὰ πρόδηλον ὡς ἑκάστῃ φύσει ἴδιον πρόσωπον ἀπονέμει, καθὼς Θεόδωρος καὶ Νεστόριος ἐν τοῖς οἰκείοις λόγοις βλασφημοῦντες ἐξέθεντο· οὓς καὶ ἐκδικεῖ ὁ γράψας τὴν ἐπιστολὴν μετὰ τῆς αὐτῶν ἀσεβείας. ἐκεῖνοι γὰρ φανερῶς λέγουσι δύο πρόσωπα τοῦ θεοῦ λόγου καὶ τοῦ Χριστοῦ, ὃν ψιλὸν ἄνθρωπον ἀποκαλοῦσι κατὰ σχετικὴν συνάφειαν, καὶ τὴν αὐτὴν ἀξίαν τε καὶ τιμὴν ἓν πρόσωπον ἀναφαίνεσθαι λέγουσιν. ἀλλὰ καὶ τῶν δύο φύσεων μίαν δύναμιν ἤτοι δυναστείαν λέγων ὁ γράψας τὴν ἐπιστολὴν φανερός ἐστιν ὡς καὶ ἐν τούτῳ ἀκολουθεῖ τοῖς εἰρημένοις αἱρετικοῖς, Θεοδώρῳ μὲν λέγοντι ἐν τοῖς περὶ ἐνανθρωπήσεως V 290 D

2. ἁγία] ἡ ἁγία P sola. 10. λέγει PV. 13. ἀλλὰ πρόδηλον om. P. 15. οὓς δὲ καὶ P. 19. ἀναφέρεσθαι P, ἀναφαίνεσθαι V, m. R. 21. φανερῶς PV. 22. ἀνθρωπήσεως P.

cilium omnia ei contraria compulit eum peragere: quomodo eadem sancta synodus memoratam epistolam susciperet, et condemnationi impietatis quae in ea continetur, sese subjiceret, a qua Ibam liberare festinavit?"

„Quoniam autem omnes blasphemias epistolae praetermittentes haeretici, hoc solum ex ipsa proferunt, quod ad decipiendos simpliciores scriptor epistolae dixit, hoc est, duas naturas, unam virtutem, unam personam; demonstrabimus quod ipse etiam in hoc suam commiscuit impietatem. Cujus enim *diceret duas naturas et unam personam, qui abnegat Deum Verbum incarnatum de sancta et gloriosa Dei Genitrice et semper Virgine Maria, et natum esse ex ipsa? Sed certum est, quod unicuique naturae suam personam attribuit, sicut Theodorus et Nestorius in suis libris blasphemantes exposuerunt, quos defendit scriptor epistolae cum eorum impietate. Illi enim aperte dicentes duas personas Dei Verbi, et Christi, quem purum hominem vocant, per affectualem conjunctionem, et per eamdem dignitatem et honorem unam personam apparere dicunt: sed et duarum naturarum unam virtutem sive potentiam dicens scriptor epistolae, manifestus est quod et in hoc memoratos haereticos sequitur, Theodorum quidem dicentem in diversis libris de Incarnatione impie ex-

demonstramus ipsum quod et *Leuncl.* et demonstramus. in. dicit. *ita et Leuncl.* quod ipsum

P 364 αὐτοῦ διαφόροις λόγοις ἀσεβῶς ἐκτεθεῖσιν, Νεστορίῳ δὲ ἐν πολλοῖς συγγράμμασι, μάλιστα δὲ ἐν τῇ ἐπιστολῇ τῇ γραφείσῃ πρὸς Ἀλέξανδρον τὸν αἱρετικὸν Ἱεραπολίτην, ὅτι τῶν δύο φύσεων μία ἐστὶν αὐθεντία καὶ μία δύναμις ἤτοι δυναστεία καὶ ἓν πρόσωπον κατὰ μίαν ἀξίαν καὶ τὴν αὐτὴν τιμήν. ἀφ' ὧν ἀποδείκνυται ὁ τὴν ἐπιστολὴν γράψας κατὰ τὴν ἐκείνων κακοδοξίαν ἀντὶ προσώπων τῇ τῶν φύσεων προσηγορίᾳ χρησάμενος. μία γὰρ αὐθεντία καὶ μία δύναμις ἤτοι δυναστεία καὶ μία ἀξία καὶ ἡ αὐτὴ τιμὴ οὐκ ἐπὶ διαφόρων φύσεων, ἀλλ' ἐπὶ διαφόρων προσώπων καὶ
B τῆς αὐτῆς οὐσίας λέγεται, ὅπερ ἐπὶ τῆς ἁγίας τριάδος ὁμολογοῦ-
R 836 μεν. ὅθεν καὶ οἱ ἅγιοι πατέρες ἀνεθεμάτισαν τοὺς κατ' αὐθεντίαν ἢ δύναμιν ἤτοι δυναστείαν ἢ ἀξίαν ἢ ἰσοτίμως λέγοντας τὸν θεὸν λόγον τῷ Χριστῷ ἑνῶσθαι, ὃν ψιλὸν ἄνθρωπον οἱ ἀπὸ Θεοδώρου καὶ Νεστορίου καλοῦσιν, ἀλλ' οὐχὶ καθ' ὑπόστασιν τὴν τοῦ λόγου πρὸς τὴν σάρκα, ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ, τὴν ἕνωσιν γεγενῆσθαι ὁμολογοῦντας.

Καὶ ἤρκει μὲν ταῦτα πρὸς τὸ διελέγξαι τὴν ἀσέβειαν τῶν ἐκδικούντων τὴν μυσαρὰν ἐκείνην ἐπιστολήν. πλὴν ὅμως καὶ πρὸς τῷ τέλει τῆς αὐτῆς ἐπιστολῆς ὁ ταύτην γράψας τὴν ἰδίαν
C δείκνυσι κακοδοξίαν, λέγων ὅτι δεῖ πιστεύειν εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ· ἐν οἷς φανερῶς δύο εἰσάγει

3. αἱρετικὸν καὶ Ἱεραπολίτην P. 11. ἀναθεμάτισαν P. 15. ἐμψυχομένην P. 16. ἕνωσιν] γένεσιν V. 19. αὐτῆς ἐπιστολῆς] ἐπιστολῆς αὐτῆς P. 21. οἰκοῦντα P.

positis, Nestorium autem in multis quidem scriptis, et maxime in epistola scripta ad Alexandrum Hierapolitanum haereticum, quod duarum naturarum una est auctoritas, et una virtus, sive potentia, et una persona per dignitatem eumdemque honorem: ex quo ostenditur, qui scripsit epistolam, secundum illorum perfidiam pro personis usus vocabulo naturarum. Una enim auctoritas, et una virtus sive potentia, et una dignitas et idem honor, non in diversis naturis, sed in diversis personis ejusdem substantiae dicitur, quod in sancta Trinitate confitemur. Unde et sancti Patres anathematizaverunt eos, qui per auctoritatem, aut virtutem, sive potentiam, aut dignitatem, aut aequalitatem honoris, dicunt Deum Verbum unitum esse Christo; quem purum hominem vocant Theodori et Nestorii sequaces, sed non secundum subsistentiam Dei Verbi ad carnem rationabili animatam anima rationali et intellectuali, unitatem factam esse confitentur."

„Et haec quidem sufficiebant ad convincendam impietatem eorum, qui sceleratam epistolam vindicant. Tamen et in fine scriptor ejusdem epistolae ostendit suam perfidiam, dicendo quod oportet credere in Templum, et in eum qui habitat in Templo: per quae aperte duas introdu-

πρόσωπα. ἀλλὰ καὶ ταύτην τὴν ἀσέβειαν ὁ γράψας τὴν ἐπιστολὴν παρὰ Θεοδώρου καὶ Νεστορίου ἐδιδάχθη. ἡ μέντοι καθολικὴ ἐκκλησία τὴν τοιαύτην κακοδοξίαν κατακρίνουσα οὐχὶ εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ, ἀλλ' εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα ὁμολογεῖν καὶ πιστεύειν παραδίδωσιν. οὐδὲν δὲ θαυμαστὸν εἰ τῇ τῶν φύσεων ὀνομασίᾳ ἐχρήσατο ὁ τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν γράψας· ἔθος γὰρ τοῖς αἱρετικοῖς πρὸς ἀπάτην τῶν ἁπλουστέρων ταῖς παρὰ τῶν ὀρθοδόξων εὐσεβῶς λεγομέναις φωναῖς κεχρῆσθαι καὶ τὴν εὐσεβῆ τοίτων ἔννοιάν τε καὶ ἐξήγησιν πρὸς τὴν οἰκείαν μεταφέρειν ἀσέβειαν, ἐπειδὴ ἔστιν ὅτε αἱ αὐταὶ φωναὶ καλῶς μὲν ἐξηγούμεναι καὶ νοούμεναι μετὰ τῆς εὐσεβείας εἰσί, κακῶς δὲ παρὰ τῶν αἱρετικῶν ἑρμηνευόμεναι καὶ προφερόμεναι τὸ ἀσεβὲς ἔχουσιν. D

Ἀμέλει Νεστόριον εἰπόντα μὲν δύο φύσεις καὶ ἓν πρόσωπον, μὴ ὁμολογοῦντα δὲ τούτων τὴν καθ' ὑπόστασιν ἕνωσιν, ἡ ἐν Ἐφέσῳ πρώτη ἁγία σύνοδος, ἧς ἐξῆρχον Καιλεστῖνος καὶ Κύριλλος οἱ ἐν ὁσίᾳ τῇ μνήμῃ, οὐ προσεδέξατο, ἀλλὰ καὶ κατεδίκασεν. ἡμεῖς δὲ τῇ τῶν ἁγίων πατέρων διδασκαλίᾳ διὰ πάντων ἀκολουθοῦντες, καὶ τὴν τῶν δύο φύσεων ἕνωσιν, ἐξ ὧν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, ὁ εἷς τῆς ἁγίας τριάδος, ὁ θεὸς λόγος P 365

4. οἰκοῦντα P. 5. τοῦ om. P. 16. αὐτῶν P. 18. οὐ om. P. *ib.* προσεδέξαντο — κατεδίκασαν PV. 21. ὁ primum om. P.

cit personas. Sed et istam impietatem a Theodoro et Nestorio scriptor epistolae edoctus est. Catholica autem Ecclesia talem condemnans perfidiam, non in Templum, et in eum qui habitat in Templo, sed in unum Dominum nostrum Jesum Christum, Dei Verbum incarnatum et hominem factum confiteri et credere tradit. Nihil autem mirandum est, si vocabulo naturarum usus est scriptor illius impiae epistolae. Solent enim haeretici, ut simpliciores decipiant, vocibus quidem uti quae ab orthodoxis pie dicuntur, rectum autem earum intellectum et expositionem ad suam impietatem transferre, quoniam autem eaedem voces, quando benexponuntur et intelliguntur, cum pietate sunt; quando autem male abhaereticis intelliguntur et proferuntur, impietatem habent."

confitetur. *et Leuncl.* deciperent. *et Leuncl.* quoniam est quando eaedem, etc. interpretantur et proferuntur,

„Itaque Nestorium duas quidem naturas et unam personam dicentem, non confitentem autem earum unitatem secundum subsistentiam, Ephesina prima Synodus, cujus auctores erant Caelestinus et Cyrillus sanctae memoriae, non suscepit, sed condemnavit. Nos autem sanctorum Patrum doctrinam per omnia sequentes, et unitatem duarum naturarum, ex quibus Dominus noster Jesus Christus unus sanctae Trinitatis, Deus

σαρκωθείς, συνετέθη, καὶ τὴν τούτων διαφορὰν οὐκ ἀνῃρημένην διὰ τὴν ἕνωσιν, ὡς ἀνωτέρω σαφέστερον ἀπεδείξαμεν.

R 838 Καὶ ἤρκει μὲν τὰ παρ' ἡμῶν εἰρημένα πληροφορῆσαι τοὺς μὴ βουλομένους φιλονεικεῖν· ἀλλ' ἐπειδὴ πρὸς ἀσέβειαν ἅπαξ ἐκκλίναντες καὶ ἑτέροις ἐπιχειροῦσιν, ἀναγκαίως ἡμεῖς καὶ τὰς
B τοιαύτας αὐτῶν προφάσεις ματαίας ἀποδείξομεν. φασὶ γὰρ μὴ
V 291 δεῖν ὑπὸ μέμψιν γενέσθαι τὴν ἀσεβῆ ἐπιστολὴν διὰ τὸ φέρεσθαι ἔν τισι βιβλίοις. ἀλλ' εἰ τοῦτό τις κατὰ τὴν αὐτῶν ἄνοιαν προσδέξηται, δεῖ καὶ Εὐτυχέα καὶ Νεστόριον δέχεσθαι, ἐπειδὴ πολλὰ καὶ περὶ τούτων τοῖς ἐν τῇ συνόδῳ πεπραγμένοις ἐμφέρεται· ἀλλ' οὐδεὶς τῶν εὖ φρονούντων τοῖς παρ' αὐτῶν λεγομένοις προσέξει τὸν νοῦν. τὰ γὰρ περὶ τῶν αἱρετικῶν ἐν ταῖς συνόδοις προφερόμενα καὶ μέρος τῶν ὑπομνημάτων γινόμενα οὐκ ἐπὶ τῷ ἐλευθερωθῆναι, ἀλλ' εἰς ἔλεγχον αὐτῶν καὶ ἐπὶ μείζονι κατακρίσει αὐτῶν τε καὶ τῶν τὰ ὅμοια τούτοις φρονούντων παραλαμβάνεται.

C Εἰ καὶ ὅτι τὰ τῆς ἀσεβοῦς ἐπιστολῆς φερόμενα ὑπομνήματα ἔν τισι μὲν βιβλίοις, ὡς εἴρηται, ἐντέτακται, ἐν δὲ τοῖς αὐθεντικοῖς, ἐν οἷς ὑπέγραψαν οἱ ὁσιώτατοι ἐπίσκοποι, οὐδαμῶς ηὕρηται, πλὴν κἀκείνῳ δεῖ προσέχειν τοὺς τὴν ἀλήθειαν ἐρευνῶντας, ὅτι πολλάκις τινὰ ἐν ταῖς συνόδοις παρά τινων ἐν αὐτοῖς εὑρισκομένων λέγεται ἢ κατὰ προσπάθειαν ἢ κατ' ἐναντίωσιν ἢ κατὰ

12. τοῖς PV. 16. Εἰ καὶ] Δεῖ δὲ P. 19. δεῖ] δὲ PV.

Verbum incarnatus, compositus est, et quod earum differentia non interempta est propter unitatem, in superioribus apertius demonstravimus."

„Et sufficiebant quidem quae praediximus, satisfacere eis qui nolunt contendere. Sed quoniam illi, qui semel ad impietatem declinaverunt, et alia proponere conantur, necessario nos et tales eorum occasiones vanas ostendemus. Dicunt enim non oportere vituperare impiam epistolam, eo quod in aliquantis fertur codicibus. Sed si hoc aliquis secundum eorum dementiam sufficiat, oportet et Nestorium et Eutychem suscipi, quoniam plurima et de his in gestis continentur quae apud Synodum acta sunt. Sed nemo sapiens dictis eorum animum intendet. Quae enim de haereticis proferuntur in Synodis et pars gestorum fiunt, non ad liberationem inseruntur, sed ad majorem condemnationem eorum, et qui eis similia sapiunt. Quamvis autem exemplaria impiae epistolae quae circumferuntur, in aliquibus codicibus, ut dictum est, inserta sint, tamen in authenticis in quibus sanctissimi Episcopi subscripserunt, nullatenus inveniuntur."

codicibus fertur.

Quamvis, etc. *desunt in Cod. et apud Leuncl.*

„Oportet autem etiam illud attendere eos qui veritatem perscrutantur, quod forsitan in Conciliis quaedam a certis ibi convenientibus dicuntur, aut per favorem, aut per contrarietatem, aut per ignorantiam.

ἄγνοιαν. οὐδεὶς δὲ προσέχει τοῖς κατὰ μέρος παρά τινων λεγομένοις, ἀλλὰ μόνοις τοῖς κατὰ κοινὴν συναίνεσιν παρὰ πάντων ὁριζομένοις. εἰ γὰρ κατ' ἐκείνους βουληθείη τις προσέχειν ταῖς τοιαύταις ἐναντιώσεσιν, ἑκάστη σύνοδος εὑρίσκεται ἑαυτὴν ἀνα- D
τρέπουσα.

Διὰ ταῦτα τοίνυν ἔδει αὐτούς, εἴπερ ὀρθῶς ἐδέχοντο τὴν ἁγίαν σύνοδον, μὴ τοιαύτας αὐτῇ μέμψεις περιάπτειν, ἀλλὰ ἀκολουθῆσαι τοῖς διδασκάλοις τῆς καθολικῆς ἐκκλησίας, καὶ μάλιστα τοῖς ἐν ἁγίοις Ἀθανασίῳ τῷ γενομένῳ τῆς Ἀλεξανδρέων ἐπισκόπῳ καὶ πολλοὺς καὶ μεγάλους ἀγῶνας ἀναδεξαμένῳ ὑπὲρ τῆς ὀρθῆς τῶν χριστιανῶν πίστεως κατὰ πάσης αἱρέσεως, καὶ μάλιστα τῶν ἀσεβεστάτων Ἀρειανῶν. τῶν γὰρ αὐτῶν Ἀρειανῶν πρὸς ἀπάτην τῶν λαῶν εἰς τὴν ἑαυτῶν μερίδα ἐπισπωμένων Διονύσιον, πρὸ πολλῶν ἐτῶν τοῦ ἐν ἁγίοις Ἀθανασίου τῆς Ἀλεξαν- P 366
δρέων γενόμενον ἐπίσκοπον, καὶ λεγόντων ὡς καὶ αὐτὸς Διονύσιος τὰ ὅμοια αὐτοῖς ἐφρόνησεν, Ἀθανάσιος ὁ μέγας τῆς ἐκκλη- R 840
σίας διδάσκαλος πολλοῖς τρόποις ἐγγράφως ἀπέδειξεν τὴν ὀρθὴν πίστιν Διονύσιον ἐξ ἀρχῆς κηρῦξαι καὶ μηδαμῶς ἐπικοινωνῆσαι τῇ τῶν Ἀρειανῶν ἀσεβείᾳ. οὗτοι δὲ τὰ τῶν αἱρετικῶν φρονοῦντες εἰς τὴν οἰκείαν ἀσέβειαν ταύτῃ περιάπτειν σπουδάζουσιν. ὁποῖον δέ ἐστι κατάκριμα καὶ ποία ἐπίκειται ἀρὰ τοῖς εἰς πατέρας ἁμαρτάνουσιν διδάσκει ἡμᾶς καὶ ἡ θεία γραφή. εἰ γὰρ Χὰμ ὁ

11. ὀρθῆς om. P. 18. κηρύξας P. 19. τὰ om. P. 20. ἀσέβειαν om. P. 22. καὶ om. P.

Nemo autem attendit ea quae per partem a quibusdam dicuntur: sed sola illa, quae ab omnibus communi consensu definiuntur. Si enim aliquis secundum illos voluerit attendere ejusmodi contrarietates, unaquaeque Synodus invenietur semetipsam destruens."

„Propter haec igitur oportebat eos, si sanctum Concilium recte susciperent, non tales blasphemias ei applicare, sed sequi Doctores Catholicae Ecclesiae, et maxime sanctum Athanasium, qui fuit Alexandriae Episcopus, et plurimos et magnos labores suscepit pro recta Christianorum fide adversus omnem haeresiu, et maxime contra impiissimos Arianos. Ipsis enim Arianis ad decipiendos populos suo errori conjungentibus Dionysium, qui ante multos annos Athanasii fuit Alexandriae Episcopus, et dicentibus quod et ipse Dionysius similia eis sapuit, Athanasius magnus Ecclesiae Doctor multis modis ostendit in scriptis, rectam fidem Dionysium ab initio praedicasse, nulloque modo participem Arianae impietatis fuisse. Isti autem haeretica sapientes, suam impietatem eidem Synodo applicare festinant. Qualis autem est condemnatio, et qualis imminet maledictio eis qui in patres peccant, docet nos et divina Scriptura. Si enim Cham filius Noe cum vidisset nudum suum patrem, quo-

υἱὸς τοῦ Νῶε θεασάμενος γυμνὸν τὸν ἴδιον πατέρα, καὶ μὴ καλύ-
B ψας τὴν τοῦ πατρὸς σωματικὴν γύμνωσιν, ἐξελθὼν ἀπήγγειλε
ταύτην τοῖς ἀδελφοῖς, καὶ ἐκεῖνοι ἱματίῳ ταύτην περιεσκέπασαν,
αὐτὸς δὲ Χὰμ καὶ οἱ ἐξ αὐτοῦ γεννηθέντες ὑπὸ κατάραν γεγόνα-
σιν, οἱ δὲ σκεπάσαντες εὐλογίας μεγάλης ἠξιώθησαν, πολλῷ
μᾶλλον οὗτοι μείζονος καὶ ἔτι πλείονος κατακρίσεώς εἰσιν ἄξιοι
οἱ τὴν μηδαμῶς προσοῦσαν ἀτιμίαν τῇ συνόδῳ σπουδάζοντες διὰ
τῆς ἀσεβείας τῆς ἐπιστολῆς καὶ Θεοδώρου περιάπτειν αὐτῇ. ἀλλ'
οὐ διὰ τοῦτο ἡ ἀσεβὴς ἐπιστολὴ ἢ οἱ ταύτης ἀντιποιούμενοι ἐκ-
φεύξονται τὴν ἐπὶ τῇ αὐτῶν ἀσεβείᾳ κατάκρισιν, ἀλλ' οἰδὲ Θεό-
C
V 292 δωρος ὁ Ἕλληνάς τε καὶ Ἰουδαίους καὶ πάντας αἱρετικοὺς τῇ ἀσε-
βείᾳ ὑπερβαλόμενος. οὗτος γὰρ πρὸς ταῖς ἄλλαις αὐτοῦ βλασφη-
μίαις οὐκ ἠρκέσθη τῷ πρὸς τὴν ἰδίαν πλάνην παρερμηνεῦσαι
τὸ σύμβολον τῶν τι' καὶ η' ἁγίων πατέρων, ἀλλὰ καὶ περιφρο-
νήσας τούτου ἕτερον σύμβολον ἐξέθετο πάσης ἀσεβείας πεπληρω-
μένον, ἐν ᾧ ἀναθεματίσαι τοὺς ἑτέρως φρονοῦντας ἢ παραδιδόν-
τας ἐτόλμησεν, ὥστε ὅσον κατὰ τὴν ἐκείνου μανίαν πάντας τοὺς
ἁγίους ἀποστόλους καὶ πατέρας κατακεκρίσθαι. τοῦτο δὲ τὸ ἀσε-
βὲς Θεοδώρου σύμβολον καὶ ἐν τῇ κατ' Ἔφεσον πρώτῃ συνόδῳ
D προκομισθὲν καὶ ἐν Χαλκηδόνι ἀναγνωσθὲν ὑφ' ἑκατέρας συνό-
δου μετὰ τοῦ ἐκθεμένου καὶ τῶν δεξαμένων αὐτὸ κατεκρίθη.
ἐπειδὴ δέ τινες τὸν ὑπὲρ Θεοδώρου λόγον ποιούμενοι, προφερο-

2. ἐπήγγειλε P. 9. αὐτῆς P. 12. ὑπερβαλλόμενος PV. 14. τὸ om. P. 16. ἢ παραδιδόντας om. P. 17. ἐκείνων V. 22. ποιούμενοι λόγον P.

niam non cooperuit patris corporalem nuditatem, sed egressus nuntiavit eam fratribus, et illi vestimento eam cooperuerunt, ipse quidem Cham, et illi qui ex ipso nati sunt, sub maledictione facti sunt; qui autem cooperuerunt, magnam benedictionem meruerunt: multo magis isti majore et ampliore condemnatione digni sunt, qui ad Synodum minime pertinentem infamiam, festinant per impietatem epistolae, et Theodori, eidem sanctae Synodo applicare. Sed non ideo impia epistola, vel defendentes eam, condemnationem suae impietatis effugient: sed neque Theodorus, qui Paganos et Judaeos, et omnes haereticos impietate superat. Impio enim Theodoro non suffecit super alias ejus blasphemias ad suum errorem male interpretari Symbolum trecentorum decem et octo sanctorum Patrum: sed etiam contempto eo, aliud Symbolum exposuit omni impietate plenum, in quo anathematizare ausus est eos, qui aliter sapiunt vel tradunt, ut quantum ad illius insaniam pertinet, omnes Sancti Apostoli et Patres condemnarentur. Hoc autem Theodori impium symbolum et in Ephesina prima Synodo prolatum, et in Calchedonensi recitatum, ab utraque Synodo cum ejus expositore, et eis qui illud suscipiunt, condemnatum est. Quoniam autem quidam, verba pro Theodoro facientes,

μένων τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων, διὰ τὴν ἐνοῦσαν αὐτοῖς βλασφημίαν προσποιοῦνται μὲν λέγειν ὅτι ἀσεβῆ ταῦτα τυγχάνει, αὐτὸν δὲ τὸν τὴν τοιαύτην ἀσέβειαν ἐξεμέσαντα παραιτοῦνται ἀναθεματίζειν, θαυμάζομεν τὴν τούτων ἄνοιαν, ὅτι τῇ θείᾳ τολμῶσιν ἐναντιοῦσθαι γραφῇ, φανερῶς λεγούσῃ ὅτι ἐν R 842
ἴσῳ μισητὰ θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ· καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται. εἰ δὲ ὁμοίως τῇ αὐ- P 367
τοῦ ἀσεβείᾳ μισητὸς θεῷ καὶ ὁ ἀσεβῶν, πρόδηλον ὡς ὁ τοιοῦτος κεχώρισται τοῦ θεοῦ καὶ τῷ ἀναθέματι δικαίως ὑποβάλλεται. τὸ γὰρ ἀνάθεμα οὐδὲν ἕτερον σημαίνει ἢ τὸν ἀπὸ τοῦ θεοῦ χωρισμόν, ὡς ἐν τῇ παλαιᾷ καὶ τῇ καινῇ διαθήκῃ τὸ περὶ τοῦ ἀναθέματος κρῖμα δηλοῖ. ὅτι δὲ καὶ κύριος τοὺς μὴ μένοντας ἐν τῷ τῆς ἀληθείας αὐτοῦ λόγῳ κεχωρισμένους εἶναι λέγει τῆς ἐκκλησίας, ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ πρὸς τοὺς Ἰουδαίους διαλεγόμενος οὕτω φησί, Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας. ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκείᾳ εἰς τὸν αἰῶνα· ὁ δὲ B
υἱὸς μένει εἰς τὸν αἰῶνα. ὅτι δὲ τὴν παρὰ τοῦ κυρίου ὠνομασμένην οἰκίαν ἡ θεία γραφὴ ἐκκλησίαν θεοῦ ζῶντος καλεῖ ὁ ἀπόστολος μαρτυρεῖ ἐν τῇ πρὸς Τιμόθεον πρώτῃ ἐπιστολῇ. εἰ δέ τινες μὴ δεῖν Θεόδωρον μετὰ θάνατον ἀναθεματίζεσθαι, ἴστωσαν οἱ τὸν τοιοῦτον αἱρετικὸν ἐκδικοῦντες ὡς πᾶς αἱρετικὸς μέχρι τέλους τῇ οἰκείᾳ πλάνῃ ἐμμείνας δικαιότερον διηνεκεῖ ἀνα-

3 *τὴν αὐτὴν* P. 12. *δῆλον* R. 14. *εὐαγγελίῳ*] VIII. 34. 16. *ὁ δὲ — αἰῶνα* om. P. 19. *πρώτῃ*] 15. *ib. λέγωσι* RV.

cum proferuntur impia ejus conscripta, propter insertam eis blasphemiam confingunt quidem dicere quod impia sunt, ipsum autem qui talem impietatem evomuit, recusant anathematizare: miramur eorum dementiam, quod divinae Scripturae contraria agunt, evidenter dicenti, quia *aequaliter horribilia sunt apud Deum impius et impietas ejus.* Actio enim cum auctore punietur: Si autem similiter impietati horribilis est Deo et ille actore
qui impie agit, certe separatus est talis a Deo, et anathemati juste subjicitur. Anathema enim nihil aliud significat, nisi a Deo separationem, sicut in veteri et novo Testamento judicium de anathemate significat. Quod autem et Dominus eos qui non permanent in Verbo veritatis ipsius, separatos esse ab Ecclesia dicit, in Evangelio secundum Joannem, Judaeos alloquens, sic ait: *Omnis qui facit peccatum, servus est peccati. Servus autem non manet in domo in aeternum: filius autem permanet in aeternum.* Quod autem, quam Dominus nominat domum, divina Scriptura Ecclesiam Dei vivi vocat, Apostolus testatur in epistola prima ad Timotheum. Si vero quidam dicunt, non oportere Theodorum post mortem anathematizari, sciant qui talem haereticum defendunt, quod omnis haereticus usque ad finem vitae in suo errore permanens, juste perpetuo

θεματισμῷ καὶ μετὰ θάνατον ὑποβάλλεται, καὶ τοῦτο ἐπὶ πολλοῖς γέγονεν αἱρετικοῖς ἀρχαιοτέροις τε καὶ τοῖς ἐγγυτέρω, τουτέστιν Βαλεντίνῳ, Βασιλείδῃ, Μαρκίωνι, Κηρίνθῳ, Μανιχαίῳ,
C Εὐνομίῳ καὶ Βονόσῳ. τοῦτο δὲ αὐτὸ καὶ ἐπὶ Θεοδώρου γέγονεν, καὶ ἐν ζωῇ κατηγορηθέντι καὶ μετὰ θάνατον ἀναθεματισθέντι ὑπὸ τῶν ἁγίων πατέρων, οἷς εἰ μὴ βούλονται πείθεσθαι ὡς αἱρετικοὶ οἱ τούτου ἀντιποιούμενοι, τῇ γοῦν παρ' αὐτῶν ἐκδικουμένῃ ἀσεβεῖ ἐπιστολῇ πιστευσάτωσαν, ἥτις εἰ καὶ τὰ μάλιστα Θεόδωρον ἐκδικεῖ, ὅμως φανερῶς λέγει ὅτι καὶ ἐπ' ἐκκλησίας παρὰ ἁγίων πατέρων ἀνεθεματίσθη· καὶ ἐξ ἐκείνου πολλὴ ζήτησις γέγονεν περὶ τῶν αὐτοῦ συγγραμμάτων, ὡς ἀσεβείας δηλονότι πεπληρωμένων. τοῦτο δὲ ἐποίουν τηνικαῦτα οἱ τῆς καθολικῆς ἐκκλησίας διδάσκαλοι, ἐφ' ᾧ μὴ τοὺς ἁπλουστέρους τυγχάνοντας τοῖς ἐκείνου ἀσεβέσι συγγράμμασι τῆς ὀρθῆς παρατρέπεσθαι πίστεως. ὅτι δὲ οἱ ἀσεβεῖς εἰ καὶ μὴ τὸν κατὰ πρόσωπον ἐν ζωῇ δέξονται ἀναθεματισμόν, ὅμως καὶ μετὰ θάνατον ἀναθεματίζονται ὑπὸ τῆς καθολικῆς ἐκκλησίας δείκνυται ἐκ τῶν ἁγίων
D
V 293
R 844
συνόδων. ἡ μὲν γὰρ ἐν Νικαίᾳ τοὺς τὸ ἀσεβὲς Ἀρείου φρόνημα πρεσβεύοντας ἀνωνύμως ἀνεθεμάτισεν, ἡ δὲ ἐν Κωνσταντινουπόλει τὴν Μακεδονίου ἀσεβεστάτην αἵρεσιν· ἀλλ' ὅμως ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία καὶ μετὰ θάνατον Ἄρειον καὶ Μακεδόνιον ὀνομαστὶ ἀναθεματίζει. ἐκ πολλῶν δὲ τῶν ἀποδείξεων ἐλεγχόμενοι

3. *Οὐαλεντίνῳ* P. *ib. Βασιλίδῃ* PV. 6. *οἷς* om. V. 10. *ἀνα-θεμ.* P. 13. *διδάσκαλοι* om. V. 14. *τῆς* P. 15. *οἱ* om. P.

anathemati et post mortem subjicitur. Et hoc in multis haereticis et antiquioribus et propioribus factum est, id est, Valentino, Basilide, Marcione, Cerintho, Manichaeo, Eunomio, et Bonoso Hoc autem idem et in Theodoro factum est, et in vita accusato, et post mortem anathematizato a sanctis Patribus. quibus si credere noluerint ut haeretici ejus defensores, vel impiae epistolae, quam ipsi defendunt, credant: quae licet Theodorum collaudet, manifeste tamen dicit, quod in Ecclesia a sanctis Patribus anathematizatus est, et ex illo plurima inquisitio facta est de ejus conscriptis, utpote plenis impietate. Hoc autem tunc faciebant Catholicae Ecclesiae Doctores, ne simpliciores legentes illius impia conscripta, a recta fide declinarent. Quod autem impii, licet non in vita in suam personam anathema susceperint, tamen et post mortem anathematizentur a Catholica Ecclesia, ostenditur a sanctis Synodis. Nicaena enim Synodus eos qui impii Arii sectam colunt, sine nomine anathematizavit. Quae autem Constantinopoli congregata est, impiam Macedonii haeresim
anathema- similiter condemnavit: sed tamen sancta Dei Ecclesia et post mortem
tizavit Arium et Macedonium nominatim anathematizat. Cum autem ex multis

ὡς ἀσεβοῦσι διακενῆς οἱ Θεοδώρου καὶ τῆς ἀσεβείας αὐτοῦ ἀντι-
ποιούμενοι, ἐφ' ἑτέραν ματαίαν πρόφασιν καταφεύγουσι, λέ- P 368
γοντες μὴ δεῖν αὐτὸν ἀναθεματισθῆναι διὰ τὸ ἐν τῇ κοινωνίᾳ
τῶν ἐκκλησιῶν τετελευτηκέναι. ἔδει δὲ αὐτοὺς εἰδέναι ὡς ἐκεῖνοι
τελευτῶσιν ἐν τῇ κοινωνίᾳ τῶν ἐκκλησιῶν οἱ τὸ κοινὸν τῆς εὐ-
σεβείας δόγμα τὸ ἐπὶ τῆς καθολικῆς κηρυττόμενον ἐκκλησίας μέ-
χρι τέλους φυλάξαντες. οὗτος δὲ τῇ οἰκείᾳ ἐντελευτήσας ἀσεβείᾳ
ἀπὸ πάσης ἐκκλησίας ἐξεβλήθη. ἀμέλει τοι καὶ πᾶν τὸ πλήρωμα
τῆς ἐν Μοψουεστίᾳ ἐκκλησίας, ἐν ᾗ λέγεται ἐπίσκοπος γεγενῆ-
σθαι, διὰ τὰς βλασφημίας, δι' ἅσπερ Ἕλλησί τε καὶ Ἰουδαίοις
καὶ Σοδομίταις παρὰ τῶν ἁγίων πατέρων συνηριθμήθη, ἀπή- B
λειψαν ἐξ ἐκείνου τῶν ἱερῶν τῆς ἐκκλησίας διπτύχων τὴν τούτου
προσηγορίαν, ὡς τὰ περὶ τούτου συστάντα κατὰ τὴν αὐτὴν πό-
λιν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας ὑπομνήματα δείκνυσιν.

Θαυμάζομεν τοίνυν τοὺς ἐκδικοῦντας Θεόδωρον οἰκειου-
μένους αὐτόν τε καὶ τὴν αὐτοῦ ἀσέβειαν, ὅπου γε ἡ ἐκκλησία ἐν
ᾗ γέγονεν ἐπίσκοπος ὡς αἱρετικὸν ἐκ πολλῶν τῶν χρόνων αὐτὸν
ἀπεβάλετο. ὅτι δὲ ἐπὶ κατακρίσει οἰκείᾳ τὴν τοιαύτην προβάλλον-
ται πρόφασιν οἱ Θεόδωρον ἐκδικοῦντες ἔξεστι γνῶναι καὶ ἐξ
αὐτοῦ τοῦ ἐπὶ Ἰούδα γενομένου φοβεροῦ κρίματος. ἐκεῖνος γὰρ
νομίσας λανθάνειν τὸν τὰ κρυπτὰ τῶν ἀνθρώπων γινώσκοντα C

1. διακενῶς P. 9. Μοψου. P. 11. ἀπείλειψαν P. 18. ἀπε-
βάλλετο PV. 20. περὶ P.

probationibus convincuntur, quod supervacue et impie agunt qui Theodorum et impietatem ejus defendunt, ad aliam vanam occasionem confugiunt, dicentes non oportere eum anathematizari eo quod in communicatione Ecclesiarum mortuus est. Oportebat autem scire eos, quod illi moriuntur in communicatione Ecclesiarum, qui commune pietatis dogma, quod in universali Ecclesia praedicatur, usque ad finem servaverunt. Iste autem usque ad mortem in sua permanens impietate, ab omni Ecclesia ejectus est. Itaque et omnis plenitudo Mopsuestenae Ecclesiae, in qua Episcopus dicitur fuisse, cum invenisset quod Paganis et Judaeis et Sodomitanis a sanctis Patribus connumeratus est, deleverunt ipsi ex illo a sacris Ecclesiae Diptychis ejus nomen, sicut gesta de hoc in eadem civitate apud Concilium Episcoporum illius Provinciae confecta ostendunt."

„Miramur igitur Theodori sequaces, qui eum et impietatem ejus tamquam suam defendunt, cum Ecclesia, in qua fuit Episcopus, utpote haereticum ex multis temporibus eum ejecerit. Quod autem ad condemnationem suam talem occasionem proponunt defensores Theodori, scire licet et ex ipso adversus Judam facto tremendo judicio. Ille enim cum putasset latere eum qui occulta hominum cognoscit, sacramentis communicavit cum Apostolis: sed tamen nihil ei profuit quod cum dolo commu-

ejecit. *ita Leuncl.*

ἐκοινώνησε τῶν μυστηρίων τοῖς ἀποστόλοις. ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὤνησεν καὶ ἡ μετὰ ὑποκρίσεως κοινωνία, ἀλλ' οὐδὲ τὸ καὶ μετὰ θάνατον αὐτοῦ δώδεκα ὀνομασθῆναι τοὺς μαθητάς, ὡς φησιν Ἰωάννης ὁ εὐαγγελιστὴς λέγων, Θωμᾶς δὲ ὁ λεγόμενος δίδυμος, εἷς τῶν ιβ', οὐκ ἦν μετ' αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς, ἢ ἐξαιρεῖ τὸν Ἰούδαν τῆς κατακρίσεως ἢ συναριθμεῖσθαι ποιεῖ τοῖς ἀποστόλοις. ἀμέλει τοι μετὰ τὴν τοῦ κυρίου ἀνάληψιν οἱ ἀπόστολοι δι' οἰκείας ψήφου τὸν αὐτὸν Ἰούδαν καὶ μετὰ θάνατον κατεδίκασαι, καὶ ἕτερον ἀντεισήγαγον. ὅτι δὲ ματαίαν πρόφασιν προβάλλονται λέγοντες μὴ δεῖν τοὺς τελευτῶντας αἱρετικοὺς ἀναθεματίζεσθαι καὶ ἐξ αὐτῶν τῶν τοῦ κυρίου ῥημάτων ἀποδείξομεν. τοὺς γὰρ ἀσεβεῖς καὶ ἔτι ζῶντας νεκροὺς ὀνομάζει, λέγων, Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· ὥσπερ οὖν καὶ τοὺς δικαίους τελευτήσαντας ζῶντας ἀποκαλεῖ· λέγει γὰρ περὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὅτι ὁ θεὸς οὐκ ἔστι νεκρῶν ἀλλὰ ζώντων. εἰ τοίνυν κατὰ τοὺς ἐκείνων λόγους οὐ χρὴ τοὺς αἱρετικοὺς τελευτῶντας ἀναθεματίζεσθαι, οὐδὲ ζῶντες αἱρετικοὶ ἀναθεματισθήσονται, οὓς ὁ κύριος νεκροὺς ἀποκαλεῖ διὰ τὸ ἀποκεχωρισμένους εἶναι αὐτοῦ τοῦ εἰπόντος, Ἐγώ εἰμι ἡ ζωή. καὶ κατ' αὐτοὺς λοιπὸν οὔτε ζῶντες οὔτε τελευτῶντες αἱρετικοὶ ἀναθεματισθήσονται, καὶ μάτην κατ' ἐκείνους ἡ ἀποστολικὴ διδασκαλία παραδέδωκεν ἀναθεματίζεσθαι τοὺς παραδιδόντας παρ' ὃ παρε-

R 846 D P 369 V 294

2. ἡ et καὶ om. P. 4. Ἰωάννης] XX. 24. 9. ἀντ' αὐτοῦ εἰσήγαγον P. 11. ἀποδείξωμεν PV. 12. λέγων] Matth. VIII. 22. 14. καλεῖ P. ib. λέγει] XXII. 32. 18. κεχωρισμένους P. 20. οὔτε alterum om. P. 22. παρελάβομεν P.

nicavit. Sed licet post mortem ejus duodecim nominati sint Discipuli, sicut Joannes Evangelista dicit: *Thomas autem, qui Didymus dicebatur, unus ex duodecim, non erat cum ipsis quando venit Jesus:* tamen hoc non liberat Judam a condemnatione, aut connumerari facit Apostolis. Unde post Ascensionem Domini, Apostoli per suam sententiam eumdem Judam etiam post mortem condemnaverunt, et alium pro illo introduxerunt. Quod autem vanam occasionem proponunt, dicentes non oportere haereticos mortuos anathematizari, et ex ipsis Domini verbis ostendemus. Im- pios enim et adhuc vivos, mortuos nominat, dicens: *Dimitte mortuos sepelire mortuos suos:* sicut justos et jam defunctos, vivos nominat. Dicit enim de Abraham et Isaac et Jacob, quod Deus non est Deus mortuorum, sed viventium. Si ergo secundum verba illorum non oportet haereticos mortuos anathematizari, nec viri haeretici anathematizabuntur, quos Dominus mortuos vocat, quia separati sunt ab ipso qui dixit: *Ego sum vita*, et secundum eos jam nec vivi, nec mortui haeretici anathematizabuntur: et sine causa, secundum illos, Apostolica doctrina tradit anathematizari eos, qui tradunt praeter quod accepimus: sine causa sanctae

venerat. *sic et Leuncl.* non est Deus *abestpelire mortuos se- in Cod. et a- pud Leuncl.* vivorum. *sic et Leuncl.* *corrige* vivi.

λάβαμεν, μάτην αἱ ἅγιαι σύνοδοι τοὺς αἱρετικοὺς κατέκριναν, μάτην καὶ οἱ ἄλλοι ἅγιοι πατέρες καὶ διδάσκαλοι τῆς ἐκκλησίας τοὺς αἱρετικοὺς ἀνεθεμάτισαν. μέμψονται δὲ καὶ Ἱερεμίᾳ τῷ προφήτῃ εἰπόντι, Ἐπικατάρατος ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς, καὶ Δαβὶδ τῷ προφήτῃ λέγοντι, Ἐπικατάρατοι οἱ ἐκκλίναντες ἀπὸ τῶν ἐντολῶν σου, καὶ συντόμως εἰπεῖν, πάσῃ τῇ θείᾳ γραφῇ, πολλαχοῦ τὰς τοιαύτας κατακρίσεις ἐπαγούσῃ τοῖς ἀσεβέσιν. B εἰ δὲ οἱ ἀμελῶς ποιοῦντες τὰ ἔργα κυρίου καὶ ἁμαρτάνοντες περὶ τὰς αὐτοῦ ἐντολὰς τοιαύταις κατακρίσεσιν ὑποβάλλονται, πόσῳ μᾶλλον Θεόδωρος ὁ ἀσεβὴς ὁ τοιαῦτα κατ᾽ αὐτοῦ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ βλασφημήσας δικαιότερον κατακέκριται καὶ ἀναθεματίζεται; καὶ ἤρκει μὲν ταῦτα πρὸς ταῖς παρατεθείσαις ἀνωτέρω τε καὶ ἐν ἑτέροις ἡμῶν λόγοις ἀποδείξεσι περὶ τοῦ δεῖν καὶ μετὰ τελευτὴν τοὺς αἱρετικοὺς κατακρίνεσθαι καταισχύνειν τοὺς Θεοδώρου μεταποιουμένους καὶ C παύσονται τῆς τοιαύτης ἀσεβείας· διὰ δὲ τὸ ἐμφιλονείκως τοῖς R 848 αὐτοῖς ἐπιμένειν τὸ πλέον ἐροῦμεν ἔτι τινὲς τῶν συναχθέντων ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ συνόδῳ καὶ ὑπογράψαντες τῷ ἐκτεθέντι παρ᾽ αὐτῆς ὅρῳ ἤτοι συμβόλῳ τῆς πίστεως, ἐπειδὴ μετὰ ταῦτα ἐναντία φρονήσαντες ἐφάνησαν, οἱ μὲν ζῶντες, οἱ δὲ μετὰ θάνατον ἀνεθεματίσθησαν παρὰ Δαμάσου τοῦ τῆς ὁσίας μνήμης πάπα τῆς πρεσβυτέρας Ῥώμης καὶ τῆς ἐν Σαρδικῇ οἰκουμενικῆς

3. ἀναθεμάτισαν P. 4. εἰπόντι] XLVIII. 10. 5. Δαβὶδ] CXVIII. 21. ib. ἐκκλίναντες PV. 7. ἐπάγουσι PV. 16. παύσονται] πανεῖν Labbeus.

Synodi haereticos condemnaverunt, sine causa et alii sancti Patres et Doctores Ecclesiae haereticos anathematizaverunt. Inculpent autem et Jeremiam Prophetam dicentem: *Execrandus qui opera Domini facit negligenter;* et David Prophetam dicentem: *Execrandi qui declinant a mandatis tuis;* et ut compendiose dicamus, omnem divinam Scripturam in diversis locis tales condemnationes impiis inferentem. Sin autem illi qui negligenter opera Dei faciunt, et peccant in mandatis ejus, talibus condemnationibus subjiciuntur: quando magis impius Theodorus, qui talia adversus ipsum magnum Deum et Salvatorem nostrum Jesum Christum blasphemavit, juste condemnatus est et anathematizatus? Et haec quidem sufficiebant, super memoratas et * aliis nostris libris insertas probationes, quas protulimus, ostendentes quod oportet etiam post mortem haereticos condemnari, confundere eos qui Theodorum defendunt, et compescere a tali impietate. Quoniam autem contentiose in iisdem permanent, etiam quod est amplius, dicimus quia quidam ex ipsis qui in Nicaena sancta Synodo convenerunt, et expositae ab ea fidei definitioni vel Symbolo subscripserunt, quoniam postea contraria sapientes apparuerunt, alii quidem vivi, alii autem post mortem anathematizati sunt a Damaso sanctae memoriae Papa antiquioris Romae, et ab universali Sardi-

anathematizatur. * in aliis dicemus. *sic et Leuncl.*

συνόδου, καθὰ μαρτυρεῖ ὁ ἐν ἁγίοις Ἀθανάσιος. ἀλλὰ καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος Δόμνον τὸν Ἀντιοχείας γενόμενον ἐπί-
D σκοπον μετὰ θάνατον κατεδίκασεν, τολμήσαντα μόνον γράψαι δεῖν παρασιωπηθῆναι τὰ ιβ' κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου. ἐπειδὴ δὲ οἱ Θεοδώρου ἀντιποιούμενοι αἱρετικοὶ πάσης προτάσεως καὶ ἐγχειρήσεως ἐκπεπτωκότες ἐπεχείρησαν λέγειν πρὸς ἀπάτην τῶν ἀγνοούντων ὡς ὁ τῆς ὁσίας μνήμης Κύριλλος ἔν τινι μέρει ἐπιστολῆς τοῦτον ἐπῄνεσεν, ἐκ πολλῶν ἀποδείκνυται ὅτι οὐ συμβαίνει τὸ αὐτῶν ἐγχείρημα τοῖς εἰρημένοις παρὰ τοῦ ἐν ἁγίοις Κυρίλλου ἐν διαφόροις αὐτοῦ λόγοις κατὰ τοῦ δυσσεβοῦς Θεοδώ-
P 370 ρου, ἐν οἷς ἀσεβέστερον αὐτὸν πάντων τῶν ἄλλων αἱρετικῶν ἀποδείξας, εἶτα οὐκ ἐνεγκὼν τὸ πλῆθός τε καὶ μέγεθος τῶν αὐτοῦ βλασφημιῶν τῶν εἰρημένων κατὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπεφθέγξατο οὕτως εἰπών, Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ πλείω σφόδρα, λέγει κύριος. ὦ τῆς ἀπορρήτου σκαιότητος, ὦ γλώσσης λαλούσης ἀδικίαν κατὰ τοῦ θεοῦ καὶ τὸ κέρας αἰρούσης. καὶ πάλιν, Ἐπίθες, ἄνθρωπε, τῇ σαυτοῦ γλώττῃ θύραν καὶ μοχλόν· παῦσαι τὸ κέρας εἰς ὕψος ἐπαίρων καὶ λαλῶν ἀδικίαν κατὰ τοῦ θεοῦ. μέχρι τίνος ἐπιπηδᾷς ἀνεξικακοῦντι Χριστῷ; εἰς νοῦν ἔχε τὸ γεγραμμένον παρὰ τοῦ θεσπεσίου Παύλου, Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελ-
B φοὺς καὶ πλήττοντες αὐτῶν ἀσθενοῦσαν τὴν συνείδησιν εἰς Χρι-

1. καταμαρτυρεῖ R. ib. ἡ om. P. 15. ἐπὶ πλείω] De formula hac semibarbara vid. annot. ad Xenoph. Hist. gr. II. 2. 16. p. 283. 21. Παύλου] I. Cor. VIII. 12. 22. τὴν om. P.

censi Synodo, prout testatur Sanctus Athanasius. Sed et Calchedonensis sancta Synodus Domnum Antiochiae factum Episcopum post mortem condemnavit, quod solum ausus est scribere, oportere taceri duodecim capitula Sancti Cyrilli. Quoniam autem Theodori defensores haeretici, omni propositione et conatu excidentes, praesumunt dicere ad deceptionem ignorantium, quod Sanctae memoriae Cyrillus in aliqua parte epistolae illum collaudavit; ex multis ostenditur, quod non convenit eorum conamen dictis a Sancto Cyrillo in diversis ejus libris contra impium Theodorum, in quibus magis impium omnibus aliis haereticis eum ostendens, deinde non sustinens plurimas et maximas ejus blasphemias contra magnum Deum et Salvatorem nostrum Jesum Christum dictas, exclamavit, ita dicens: Expavit coelum super hoc, et horruit amplius vehementer, dicit Dominus. O intolerabilem malignitatem, o linguam loquentem iniquitatem contra Deum, et in altitudinem cornu extollentem. Et iterum: Impone homo tuae linguae ostium et seram: cessa cornu in altitudinem extollens, et loquens iniquitatem adversus Deum. Quousque insultas patienti Christo? In mente habe scriptum a divino Paulo: *Sic autem peccantes in fratres, et percutientes eorum infirmam conscientiam, in Christum*

στὸν ἁμαρτάνετε. καὶ ἵνα τί καὶ ἐκ προφητικῶν φθέγξωμαι βιβλίων, Ἐδικαιώθη Σόδομα ἐκ σοῦ. νενίκηκας τὰς Ἑλλήνων ἀθυροστομίας, ἃς ἐποιήσαντο κατὰ Χριστοῦ, μωρίαν ἡγούμενοι V 295
τὸν σταυρόν. οὐδὲν ὄντα διέδειξας τὰ τῆς Ἰουδαϊκῆς ἀπονοίας R 850
ἐγκλήματα. τούτων τοίνυν οὕτως ἐπὶ κατακρίσει τοῦ ἀσεβοῦς Θεοδώρου ὑπὸ τοῦ ἐν ἁγίοις Κυρίλλου εἰρημένων, εἰ καὶ δοίη τις κατὰ τοὺς ἐκείνων λόγους τὸν ἐν ἁγίοις Κύριλλον εἰρηκέναι τι ὑπὲρ Θεοδώρου, οὐδὲ τοῦτο ἐξαιρεῖται αὐτὸν τῆς κατακρίσεως. εὑρίσκομεν γὰρ ὡς πολλοὶ τῶν ἄλλων πατέρων τινὰς τῶν αἱρετικῶν ἀπεδέξαντο, ὥσπερ καὶ οἱ ἐν ἁγίοις Δάμασος καὶ Ἀθανάσιος καὶ Βασίλειος Ἀπολλινάριον, καὶ Λέων δὲ ὁ τῆς ὁσίας μνήμης Εὐτυχέα. καὶ ὅμως ἐπειδὴ φανερὰ γέγονεν ἡ τούτων ἀσέβεια, οὐκ ἐξέφυγον διὰ τὴν τοιαύτην ἀποδοχὴν οἱ αἱρετικοὶ τὴν μετὰ ταῦτα εἰς οἰκεῖον πρόσωπον καὶ τὴν αὐτῶν ἀσέβειαν γενομένην κατάκρισίν τε καὶ ἀναθεματισμόν. τοσαύτη δέ ἐστιν ἡ μανία τῶν Θεόδωρον ἐκδικούντων ὅτι τολμῶσι καταψεύδεσθαι καὶ Γρηγορίου τοῦ θεολόγου καὶ Ἰωάννου τοῦ Κωνσταντινουπόλεως, ὡς ἐπιστολὰς πρὸς αὐτὸν Θεόδωρον ἀποστειλάντων πεπληρωμένας ἐπαίνου· ὅπερ ψεύδους ἐστὶ μεστόν. Γρηγόριος μὲν γὰρ ὅτε ὑπὲρ D
τῆς ἀληθείας ἐν Κωνσταντινουπόλει ἀγωνισάμενος καὶ τοὺς λαοὺς ἀπὸ τῆς τῶν Ἀρειανῶν πλάνης εἰς τὴν ὀρθόδοξον πίστιν ἐπιστρέψας εἰς τὴν οἰκείαν ἐπανῆλθε πατρίδα, τὰς παρὰ τῶν αἱρετικῶν κακούργως προφερομένας ἐπιστολὰς οὐ πρὸς Θεόδωρον τὸν Μο-

1. φθέγξομαι PV. Ezech. XVI. 51. 2. θυροστ. R. 9. τῶν alterum om. P. 11. δὲ om. P. 19. ὅτι P.

peccatis. Et ut aliquid etiam ex propheticis loquar codicibus: *Justificata est Sodoma ex te*, superasti Paganorum verbositates, quas contra Christum fecerunt, stultitiam existimantes crucem, nihil esse ostendisti Judaicae superbiae crimina." His igitur ad condemnationem Theodori sic a Sancto Cyrillo dictis, licet aliquis concedat, secundum illorum verba Sanctum Cyrillum aliquid pro Theodoro dixisse, neque hoc liberat illum a condemnatione. Invenimus enim, quod multi sanctorum Patrum quosdam haereticos collaudaverunt, sicut et Sancti Damasus et Athanasius et Basilius Apollinarium, et Sanctus Leo Eutychen: et tamen cognita eorum impietate, non propter hoc evaserunt haeretici condemnationem et anathema, quod postea contra eorum personam et impietatem factum est. Tantus autem est furor defendentium Theodorum, quia praesumunt adversus Gregorium Theologum, et Joannem Constantinopolitanum mentiri, dicentes epistolas ad eumdem Theodorum plenas laudis eos direxisse: quod falsum est. Gregorius enim, cum in Constantinopoli pro veritate laborans, conversis per eum ab Ariana insania ad Catholicam fidem populis, ad suam patriam reversus est, epistolas quas haeretici dolose pro-

ψουεστίας ἔγραψεν, ἀλλὰ πρὸς Θεόδωρον ἐπίσκοπον Τυάνων, ἥτις ἐστὶν τῆς δευτέρας Καππαδοκῶν μητρόπολις· τῆς δὲ αὐτῆς χώρας ἐστὶν ἡ Ναζιανζός, ἧς γέγονεν ἐπίσκοπος ὁ αὐτὸς ἐν ἁγίοις Γρηγόριος, καὶ Ἀριανζὸς τὸ χωρίον, ὅθεν ὥρμητο. τοῦτο γὰρ καὶ αὐταὶ σαφῶς δηλοῦσιν αἱ ἐπιστολαί, μεμνημέναι ἐθῶν καὶ συνόδων καὶ τοῦ αὐτοῦ χωρίου Ἀριανζοῦ καὶ ἑτέρων χωρίων
P 371 τῆς αὐτῆς ἐπαρχίας καὶ μηνῶν τῇ ἐπιχωρίῳ διαλέκτῳ Καππαδοκῶν ὠνομασμένων καὶ Βοσπορίου ἐπισκόπου ὑπ' αὐτὸν τελοῦντος Κολωνίας τῆς πόλεως καὶ ἑτέρων ἐπισκόπων καὶ χωρεπισκόπων καὶ μοναστηρίων ὑπὸ τὸν αὐτὸν τελούντων Θεόδωρον μνημονεύουσαι, ὧν καὶ μέχρι νῦν σώζεται τὰ αὐτὰ ὀνόματα. ποῖα δὲ μετουσία Καππαδόκαις πρὸς τοὺς ἀπὸ τῆς δευτέρας Κιλικίας ἢ τότε ἢ νῦν ὑπάρχει, διαμεμερισμένης τῆς τῶν ἐπαρχιῶν τούτων διοικήσεως; ἢ ποίους ἐπισκόπους ὑφ' ἑαυτὸν ἔχειν ἠδύνατο ὁ
B Μοψουεστίας ἐπίσκοπος, αὐτὸς ὑπὸ τὸν τῆς αὐτῆς δευτέρας Κι-
R 852 λικίας μητροπολίτην τελῶν; Ἰωάννης δὲ ὁ Κωνσταντινουπόλεως ἔγραψεν ἐπιστολὴν πρὸς Θεόδωρον τὸν Μοψουεστίας, οὐκ ἐπαίνων δὲ ἀλλὰ μέμψεων καὶ ἐπιτιμήσεων οὖσαν μεστήν, ὡς ἐκπεσόντος αὐτοῦ τῆς θεοσεβείας. συνασκήσας γὰρ αὐτῷ τὸν μονήρη βίον ἐν ἑνὶ καὶ τῷ αὐτῷ μοναστηρίῳ τῆς ἐκεῖσε συνδιαγωγῆς ἀναμιμνήσκει αὐτόν, καὶ ταῦτα μαρτυροῦσι Σωζόμενος καὶ Ἡσύ-

4. Γρηγόριος ὁ αὐτὸς ἐν ἁγίοις γέγονεν ἐπίσκοπος P. 5. ἐθνῶν PV. 7. μηνῶν ὡς P, μὴν ὡς V. 9. Κωλονίας PV. 10. τῶν αὐτῶν P. 13. ἢ alterum om. P.

ferunt, non ad Theodorum Mopsuestenum scripsit, sed ad Theodorum Episcopum Tyanensem, quae est secundae Cappadociae metropolis. Ejusdem autem provinciae sunt et Nazianzus civitas, cujus fuerat Episcopus idem sanctae memoriae Gregorius, et Arianzus praedium, unde ortus fuerat Hoc enim et ipsae epistolae aperte significant, memoriam facientes consuetudinum et collectionum, et ejusdem praedii Arianzi, et aliorum praediorum ejusdem provinciae, et mensis vernacula lingua Cappadocum nominati, et Bosphorii Episcopi sub eodem Theodoro constituti, qui tunc temporis Coloniae civitatis ejusdem provinciae Episcopus erat, et aliorum Episcoporum, et Chorepiscoporum, et Monasteriorum, quae sub Theodori jurisdictione erant, quorum usque nunc eadem nomina servantur. Qualis porro communio Cappadocibus ad secundam Ciliciam, vel tunc, vel modo divisa earum provinciarum gubernatione? Et quos Episcopos sub se habere poterat Mopsuestenus Episcopus, cum ipse sub metropolitano secundae Ciliciae constitutus esset? Joannes autem Constantinopolitanus scripsit quidem epistolam ad Theodorum Mopsuestenum, non tamen laudibus, sed querimoniis et increpationibus plenam, utpote illo a bona conversatione lapso. Quoniam enim cum eo monachicam vitam in uno eodemque Monasterio exercuit, conversationis ibi factae eum

Tyanon. *sic et Leuncl.* Nanziantus

χιος καὶ Σωκράτης καὶ Θεοδώρητος ὁ πολλοὺς ὑπὲρ Θεοδώρου λόγους τε καὶ ἐπαίνους ἐκτείνας. εἰ δὲ προφέρουσι μαρτυρίας Ἰωάννου τοῦ Ἀντιοχείας καὶ τῆς ὑπ' αὐτὸν ἀνατολικῆς συνόδου C ὑπὲρ Θεοδώρου καὶ τῆς αὐτοῦ ἀσεβείας γενομένας, ἀνάγκη αὐτοὺς κἀκεῖνα δέξασθαι, ἅπερ ὅσον τό γε ἐπ' αὐτοῖς εἰς κατάκρισιν τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ ἀθέτησιν τῆς ὀρθῆς πίστεως οἱ V 296 περὶ Ἰωάννην ἐτόλμησαν, καὶ ἅπερ ἔγραψαν, Νεστόριον καὶ τὴν αὐτοῦ κακοδοξίαν ἐπὶ πλεῖστον χρόνον ἐκδικοῦντες. καὶ τοῦτο δείκνυται ἐκ διαφόρων αὐτῶν λόγων τε καὶ ἐπιστολῶν πρὸς Θεοδόσιον τὸν τῆς εὐσεβοῦς λήξεως καὶ ἑτέρους διαφόρους γραφεισῶν. καὶ ταῦτα μὲν οὕτως. ἵνα δὲ μηδὲν τῆς ἀκριβείας παραλείψωμεν, ἀναγκαῖον ἐνομίσαμεν μνησθῆναι καὶ τῶν γραφέντων D παρὰ Αὐγουστίνου τοῦ τῆς ὁσίας μνήμης ἐπισκόπου ἐν Ἀφρικῇ γενομένου. ζητήσεως γάρ τινος περὶ Καικιλιανοῦ μετὰ θάνατον αὐτοῦ κινηθείσης, ὡς τῆς ἐκκλησιαστικῆς παρατραπέντος παραδόσεως, καί τινων τούτου χάριν χωρισάντων ἑαυτοὺς τῆς καθολικῆς ἐκκλησίας, γράφει πρὸς Βονιφάτιον ὁ αὐτὸς τῆς ὁσίας μνήμης Αὐγουστῖνος ὡς οὐκ ἔδει τινὰς διὰ τοῦτο χωρίσαι ἑαυτοὺς τῆς καθολικῆς ἐκκλησίας· εἰ γὰρ ἀληθῆ ὑπῆρχεν τὰ ἐπαγόμενα Καικιλιανῷ, καὶ ἐφανερώθη ἐναντία φρονήσας τῆς καθολικῆς καταστάσεως, καὶ μετὰ θάνατον ἂν τοῦτον ἀναθέματι ὑπέβαλον. P 372

2. λόγους καὶ P sola. *ib.* προσφέρουσι P. 18. χωρῆσαι PV.

admonuit: et pro his testimonium praebent Sozomenus, et Hesychius, et Socrates, et Theodoretus, qui multas pro Theodoro orationes et laudes fecit. Si autem testimonia proferunt Joannis Antiocheni, et Orientalis Concilii sub eo constituti, facta pro Theodoro, et ejus impietate, necesse est eos, et illa suscipere, quae (quantum ad illos pertinet) ad condemnationem Sancti Cyrilli, et reprobationem rectae fidei fecerunt Joannes et qui cum illo erant, nec non etiam quae scripserunt, Nestorium et ejus perfidiam diutius defendentes. Et hoc ostenditur ex diversis eorum libris et epistolis, quas ad Theodosium piae recordationis, et ad alios diversos scripserunt. Et haec quidem sic se habent. Ut et haec quiautem nihil subtilitatis praetermittamus, necessarium putavimus memorare dem sic. ut etiam illa, quae ab Augustino sanctae memoriae Africano Episcopo scri- autem, etc. pta sunt. Quaestione enim aliqua post mortem Caeciliani de eo mota, praetermitquod ab Ecclesiastica traditione declinasse dicebatur, et propter hoc timus. quibusdam a Catholica Ecclesia separatis, scribit ad Bonifacium idem *Leuncl.* Sanctus Augustinus, quod non oportebat, aliquos ideo separare sese a et ut haec Catholica Ecclesia: Si enim vera essent ea quae Caeciliano infereban- quidem sictur, et manifestatus esset contrarium aliquid Ecclesiastico statui sapuis- ut nihil subse, etiam post mortem eum anathemati subjicerem. Sed et regula san- tilitatis ha-

ἀλλὰ καὶ κανὼν τῆς ἁγίας ἐν Ἀφρικῇ συνόδου διαγορεύει τοὺς ἐπισκόπους τοὺς τὴν οἰκείαν περιουσίαν ἢ ἐν διαθήκῃ ἢ ἐξ ἀδιαθέτου αἱρετικῷ παραπέμποντας χρῆναι καὶ μετὰ θάνατον ἀναθεματίζεσθαι. πρὸς τούτοις δὲ ἅπασι τίς ἀγνοεῖ τὰ ἐν τοῖς ἡμετέροις χρόνοις ἐν τῇ ἐκκλησίᾳ τῆς πρεσβυτέρας Ῥώμης γενόμενα κατὰ Διοσκόρου, ὃς οὐδὲν περὶ πίστιν ἡμαρτηκὼς διὰ μόνην ἐκ-
R 854 κλησιαστικὴν κατάστασιν μετὰ θάνατον παρ' αὐτῆς τῆς κατὰ Ῥώμην ἁγιωτάτης ἐκκλησίας ἀνεθεματίσθη. εἰ τοίνυν οἱ μηδὲν εἰς πίστιν πταίσαντες ἐπίσκοποι διὰ κατάστασιν ἐκκλησιαστικὴν
B καὶ διὰ χρηματικὴν αἰτίαν ἀναθέματι καὶ μετὰ θάνατον ὑποβάλλονται, πόσῳ μᾶλλον Θεόδωρος ὁ εἰς αὐτὸν τὸν θεὸν ἀσεβήσας; ὅσον δὲ πρὸς τὴν ἄνοιαν τῶν λεγόντων μὴ δεῖν ἀναθεματίζεσθαι μετὰ θάνατον τοὺς ἐν τῇ οἰκείᾳ ἀσεβείᾳ τελευτῶντας, ἔδει μηδὲ τοὺς ἀδίκως κατακριθέντας πατέρας μετὰ θάνατον ἀνακαλεῖσθαι, ὅπερ συμβέβηκεν καὶ ἐπὶ Ἰωάννῃ τῷ ἐν ὁσίᾳ τῇ μνήμῃ ἐπισκόπῳ γενομένῳ Κωνσταντινουπόλεως ὑπὸ τῆς καθολικῆς ἐκκλησίας μετὰ θάνατον ἀνακληθέντι καὶ ἐπὶ Φλαβιανῷ τῷ τῆς ὁσίας μνήμης, καὶ αὐτῷ Κωνσταντινουπόλεως γενομένῳ ἐπισκόπῳ,
C ἀδίκως μὲν ἐν ζωῇ κατακριθέντι, δικαίως δὲ μετὰ θάνατον ἀνακληθέντι ὑπό τε τοῦ τῆς ὁσίας μνήμης πάπα Λέοντος καὶ τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου. ἐντεῦθεν δὲ συμβαίνει κατὰ τοὺς ἐκείνων λόγους τοὺς μὲν αἱρετικοὺς τοῖς ἁγίοις πατράσι συναρι-

4. τοῖς om. P. 8. ἀναθεμ. PV. 15. τῇ om. P. 20. τοῦ om. P. 21. δὲ] τε V.

bentis praetermittamus. ctae Synodi Africanae statuit, Episcopos, qui suas facultates in testamento, vel ex intestato haeretico relinquunt, oportere et post mortem anathematizari. Super haec autem omnia, quis ignorat, ea quae nostris temporibus in Ecclesia antiquioris Romae contra Dioscorum acta sunt? Qui cum nihil in fidem peccasset, tamen propter solum Ecclesiasticum ordinem post mortem ab eadem sancta Ecclesia Romana anathematizatus est? Si igitur nihil in fidem peccantes Episcopi, propter solum Ecclesiasticum ordinem, et propter causam pecuniariam anathemati et post mortem subjiciuntur: quanto magis Theodorus, qui in ipsum Deum peccavit? Quantum autem ad insipientiam dicentium, non oportere anathematizari post mortem eos, qui in sua impietate mortui: oportebat nec eos, qui injuste condemnati sunt Patres post mortem revocari, quale contigit in Joanne sanctae recordationis Episcopo Constantinopolitanae civitatis, ab universali Ecclesia post mortem revocato, et in Flaviano sanctae memoriae et ipso Episcopo Constantinopolitanae civitatis, injuste quidem in vita condemnato, juste autem post mortem revocato tam a sanctae memoriae Papa Leone, quam a sancta Calchedonensi Synodo. Ex hoc autem contingit secundum illorum verba, haereticos quidem sanctis Patribus connumerari, utpote liberatos debita eis condemnatione,

ϑμεῖσθαι, οἷα ἐλευθέρους ἀφιεμένους τῆς ὀφειλομένης αὐτοῖς κατακρίσεως, τοὺς δὲ ἁγίους πατέρας ἀδίκως καταδικασθέντας τοῖς αἱρετικοῖς συνάπτεσθαι, οἷα μὴ λυομένης τῆς ἐπ᾽ αὐτοῖς ἀδίκου κατακρίσεως. ἀξιοπιστότερος δὲ πάντων ἐστὶ διδάσκαλος ὁ κύριος καὶ ϑεὸς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς περὶ ἑαυτοῦ λέγων, Οὕτω γὰρ ἠγάπησεν ὁ ϑεὸς τὸν κόσμον ὥστε τὸν υἱὸν αὐτοῦ τὸν D μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. οὐ γὰρ ἀπέστειλεν ὁ ϑεὸς τὸν υἱὸν αὐτοῦ, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ᾽ ἵνα σωθῇ ὁ κόσμος δι᾽ αὐτοῦ. ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ μὴ πιστεύων εἰς αὐτὸν ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ ϑεοῦ. καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον διὰ τοῦ προφήτου Δαβὶδ V 297 λέγει τοὺς ἀσεβεῖς μὴ ἀναστήσεσθαι ἐν κρίσει. τῆς οὖν τοιαύτης τοῦ κυρίου ἀποφάσεως ἐξενεχθείσης κατὰ παντὸς ἀσεβοῦς, καὶ οὐδὲν διαστελλούσης μεταξὺ ζώντων καὶ νεκρῶν αἱρετικῶν, πῶς τολμῶσιν ἀντιπίπτειν τῇ τοιαύτῃ ἀποφάσει, καὶ τοὺς ἅπαξ ἀσεβήσαντας καὶ διὰ τοῦτο ἤδη ὑπὸ τοῦ κυρίου κατακεκριμένους P 373 λέγειν μὴ δεῖν μετὰ ϑάνατον κατακρίνεσθαι; καὶ ὁ ϑεῖος δὲ ἀπόστολος, τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, οὐ μόνον κατὰ R 856 ἀνϑρώπων, ἀλλὰ καὶ κατὰ ἀγγέλων, τὴν τοιαύτην ἐπήγαγεν ἀπόφασιν, εἰπὼν ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Γαλάτας, Ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμᾶς παρ᾽ ὃ εὐηγ-

1. αὐτῆς P. 3. τῆς] πῶς P. *ib.* ἑαυτοῖς R. 5 ὁ alterum om. P. 12. Δαβὶδ] Ps. I. 5. 21. Γαλάτας] I. 8. 22. εὐαγγελίζεται PV. *ib.* εὐαγγελισάμεθα P.

sanctos autem Patres injuste condemnatos, haereticis conjungi, utpote non soluta contra eos facta iniqua damnatione. Omnibus autem magis credendus est Doctor Dominus et Deus noster Jesus Christus, de se di- Doctor est cens: *Sic enim dilexit Deus mundum, ut filium suum unigenitum daret, ut omnis qui credit in eum, non pereat, sed habeat vitam aeternam. Non enim misit Deus Filium suum in mundum ut judicet mundum, sed ut salvetur mundus per ipsum. Qui credit in eum, non judicatur: qui autem non credit, jam judicatus est, quia non credit in nomine unigeniti Filii Dei.* Et Spiritus autem sanctus per Prophetam David dicit, impios non resurrecturos in judicio. Tali igitur Domini sententia prolata adversus omnem impium, et nihil discernente inter vivos et mortuos haereticos, quomodo audent resistere tali sententiae, et eos qui semel impie egerunt, et propter hoc jam a Domino condemnati sunt, dicere, non oportere post mortem condemnari? Et divinus autem Apostolus, qui Christum in semetipso habet loquentem, non solum adversus homines, sed etiam adversus Angelos talem protulit sententiam, dicens in Epistola ad Galatas: *Sed licet nos aut Angelus de coelo evangelizaverit praeter-*

γελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω, ὡς προειρήκαμεν. καὶ ἄρτι πάλιν λέγω, Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. καὶ τίς οὕτως ἀσεβὴς ὡς τολμῆσαι εἰπεῖν ὡς τὰ παρὰ Θεοδώρου ἀσεβῶς συγγραφέντα ἢ μέρος αὐτῶν παρεδόθη
B ποτὲ τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ, ἀλλ' οὐκ εὐθὺς ὁ τολμήσας τι τοιοῦτο παραφθέγξασθαι ἀναθέματι καθυπεβλήθη παρὰ τῶν ἁγίων πατέρων;

Εἴ τις τοίνυν μετὰ τὴν τοιαύτην ὀρθὴν ὁμολογίαν καὶ κατάκρισιν τῶν αἱρετικῶν, τῆς εὐσεβοῦς ἐννοίας σωζομένης, περὶ ὀνομάτων ἢ συλλαβῶν ἢ λέξεων ζυγομαχῶν χωρίζει ἑαυτὸν τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, ὥσπερ ἐν ὀνόμασι μόνοις καὶ λέξεσι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ' οὐκ ἐν πράγμασιν, ὁ τοιοῦτος ὡς τοῖς σχίσμασι χαίρων λόγον ὑφέξει ὑπὲρ ἑαυτοῦ καὶ τῶν ὑπ' αὐτοῦ ἀπατωμένων ἢ ἀπατηθησομένων τῷ μεγάλῳ θεῷ καὶ σω-
C τῆρι ἡμῶν Ἰησοῦ Χριστῷ ἐν ἡμέρᾳ κρίσεως.

Ἰνδ. α'. κς'. μετὰ ὑπ. Βασιλείου τὸ ιβ' μόνου.
Ἰνδ. β'. κζ'. μετὰ ὑπ. Βασιλείου τὸ ιγ' μόνου.
Ἰνδ. γ'. κη'. μετὰ ὑπ. Βασιλείου τὸ ιδ' μόνου.

τλδ' Ὀλυμπιάς.

Ἰνδ. δ'. κθ'. μετὰ ὑπ. Βασιλείου τὸ ιε' μόνου.
Ἰνδ. ε'. λ'. μετὰ ὑπ. Βασιλείου τὸ ις' μόνου.

6. τοιοῦτον P.

quam quod evangelizavimus vobis, anathema sit. Sicut praedximus, et nunc iterum dico: Si quis vobis evangelizaverit praeter id quod accepistis, anathema sit. „Et quis ita impius est, ut praesumat dicere, quod Theodori impia scripta, vel pars eorum, tradita est aliquando sanctae Dei Ecclesiae, et non statim, qui ausus est aliquid tale loqui, anathemati subjectus est a sanctis Patribus?"

„Si quis igitur post ejusmodi rectam confessionem, et haereticorum condemnationem, salvo manente pio intellectu, de nominibus vel syllabis vel dictionibus contendens, separat se a sancta Dei Ecclesia, tamquam non in rebus, sed in nominibus solis et dictionibus posita nobis pietate: talis utpote dissensionibus gaudens, rationem pro semetipso, et pro deceptis et decipiendis ab eo, reddet magno Deo et Salvatori nostro Jesu Christo in die judicii."

A. C.		[Ol Iph.]
553.	xxvi. Ind. i. Post Consulatum Basilii XII. solius.	1. 333.
554.	xxvii. Ind. ii. Post Cons. Basilii XIII. solius.	2.
555.	xxviii. Ind. iii. Post Cons. Basilii XIV. solius.	3.
	CCCXXXIV. Olympias.	
556.	xxix. Ind. iv. Post Cons. Basilii XV. solius.	4.
557.	xxx. Ind. v. Post Cons. Basilii XVI. solius.	1. 334.

Ἰνδ. ς'. λα'. μετὰ ὑπ. Βασιλείου τὸ ιζ' μόνου. D
Ἰνδ. ζ'. λβ'. μετὰ ὑπ. Βασιλείου τὸ ιη' μόνου.

τλε' Ὀλυμπιάς.

Ἰνδ. η'. λγ'. μετὰ ὑπ. Βασιλείου τὸ ιϑ' μόνου.
Ἰνδ. ϑ'. λδ'. μετὰ ὑπ. Βασιλείου τὸ κ' μόνου.
Ἰνδ. ι'. λε'. μετὰ ὑπ. Βασιλείου τὸ κα' μόνου.

Τούτῳ τῷ ε' καὶ λ' ἔτει τῆς Ἰουστινιανοῦ βασιλείας καὶ μετὰ ὑπατείας Βασιλείου τὸ κα' τῇ κ' τοῦ μαρτίου μηνός, ἰνδικτιῶνος ι', καὶ τρίτῳ ἔτει τλε' Ὀλυμπιάδος, ἐπληρώϑη τὰ φλβ' P 374
ἔτη τοῦ ἑορτιστικοῦ κύκλου τοῦ ἁγίου καὶ ζωοποιοῦ σταυροῦ, ἀφ' οὗ τὸν ὑπὲρ ἡμῶν ἑκούσιον καὶ ζωοποιὸν κατεδέξατο ϑάνατον Χριστὸς ὁ ἀληϑινὸς ϑεὸς ἡμῶν, καὶ ἡμεῖς οἱ χριστιανοὶ ἑορτάζειν ἠρξάμεϑα τὴν ἁγίαν αὐτοῦ ἀνάστασιν. καὶ ἄρχεται ἡ δευ- R 858
τέρα περίοδος τοῦ ἑορταστικοῦ κύκλου τῶν φλβ' ἐνιαυτῶν ἀπὸ V 298
εἰκοστῆς πρώτης καὶ αὐτῆς τοῦ μαρτίου μηνὸς τῆς ἐνεστώσης ἐπινεμήσεως, καϑ' ἣν ἡ ἰσημερία γνωρίζεται.

Τοῦ ἁγίου Γρηγορίου ἐκ τοῦ εἰς τὸ πάσχα λόγου.

Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, φησὶν ὁ ϑαυμάσιος Ἀμβακούμ, κἀγὼ μετ' αὐτοῦ σήμερον τῆς δεδομένης μοι παρὰ τοῦ B

4. 5. *Βασιλείου* bis om. R, in m. supplens. 7. ε' καὶ λ' ἔτει] πέμπτῳ ἔτει καὶ τριακοστῷ P. 8. ὑπατείαν P sola. *ib.* κ' τοῦ] εἰκοστῇ P. 12. οἱ om. P. 18. Ἀμβακούμ] II. 1.

558. xxxi. Ind. vi. Post Cons. Basilii XVII. solius. 2.
559. xxxii. Ind. vii. Post Cons. Basilii XVIII. solius. 3.

CCCXXXV. Olympias.

560. xxxiii. Ind. viii. Post Cons. Basilii XIX. solius. 4.
561. xxxiv. Ind. ix. Post Cons. Basilii XX. solius. 1. 335.
562. xxxv. Ind. x. Post Cons. Basilii XXI. solius. 2.

Hoc quinto et trigesimo Justiniani Imperatoris anno, et post Consulatum Basilii XXI. Martii mensis die xx. et Indict. x. anno iii. Olympiadis cccxxxv. completi sunt anni dxxxii. Paschalis Cycli sanctae et vivificae Crucis, in qua Christus verus Deus noster voluntariam et vivificam mortem pro nobis subiit, ex quo nos Christiani celebrare coepimus sanctam ipsius Resurrectionem. Et incipit secunda Cycli Paschalis periodus annorum dxxxii. a vicesima prima die Martii praesentis Indictionis, qua quidem die aequinoctium incipit.

SANCTI GREGORII
ex oratione de Pascha.

„*Super custodiam meam stabo*, inquit admirandus Habacuc. Atque ego hodierna die cum ipso, concessa mihi Spiritus sancti facultate et con-

πνεύματος ἐξουσίας καὶ θεωρίας, καὶ ἀποσκοπεύσω καὶ γνώσομαι τί ὀφθήσεται καὶ τί λαληθήσεταί μοι. καὶ ἔστην καὶ ἀπεσκόπευσα. καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ τῶν νεφελῶν, καὶ οὗτος ὑψηλὸς σφόδρα, καὶ ἡ ὅρασις αὐτοῦ ὡς ὅρασις ἀγγέλου, καὶ ἡ στολὴ αὐτοῦ ὡς φέγγος ἀστραπῆς διερχομένης. καὶ ἐπῆρεν τὴν χεῖρα αὐτοῦ κατὰ ἀνατολάς, καὶ ἐβόησεν φωνῇ μεγάλῃ· φωνὴ αὐτοῦ ὡς φωνὴ σάλπιγγος, καὶ κύκλῳ αὐτοῦ ὡς πλῆθος οὐρανίου στρατιᾶς. καὶ εἶπεν, Σήμερον σωτηρία τῷ κόσμῳ ὅσος τε ὁρατὸς καὶ ὅσος ἀόρατος. Χριστὸς ἐκ νεκρῶν, συνεγείρεσθε. Χριστὸς εἰς ἑαυτόν, ἐπανέρχεσθε. Χριστὸς ἐκ τάφων, ἐλευθερώθητε τῶν δεσμῶν τῆς ἁμαρτίας. πύλαι ᾅδου ἀνοίγονται, καὶ θάνατος καταλύεται, καὶ ὁ παλαιὸς Ἀδὰμ ἀποτίθεται. καὶ εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, ἀνακαινίζεσθε. ταῦτα ὁ μὲν ἔλεγεν. οἱ δὲ ἀνύμνουν ὅπερ καὶ πρότερον, ἡνίκα ἡμῖν ἐπεφάνη Χριστὸς διὰ τῆς κάτω γεννήσεως, τὸ Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· μεθ' ὧν καὶ αὐτὸς ἐν ὑμῖν ταῦτα φθεγγόμενος. εἴη δὲ καὶ φωνὴν λαβεῖν τῆς ἀγγελικῆς ἀξίαν καὶ πάντα περιηχοῦσαν τὰ πέρατα.

Λογιζέσθω ἡ ἀρχὴ τῆς ἀποκαταστάσεως, ἤγουν περιόδου τῶν φλβ' ἐνιαυτῶν ἀπὸ ε' ἔτους καὶ αὐτοῦ Φιλίππου τοῦ ἰουνίορος καὶ Φιλίππου υἱοῦ αὐτοῦ, ὑπατείας Δεκίου καὶ Γρατιανοῦ, καὶ α' ἔτους σνζ' Ὀλυμπιάδος, ἐξ οὗπερ τις ἀνιὼν ἐπὶ τὸ ιθ'

2. ἔστιν V, ἔστη P. 17. φθέγγομαι Gregorius p. 846. ed. Benedictin. ib. ἀξίας P. 20. ἰούνορος RV. 22. πρῶτον ἔτος P.

templatione, et contemplabor, et cognoscam, quod mihi spectaculum visendum, et quid dicendum sit mihi. *Et steti, et speculatus sum, et ecce vir conscendens nubes, et hic sublimis valde, et facies ejus, tamquam facies Angeli, et amictus ejus ut splendor fulguris pertranseuntis.* Et sustulit manum ad orientem, et clamavit voce magna, vox ejus quasi Vox buccinae, et in circuitu ejus, quasi multitudo caelestis exercitus. Et dixit: Hodie salus mundo tam visibili quam invisibili. Christus ex mortuis, una resurgite. Christus in seipsum, redite. Christus ex sepulchro, peccati vinculis solvimini. Portae inferi aperiuntur, et mors deletur, et vetus Adam deponitur. Et si qua est in Christo nova creatura, renovamini. Haec quidem ipse dicebat. Illi autem idem canebant quod ante, cum nobis apparuerit Christus per incarnationem, illud, *Gloria in altissimis Deo, et in terra pax, in hominibus bona voluntas*, cum quibus et ipse inter vos haec loquor: Utinam vocem Angelis parem, quae omnes mundi fines pervadat, accipiam."

Computetur principium reparationis, sive periodi annorum DXXXII. a quinto anno et ipsius Philippi Junioris, et Philippi filii ejus, et a Decii et Gratiani Consulatu, et primus annus CCLVII. Olympiadis, ex quo re-

ἔτος Τιβερίου Καίσαρος, ἦγουν δ' ἔτος σβ' Ὀλυμπιάδος, ἐν ᾧ γέγονεν τὸ σωτήριον πάθος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὑρήσει χρόνον ἐτῶν σιη'. κατιὼν δὲ ἐπὶ τὸ η' ἔτος Κωνσταντίνου τοῦ μεγίστου βασιλέως, καθ' ὃ ἡ πρώτη ἴνδικτος ἐτέθη ἐν ὑπατείᾳ Βολουσιανοῦ καὶ Ἀνιανοῦ, συνάξει ἔτη ξε'. ἀπὸ δὲ θ' ἐτους Κωνσταντίνου καὶ μέχρι τῆς ἐνεστώσης ι' ἰνδικτιῶνος, ἐτους λε' τῆς βασιλείας Ἰουστινιανοῦ ἐν ὑπατείᾳ Βασιλειου τὸ κα' μόνου, ἀθροίσει χρόνον ἐτῶν σμθ', ὡς ὁμοῦ εἶναι τὰ ἀπὸ τοῦ σωτηρίου πάσχα μέχρι τοῦ ἐνεστῶτος λε' ἔτους τῆς Ἰουστινιανοῦ βασιλείας καὶ γ' ἔτους τλε' Ὀλυμπιάδος ἔτη φλβ'. P 375 R 860

Ἰνδ. ια'. λς'. μετὰ ὑπ. Βασιλείου τὸ κβ' μόνου.

Τούτῳ τῷ λς' ἔτει τῆς Ἰουστινιανοῦ βασιλείας μηνὶ ἀπελλαίῳ, κατὰ Ῥωμαίους δεκεμβρίου κδ', ἡμέρᾳ πρώτῃ τῆς ιβ' ἰνδικτιῶνος, ἡ τῶν ἐγκαινίων τῆς ἁγίας τοῦ θεοῦ μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως τὸ δεύτερον ἐπετελέσθη ἑορτή. B

τλς' Ὀλυμπιάς.

Ἰνδ. ιβ'. λζ'. μετὰ ὑπ. Βασιλείου τὸ κγ' μόνου.

Ἰνδ. ιγ'. λη'. μετὰ ὑπ. Βασιλείου τὸ κδ' μόνου. V 299

Ἰνδ. ιθ'. λδ'. μετὰ ὑπ. Ἰουστίνου νέου τὸ β' μόνου.

2. τὸ om. P. 3. εὑρήσεις P. 5. συνάξεις P sola. 8. ἀθροίσεις P. 12. ἔτει λς' P. *ib.* ἀπηλλαίῳ PV. 15. ἀπετελέσθη P.

grediens ad XIX. Tiberii Caesaris annum, sive ad IV. Olympiadis CCII. quo salutaris Domini nostri Jesu Christi passio contigit, invenies tempus annorum CCXVIII. Descendens vero ad annum VIII. Constantini Maximi Imperatoris, quando prima Indictio posita est in Consulatn Volusiani et Aniani, colliges annos LXV. A nono autem anno Constantini, usque ad praesentem Indictionem X. anni XXXV. imperii Justiniani in Consulatu Basilii XXI. solius, conficies annos CCXLIX. ita ut simul collecti a salutari Paschate usque ad praesentem XXXV. annum Justiniani Imperatoris, et III. annum Olympiadis CCCXXXV. putentur anni DXXXII. Anniam.c.

A. C. [Ol. Iph.]

563. XXXVI. Ind. XI. Post Cons. Basilii XXII. solius. 3. 6071.

Hoc Justiniani imperii anno XXXVI. mense Apelleo, sive secundum Romanos, Decemb. XXIV. feria I. Indictionis XII. Encaeniorum seu Dedicatio Sanctae Dei Magnae Ecclesiae Constantinopolitanae secundo celebrata est Festivitas.

CCCXXXVI. Olympias.

564. XXXVII. Ind. XII. Post Cons. Basilii XXIII. solius. 4.

565. XXXVIII. Ind. XIII. Post Cons. Basilii XXIV. solius. 1. 336.

566. XXXIX. Ind. XIV. Post Cons. Justini Junioris II. solius. 2.

Τούτῳ τῷ ἔτει τῇ ιδ' τοῦ νοεμβρίου μηνὸς ἰνδικτιῶνος ιε'
C *ἐτελεύτησεν Ἰουστινιανός, καὶ ἐβασίλευσεν Ἰουστῖνος νέος Αὔγουστος ἔτη ια', μῆνας η'.* *ὁμοῦ ,ςπζ'.*

Ἰνδ. ιε'. α'. μετὰ β' ὑπ. Ἰουστίνου νέου Αὐγούστου μόνου.

τλζ' Ὀλυμπιάς.

D *Ἰνδ. α'. β'. μετὰ β' ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ β' μόνου.*

Ἰνδ. β'. γ'. μετὰ β' ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ γ' μόνου.

Ἰνδ. γ'. δ'. μετὰ β' ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ δ' μόνου.

Ἰνδ. δ'. ε'. μετὰ β' ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ ε' μόνου.

τλη' Ὀλυμπιάς.

Ἰνδ. ε'. ς'. μετὰ β' ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ ς' μόνου.

3. Post ὁμοῦ ,ςπζ' addit P *Ἦν δὲ ἡ ἰδέα Ἰουστινιανοῦ τοῦ βασιλέως κονδοειδὴς (κωνοειδὴς P), εὔστηθος, λευκός, ὀλιγόθριξ, ἀναφαλάς, στρογγύλοψ, εὔμορφος, ἀνθηροπρόσωπος, ὑπογελῶν, μιξοπόλιος τὴν κάραν, τὸ γένειον κηρόν* (leg. *κείρων*), *ὡς οἱ Ῥωμαῖοι, εὔρινος, ὑπόλευκος* *), quae in margine ascribit V. 4. Ante hunc versum ponit P *τέλος Ἰουστινιανοῦ*. Tum *β'* post *μετὰ* octies om. P.

6086. Hoc anno, XIV. die mensis Novembris, Indict. XV. mortuus est Justinianus, et imperavit Justinus Junior Augustus anno XI. menses VIII. Collig. an. VI. MLXXXVII.

FINIS JUSTINIANI.

567. I. Ind. XV. Post Cons. Justini Junioris Augusti solius. 3.

CCCXXXVII. Olympias.

568. II. Ind. I. Post Cons. Justini Junioris Augusti II. solius. 4.
569. III. Ind. II. Post Cons. Justini Junioris Augusti III. solius. 1. 337.
570. IV. Ind. III. Post Cons. Justini Junioris Augusti IV. solius. 2.
571. V. Ind. IV. Post Cons. Justini Junioris Augusti V. solius. 3.

CCCXXXVIII. Olympias.

572. VI. Ind. V. Post Cons. Justini Junioris Augusti VI. solius. 4.

*) Erat Justinianus Imperator forma habituque corporis turbinali, pectorosus, candidus, raro capillo, recalvaster, facie tereti, formosus, florido aspectu, subridens, subcano capite, mento Romanorum more raso, naso justo, subalbus.

Ἰνδ. ς'. ζ'. μετὰ β' ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ ζ' μόνου. P 376 R 862

Ἰνδ. ζ'. η'. μετὰ β' ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ η' μόνου.

Τούτῳ τῷ η' ἔτει τῆς αὐτοῦ βασιλείας μηνὶ σεπτεμβρίῳ ζ' τῆς η' ἰνδικτιῶνος ἠσθένησεν Ἰουστῖνος Αὔγουστος, καὶ ἐποίησεν Τιβέριον Καίσαρα, μετονομάσας αὐτὸν Κωνσταντῖνον, καὶ διετέλεσε σὺν αὐτῷ Καῖσαρ ὢν ἔτη τέσσαρα.

Ἰνδ. η'. ϑ'. μετὰ β' ὑπ. Ἰουστίνου Αὐγούστου τὸ ϑ' μόνου.

τλϑ' Ὀλυμπιάς. B

Ἰνδ. ϑ'. ι'. μετὰ β' ὑπ. Ἰουστίνου Αὐγούστου τὸ ι' μόνου.

Ἰνδ. ι'. ια'. μετὰ β' ὑπ. Ἰουστίνου Αὐγούστου τὸ ια' μόνου.

Ἰνδ. ια'. ιβ'. μετὰ β' ὑπ. Ἰουστίνου Αὐγούστου τὸ ιβ' μόνου.

Τούτῳ τῷ ιβ' ἔτει τῆς Ἰουστίνου βασιλείας μηνὶ σεπτεμβρίῳ κς' τῆς ιβ' ἰνδικτιῶνος ἐτελεύτη ὑπ' αὐτοῦ Τιβέριος νέος Κωνσταντῖνος, καὶ τῇ ε' τοῦ μετ' αὐτὸν ὀκτωβρίου μηνὸς τελευτᾷ Ἰουστῖνος Αὔγουστος.

Καὶ ἐμονάρχησεν Τιβέριος Κωνσταντῖνος ἕτερα ἔτη δ'. C ὁμοῦ ,ςϟα'.

Ἰνδ. ιβ'. α'. ὑπ. Τιβερίου νέου Κωνσταντίνου Αὐγούστου τὸ α'.

5. ἔτει η' P. 9. β' quater om. P. *ib.* Αὐγούστου] Νέου P. 11. Νέου Αὐγούστου ter P. 14. ἔτει ιβ' P. 20. Ante Ἰνδ. ponit Τιβέριος P. *ib.* ὑπ.] μετὰ ὑπ. P.

A. C. [Ol. Iph.]

573. VII. Ind. VI. Post Cons. Justini Junioris Augusti VII. solius. 1. 338. Anni a m. c.

574. VIII. Ind. VII. Post Cons. Justini Junioris Augusti VIII solius. 2. 6081.

Hoc anno illius imperii VIII. mense Septembri, die VII. Indict. VIII. morbo correptus est Justinus Augustus, et Tiberium Caesarem dixit, nomine Constantini indito: vixitque illo cum eo, Caesaris insignitus dignitate, annos quatuor.

575. IX. Ind. VIII. Post Cons. Justini Jnnioris IX. solius. 3.

CCCXXXIX. Olympias.

576. X. Ind. IX. Post Cons. Justini Junioris X. solius. 4.

577. XI. Ind. X. Post Cons. Justini Junioris XI. solius. 1. 339.

578. XII. Ind. XI. Post Cons. Justini Junioris XII. solius. 2.

Hoc anno XII. Justini imperii, mense Septembri, die XXVI. Indictione XII. coronatus est ab eo Tiberius Novus Constantinus: et V. die mensis Octobris moritur Justinus Augustus.

Et solus imperavit Tiberius Constantinus alios annos IV. Colliguntur anni VI. MXCI. 6090.

TIBERIUS.

579. I. Ind. XII. Post Cons. Tiberii Novi Constantini Augusti I. 3.

V 800 τμ' Ὀλυμπιάς.

Ἰνδ. ιγ'. β'. μετὰ ὑπ. Τιβερίου νέου Κωνσταντίνου.

Ἰνδ. ιδ'. γ'. μετὰ ὑπ. Τιβερίου νέου Κωνσταντίνου τὸ β' μόνου.

D Ἰνδ. ιε'. δ'. μετὰ ὑπ. Τιβερίου νέου Κωνσταντίνου τὸ γ' μόνου. 5

Τούτῳ τῷ δ' ἔτει τῆς αὐτοῦ μοναρχίας ἠσθένησε Τιβέριος Καῖσαρ, καὶ τῇ πέμπτῃ τοῦ αὐγούστου μηνὸς τῆς παρούσης ιε' ἰνδικτιῶνος ἐγένετο Καῖσαρ Μαυρίκιος Τιβέριος· καὶ τῇ δεκάτῃ τρίτῃ τοῦ αὐγούστου μηνὸς ἐστέφθη βασιλεύς, δοθείσης αὐτῷ 10 παρὰ Τιβερίου νέου Κωνσταντίνου τῆς θυγατρὸς αὐτοῦ Κωνσταντίνης εἰς γυναῖκα· καὶ τῇ ιδ' τοῦ αὐτοῦ αὐγούστου μηνὸς τε-
R 864 λευτᾷ Τιβέριος νέος Κωνσταντῖνος ἐν προκέσῳ τοῦ Ἑβδόμου· καὶ ἐνεχθέντος τοῦ λειψάνου αὐτοῦ πλοῖ ἐν Κωνσταντινουπόλει,
P 377 τῇ ἐξῆς ἡμέρᾳ ἐκηδεύθη καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ εἰς τοὺς 15 ἁγίους Ἀποστόλους.

Εἶτα ἐβασίλευσε Μαυρίκιος ἔτη κ'. ὁμοῦ ϛριά'.

Ἰνδ. α'. α'. ἐνιαυτὸς ἀνύπατος. καὶ ἐκ κοινοῦ δόγματος ἐγράφη, μετὰ ὑπατείαν Τιβερίου Κωνσταντίνου τοῦ τῆς θείας λήξεως ἔτους δ'. 20

2. 3. 5. β'. γ'. δ'.] α'. β'. γ'. R. ib. μετὰ om. P. 3. Κωνσταντίνου Αὐγούστου R. 7. ἔτει τετάρτῳ P. 12. αὐτοῦ om. P. 14. πλοεῖ RV. ib. ἐν om. R. 18. α'] α' πρῶτος P sola.

Anni a m. c. *CCCXL. Olympias.*

580. II. Ind. XIII. Tiberio Novo Constantino Cons. 4.
581. III. Ind. XIV. Post Cons. Tiberii Novi Constantini II. solius. 1. 340.
582. IV. Ind. XV. Post Cons. Tiberii Novi Constantini III. solius. 2.

Hoc anno IV. illius Monarchiae, aegrotavit Tiberius Caesar, et V. Augusti mensis praesentis Indictionis, creatus est Caesar Mauricius Tiberius: ac XIII. ejusdem mensis Augusti coronatus est Imperator, data illi a Tiberio Novo Constantino ipsius filia Constantina: et XIV. ejusdem mensis Augusti die moritur Tiberius Novus Constantinus in suburbano Hebdomi: ejusque funere navigio Constantinopolim delato, postero die celebratae sunt exequiae, illiusque corpus in aede Sanctorum Apostolorum depositum est.

A. C. [Ol. Iph.]

Deinde imperavit Mauricius annos XX. Colliguntur anni VI. MCXI.

6091. 583. I. Ind. I. Primus annus Consulibus caruit: et ex communi sententia scriptum est, *Post Consulatum Tiberii Constantini divae memoriae anno* IV.

τμα' Ὀλυμπιάς.

Ἰνδ. β'. β'. ὑπ. Μαυρικίου Αὐγούστου τὸ α' μόνου.

Ἰνδ. γ'. γ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου μόνου. B

Ἰνδ. δ'. δ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ β' μόνου.

Ἰνδ. ε'. ε'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ γ' μόνου.

τμβ' Ὀλυμπιάς.

Ἰνδ. ς'. ς'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ δ' μόνου.

Ἰνδ. ζ'. ζ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγυύστου τὸ ε' μόνου.

Ἰνδ. η'. η'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ ς'. C

Τούτῳ τῷ ἐνιαυτῷ τῇ πασχαλίᾳ ἑορτῇ Μαυρίκιος Τιβέριος ἔστεψε Θεοδόσιον τὸν ἴδιον υἱὸν εἰς βασιλέα. οὐ μέντοι ἐτάγη εἰς συμβόλαια ἢ ἄλλο τι ἐπράχθη ἐπ' αὐτῷ τῶν εἰς γνώρισμα βασιλέως, ἀλλ' ἢ μόνον ἐστέφθη.

Ἰνδ. θ'. θ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ζ'.

Τούτῳ τῷ ἐνιαυτῷ Χοσρόης ὁ Περσῶν βασιλεὺς ἦλθε πρὸς Ῥωμαίους, ἀνταρσίαν ὑπομείνας ἀπὸ Βαράμ τοῦ αὐτῷ συμφυλέτου· καὶ διὰ συμμαχίας Ῥωμαϊκῆς ἀπεκατέστη εἰς τὴν ἑαυτοῦ D βασιλείαν.

2. μετὰ ὑπ. P. ib. Μαυρικίου Τιβερίου P. 12. μόνου om. R.
13. ς' μόνου P sola. 20. αὐτὸ V, αὐτοῦ P.

CCCXLI. Olympias.

584. II. Ind. II. Post Cons. Mauricii Tiberii Augusti I. solius. 3.
585. III. Ind. III. Post Cons. Mauricii Tiberii Augusti solius. 4.
586. IV. Ind. IV. Post Cons. Mauricii Tiberii Augusti II. solius. 1. 341.
587. V. Ind. V. Post Cons. Mauricii Tiberii Augusti III. solius. 2.

CCCXLII. Olympias.

588. VI. Ind. VI. Post Cons Mauricii Tiberii Augusti IV. solius. 3.
589. VII. Ind. VII. Post Cons. Mauricii Tiberii Augusti V. solius. 1. 342.
590. VIII. Ind. VIII. Post Cons. Mauricii Tiberii Augusti VI solius. 2.

Hoc anno, festo Paschatis, Mauricius Tiberius coronavit filium suum Theodosium in Imperatorem. Neque tamen illius appositum nomen in publicis commentariis, vel quidpiam in eo actum, quo dignosci solent Imperatores, sed est duntaxat corona donatus,

591. IX. Ind. IX. Post Cons. Mauricii Tiberii Augusti VII. 3.

Hoc anno, Chosdroes Persarum Rex, Varamo ejus contribuli in eum rebellante, ad Romanos confugit, iisdemque auxiliantibus in regnum suum est restitutus.

τμγ' Ὀλυμπιάς.

Ἰνδ. ι'. ι'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ η'.

Τούτῳ τῷ ἐνιαυτῷ Ἀναστάσιος πατριάρχης Ἀντιοχείας
V 301 ἐπανῆλθεν ἐν Ἀντιοχείᾳ μετὰ τελευτὴν Γρηγορίου, πατριάρχου γενομένου, τοῦ καὶ διαδεξαμένου πρὸ τούτου τὸν αὐτὸν Ἀναστάσιον.

Ἰνδ. ια'. ια'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ θ'.

P 378 Ἰνδ. ιβ'. ιβ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ ι'.
R 866

Τῆς ἐν Κωνσταντινουπόλει ἁγιωτάτης ἐκκλησίας Κυριακός, πρεσβύτερος καὶ οἰκονόμος τῆς αὐτῆς ἐκκλησίας, ἡγεῖται ἔτη ιβ'.

Ἰνδ. ιγ'. ιγ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ ια'.

τμδ' Ὀλυμπιάς.

Ἰνδ. ιδ'. ιδ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιβ'.

B Ἰνδ. ιε'. ιε'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιγ'.

Ἰνδ. α'. ις'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιδ'.

Ἰνδ. β'. ιζ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιε'.

τμε' Ὀλυμπιάς.

Ἰνδ. γ'. ιη'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ις'.

3 ἐνιαυτῷ] ἔτει P. 7. Τιβερίου Αὐγούστου P. 10. οἰκονόμενος V.

CCCXLIII. Olympias.

Anni a m. c. 6102. 592. x. Ind. x. Post Cons. Mauricii Tiberii VIII. 4.
Hoc anno, Anastasius Antiochiae Patriarcha, post mortem Gregorii, qui Patriarcha extiterat, et antea eundem Anastasium expulerat, Antiochiam reversus est.

593. xi. Ind. xi. Post Cons. Mauricii Tiberii Augusti IX. 1. 343.
A. C. [Ol. Iph.]

594. xii. Ind. xii. Post Cons. Mauricii Tiberii Augusti X. 2.
Sanctissimae Constantinopolitanae Ecclesiae Patriarcha Cyriacus, Presbyter et Oeconomus ejusdem Ecclesiae, praefuit annis xii.

595. xiii. Ind. xiii. Post Cons. Mauricii Tiberii Augusti XI. 3.

CCCXLIV. Olympias.

596. xiv. Ind. xiv. Post Cons. Mauricii Tiberii XII. 4.
597. xv. Ind. xv. Post Cons. Mauricii Tiberii XIII. 1. 344.
598. xvi. Ind. i. Post Cons. Mauricii Tiberii XIV. 2.
599. xvii. Ind. ii. Post Cons. Mauricii Tiberii XV. 3.

CCCXLV. Olympias.

600. xviii. Ind. iii. Post Cons. Mauricii Tiberii XVI. 4.

Ἰνδ. δ'. ιϑ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιζ'.
Ἰνδ. ε'. κ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιή'. C

Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ φεβρουαρίῳ γέγονεν ὁ γάμος Θεοδοσίου τοῦ υἱοῦ Μαυρικίου ἐπὶ ἡμέρας ἑπτά, ἀπὸ ϑ' καὶ αὐτῆς ἕως ιέ' τοῦ αὐτοῦ φεβρουαρίου μηνός. καὶ τῇ ς' τοῦ ἰουλίου μηνὸς τῆς αὐτῆς ε' ἰνδικτιῶνος ἡδίκτου προτεθέντος ἐγράφη τῷ λοιπῷ μέρει τοῦ χρόνου τοῦ μέχρι δηλονότι ἰανουαρίου τῆς ἕκτης ἰνδικτιῶνος οὕτως· καὶ ὑπατείας τοῦ αὐτοῦ εὐσεβεστάτου ἡμῶν δεσπότου τὸ δεύτερον. καὶ τῷ νοεμβρίῳ μηνὶ τῆς αὐτῆς ς' ἰνδικτιῶνος ἐπανάστασις γέγονε Μαυρικίῳ παρὰ Φωκᾶ στρατιώτου μετὰ τοῦ στρατοῦ. καὶ Μαυρίκιος μὲν Τιβέριος σὺν τῇ γυ- D
ναικὶ Κωνσταντίνῃ καὶ παισὶν ϑ', τουτέστιν ς' μὲν ἄρρεσι, Θεοδοσίῳ, Τιβερίῳ, Πέτρῳ, Παύλῳ, Ἰουστίνῳ καὶ Ἰουστινιανῷ, καὶ τρισὶ ϑηλείαις, Ἀναστασίᾳ, Θεοκτίστῃ καὶ Κλεοπάτρᾳ, φεύγει τῇ κβ' τοῦ δίου μηνός, κατὰ Ῥωμαίους νοεμβρίου, τῇ νυκτὶ τῇ ἐπὶ κγ' διαφαούσης παρασκευῆς. Φωκᾶς δὲ τῇ κγ' τοῦ αὐτοῦ μηνὸς ἡμέρᾳ ς' στεφϑεὶς ὑπὸ Κυριακοῦ πατριάρχου Κωνσταντινουπόλεως εἰς τὸν σεβάσμιον οἶκον τοῦ ἁγίου Ἰωάννου ἐν τῷ Ἑβδόμῳ τῇ κέ τοῦ ῥηϑέντος μηνός, ἡμέρᾳ κυριακῇ, εἰσῆλϑεν ἐν Κωνσταντινουπόλει, καϑεσϑεὶς εἰς ὄχημα, ἀπὸ τοῦ Ἑβδόμου εἰσελϑὼν διὰ τῆς Χρυσῆς πόρτας καὶ τῶν Τρωαδησίων P 379
ἐμβόλων καὶ τῆς μέσης ὅλης ἕως τοῦ παλατίου, μηδενὸς ὅλως ἀντιστάντος, ἀλλὰ πάντων εὐφημούντων.

9. ς' om. P. 15. φεύγων P.

601. XIX. Ind. IV. Post Cons. Mauricii Tiberii XVII. 1. 345.
602. XX. Ind. V. Post Cons. Mauricii Tiberii XVIII. 3.

Hoc anno, mense Februario, solemnia nuptiarum Theodosii filii Mauricii per VII. dies peracta sunt, ab XI. scilicet die, ad XV. ejusdem mensis Februarii. Sexto deinde Julii mensis die ejusdem V. Indictionis, proposito edicto, scriptum est reliqua parte anni, nempe usque ad Januarium VI. Indictionis, sic: *Et Consulatu ejusdem piissimi Domini nostri secundo.* Et Novembri mense ejusdem Indictionis, Focas miles una cum exercitu in Mauricium tyrannidem arripuit: ac Mauricius Tiberius cum uxore Constantina, et novem liberis, sex masculis, nempe Theodosio, Tiberio, Petro, Paulo, Justino, et Justiniano: et tribus filiabus, Anastasia, Theoctiste, et Cleopatra, fugit XXII. mensis Dii, secundum Romanos Novembris, noctu, illucescente jam XXIII. die feriae sextae. Focas autem XXIII. ejusdem mensis, feria VI. coronatur a Cyriaco Patriarcha Constantinopolitano in veneranda aede Sancti Joannis in Hebdomo. Die vero XXV. praedicti mensis, qui in Dominicam incidit, ab Hebdomo per Portam Auream, et Porticus Troadenses, et per totam Mediam plateam, obstante nemine, imo cunctis fausta apprecantibus, curru vectus Constantinopolim ingressus est.

R 868 Ἐκρατήθη δὲ Μαυρίκιος Τιβέριος μετὰ τῆς γυναικὸς καὶ ὀκτὼ τέκνων αὐτοῦ εἰς τὸν ἅγιον Αὐτόνομον, πλησίον Πραινέτου· καὶ τῇ κζ τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ τρίτῃ, ἐσφάγη πλησίον Χαλκηδόνος αὐτὸς Μαυρίκιος καὶ Τιβέριος καὶ Πέτρος, Ἰουστῖ-
V 302 νος καὶ Ἰουστινιανός, καὶ Πέτρος δὲ ὁ ἀδελφὸς Μαυρικίου, κουροπαλάτης ὤν, συσχεθεὶς καὶ αὐτὸς ἐσφάγη, καὶ ἄλλοι δὲ συνεσχέθησαν ἄρχοντες. ἐσφάγησαν δὲ εἰς Διαδρόμους πλησίον
B τοῦ Ἀκρίτα Κωνσταντῖνος ὁ Λάρδυς, ἀπὸ ἐπάρχων γενόμενος πραιτωρίων καὶ λογοθέτης καὶ κουράτωρ τῶν Ὁρμίσδου, καὶ Θεοδόσιος ὁ υἱὸς Μαυρικίου, καὶ Κομεντίολος ὁ πατρίκιος καὶ στρατηλάτης καὶ αὐτὸς ἐσφάγη πέραν πλησίον τοῦ ἁγίου Κόνωνος πρὸς θάλασσαν, καὶ τὸ σῶμα αὐτοῦ ἐγένετο κυνόβρωτον.

Καὶ ἀπὸ κε τοῦ αὐτοῦ νοεμβρίου μηνὸς εἰς τὸν λοιπὸν χρόνον, τὸν μέχρι δηλονότι ἰανουαρίου μηνὸς τῆς παρούσης ϛ ἰνδικτιῶνος, ἐγράφη ἐν τοῖς συμβολαίοις, βασιλείας Φωκᾶ ἔτους α. ἐβασίλευσεν δὲ ὁ αὐτὸς Φωκᾶς ἔτη η. ὁμοῦ ϛριθ.

4. Μαυρίκιος Τιβέριος P. 6. ἐσφάγη — 7. ἄρχοντες om. P. 8. Λάρδις P. 13. μηνὸς νοεμβρίου P. 16. Post ϛριθ addit P quae V in margine ab alia manu: Περὶ τεράτων, ἐκ τοῦ μεγάλου χρονογράφου (de quo conf. annot. ad p. 336. B). Μαυρίκιος ὁ βασιλεὺς τῷ στρατηγῷ Κομεντιόλῳ (στρατῷ Κομεντιόλου R) ὑπέθετο τὸ Ῥωμαϊκὸν στράτευμα παραδοῦναι πολεμίοις δι' ἀταξίας αὐτῶν. ὅστις νυκτὸς μεσούσης τοῦτο ἐποίησε, καὶ κελεύει τὸν στρατὸν ὁπλίσασθαι, μὴ παραγυμνώσας τοῖς ὄχλοις μέλλειν συστήσασθαι πόλεμον. αὐτοὶ δὲ ὑπειληφότες ὅτι (ὅτι in V non satis apparet) τοῦ

Comprehensus est autem Mauricius Tiberius cum uxore et octo liberis versus Sanctum Autonomum juxta Praenetum: et XXVII. ejusdem mensis die, feria III. interfectus est juxta Chalcedonem idem Mauricius Tiberius, una cum Petro, Justino, et Justiniano: Petrus etiam Curopalata, Mauricii frater, qui pariter captus fuerat. Interfecti perinde ad Diadromos juxta Acritam Constantinus Lardis Ex-Praefecto Praetorio et Logotheta et Curator Palatii Hormisdae, et Theodosius Mauricii filius. Ipse etiam Commentiolus Patricius et Magister militum caesus est trans urbem juxta aedem sacram Sancti Cononis, versus mare, illiusque corpus canibus vorandum est expositum.

Et a die XXV. ejusdem mensis in reliquum annum, scilicet usque ad mensem Januarium praesentis VI. Indictionis, adscriptum est in publicis commentariis, *Imperii Focae anno primo.* Imperavit vero idem Focas annos VIII. Collig. anni VI. MCXIX.

*) DE PRODIGIIS, EX MAGNO CHRONOGRAPHO.

Mauricius Imperator dedit in mandatis Duci Commentiolo ut Romanum exercitum hostibus proderet, propter crebras illius seditiones: idque ille sub mediam noctem aggressus, imperavit ut milites arma sumerent, nec iis significavit fore ut cum hoste confligerent. Ii rati exercitationis

Ἰνδ. ς'. α'. ὑπ. Φωκᾶ Αὐγούστου μόνου. P 380
R 870

Τούτῳ τῷ ἔτει Κωνσταντῖνα ἡ ἀπὸ βασιλισσῶν ἐβλήθη ἐν μοναστηρίῳ. καὶ γεγόνασι κληρικοὶ Φιλιππικὸς ὁ πατρίκιος καὶ κόμης ἐξκουβιτόρων καὶ Γερμανὸς ὁ πατρίκιος, πενθερὸς γενόμενος Θεοδοσίου τοῦ υἱοῦ Μαυρικίου. εἶτα στάσεως δημοτικῆς γενομένης ἐκαύθη ἡ μέση ἀπὸ τῶν Λαύσου καὶ τὸ πραιτῶριν τοῦ ἐπάρχου τῆς πόλεως ἕως τῆς Ἄρκας ἄντικρυ τοῦ φόρου Κωνσταντίνου τοῦ τῆς θείας λήξεως, ὄντος ἐπάρχου πόλεως Λεοντίου τοῦ ἀπὸ κουρατόρων τῶν Ἀντιόχου. ἐκαύθη δὲ εἰς τὴν μέσην μεταξὺ τοῦ πραιτωρίου τοῦ ἐπάρχου τῆς πόλεως καὶ τοῦ B

γυμνασίου ἕνεκεν σιδηροφορεῖν αὐτοῖς ἐκέλευσεν, οὐ πρὸς πόλεμον, ὡς ἔδει, ὑπλίσαντες (ὥπλισαν ἑαυτοὺς m. R, ὑπλίσαντο m. P). ὅθεν καὶ ἡμέρας γενομένης θόρυβος τὸν στρατὸν κατέλαβεν, καὶ τοῦ στρατοῦ τὰς τάξεις ταράσσοντες οἱ βάρβαροι ἀστρατήγητον τὸν λαὸν εὑρόντες τοὺς μὲν ἀνηλεῶς κατέσφαξαν, τοὺς δὲ ἀνδραποδώδεις καὶ πολλοὺς αἰχμαλώτους τῆς Θράκης ἐποιήσαντο εἶτα τοὺς αἰχμαλώτους ἀναλαβὼν ὁ βάρβαρος Χαγάνος τῷ βασιλεῖ ἐδίδου λύτρον ὑπὲρ αὐτῶν κατὰ ψυχῆς νόμισμα αἰτήσας. ὁ δὲ μνησικακῶν τῷ ἰδίῳ στρατῷ δοῦναι οὐκ ἠνέσχετο. καὶ πάλιν ὁ Χαγάνος ᾐτήσατο αὐτὸν (τὸ ἥμισυ addit P) νόμισμα (ἀντὶ addit m. R) ἑκάστης ψυχῆς λαβεῖν. τοῦ δὲ μηδὲ τέσσαρα κεράτια λαβεῖν τοὺς αἰχμαλώτους ἀπολογησαμένου, θυμωθεὶς ὁ Χαγάνος πάντας ἀπέκτεινεν· φόρους ἐπέθετο τοῖς Ῥωμαίοις χιλιάδας ν'. καὶ ὑπὲρ τοῦ τοιούτου ἀνοσιουργήματος ὑπέσχε δίκην σφαγῆς, ἐρρηγμένος σὺν γυναιξὶ (τε addit P) καὶ τέκνοις καὶ τοῖς προσήκουσιν. 6. πραιτώριον P. 10. μεταξὺ] τάξιν P.

603. I. Ind. VI. Foca Augusto solo Cos. 3. Anni a m. c.

Hoc anno Constantina Ex-Imperatrice in monasterium trusa est. 6111.
Philippicus Patricius et Comes Excubitorum, et Germanus Patricius, Theodosii, Mauricii filii, socer, in Clericos sunt attonsi. Seditione deinde populari mota, conflagravit Media urbis platea a Palatio Lausi, et Praetorium Praefecti Urbi, usque ad Arcam, e regione Fori Constantini divae memoriae, cum esset Praefectus Urbi Leontius Ex-Curatore Palatii Antiochi. Igne etiam consumptus est inter Praetorii Praefecti Urbi et

causa arma esse imperata, non vero ad praelium ineundum, minime ut res exigebat se armarunt. Unde appetente die, tumultus et pavor exercitum occupavit. Barbari autem turbatis ordinibus milites absque duce nacti, alios crudeliter mactarunt, alios in servitutem, multos denique ex Thracia in captivitatem abduxerunt. Chaganus barbarus receptis captivis, hos Imperatori reddendos obtulit, si in singula capita aureum vellet exsolvere. At Imperator iratus suis militibus, id negavit. Rursum Chaganus in singula capita dimidium duntaxat aureum exegit. Imperatore vero ne quatuor quidem ceratiis captivos redempturum se respondente, ira succensus Chaganus omnes occidit, et Romanis tributum quinquaginta millium aureorum imposuit. Hujus igitur inhumani impiique facinoris causa imperator poenas dedit, cum uxore, liberis, et propinquis interemptus.

φόρου ὁ διοικητὴς τοῦ Πρασίνου μέρους Ἰωάννης ὁ ἐπίκλην Κροῦκις.

τμς' Ὀλυμπιάς.

Ἰνδ. ζ'. β'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου.

V 303 Ἰνδ. η'. γ'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ α'.

Τούτῳ τῷ ἔτει μηνὶ δαισίῳ, κατὰ Ῥωμαίους Ἰουνίῳ, ἡ-
C μέρᾳ ζ' ἀποτέμνεται Θεόδωρος ὁ ἔπαρχος πραιτωρίων, Ἰωάννης ἀντιγραφεύς, Ῥωμανὸς σχολαστικός, Θεοδόσιος σουβαδιουβᾶ τοῦ μαγίστρου, Πατρίκιος ἰλλούστριος, ἀνεψιὸς Δομνιζιόλου κουράτορος γενομένου τῶν Ὁρμίσδου, Ἰωάννης καὶ Τζίττας σπαθάριοι καὶ κανδιδᾶτοι, Ἀθανάσιος κόμης λαργιτιώνων, Ἀνδρέας ἰλλούστριος ὁ ἐπίκλην τοῦ Σκόμβρου, καὶ Ἐλπίδις ἰλλούστριος. οὗτος ἐγλωσσοτομήθη, καὶ ἐπήρθη αὐτοῦ τὰ δ' ἄκρα, καὶ εἰς κραβατταρίαν ἐπόμπευσεν καὶ κατηνέχθη πρὸς θάλασσαν· καὶ ἐξορυχθέντων τῶν ὀφθαλμῶν αὐτοῦ βληθεὶς εἰς κάραβον ἐκαύθη. οἱ δὲ ἄλλοι οἱ προδηλοίμενοι ἀπετμήθησαν, ὡς εὑρεθέντες ἐπι-
D βουλοι τοῦ βασιλέως Φωκᾶ.

Κατὰ τὸν αὐτὸν δὲ χρόνον καὶ Κωνσταντῖνα ἡ ἀπὸ βασιλισσῶν ἀπετμήθη πέραν εἰς τὸν μῶλον τῶν Εὐτροπίου, πλησίον Χαλκηδόνος, καὶ τὰ ὑπολειφθέντα αὐτῆς τε καὶ Μαυρικίου θή-

8. ὁ σουβ. P. 9. Πατρίκιος P. ib. Δομνιζόλου P. 10. Τζίτας σπαθάριος P. 12. Ἐλπίδιος P. 16. εὑρηθέντες P. 18. δὲ om. P. 19. μῶλον τὸν P. 20. ὑπολιφθέντα PV.

Fori spatium, Joannes, cognomento Crucis, Dioecetes Factionis Prasinae.

CCCXLVI. Olympias.

604. II. Ind. VII. Post Cons. Focae Augusti. 4.
605. III. Ind. VIII. Post Cons. Focae Augusti I. 1. 346.

Hoc anno, mense Desio, secundum Romanos, Junio, die VII. capite plectitur Theodorus Praefectus Praetorio, Joannes Magister Scriniorum, Romanus Scholasticus, Theodosius Subadjuva Magistri, Patricius Illustris, consobrinus Domnizoli Curatoris Palatii Hormisdae, Joannes, et Tzitas Spatharius, et Candidati, Athanasius Comes Largitionum, Andreas Illustris cognomento Scombrus, et Elpidius Illustris. Huic exsecta est lingua, et quatuor extremis corporis patribus in lectulum sublatis, ad spectaculum circumductus, et ad mare relatus, ibique effossis oculis, in naviculam conjectus, concrematus est. Aliis vero supra memoratis capita sunt amputata, cum deprehensi essent conspirasse in Imperatorem Focam.

Eadem tempestate, Ex-Imperatrice Constantina trans urbem in Portu Eutropii ad Chalcedonem capite plexa est, ut et qui supererant illius et

λεω τέκνα, Ἀναστασία, Θεοκτίστη καὶ Κλεοπάτρα, καὶ αὐτὰ ἀνῃρέθη μετὰ τῆς θυγατρὸς Γερμανοῦ τῆς γενομένης γαμετῆς Θεοδοσίου, καὶ αὐτὸς δὲ Γερμανὸς μετ' αὐτῶν ἀνῃρέθη.

Ἰνδ. θ'. δ'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ β'. R 872

Τούτῳ τῷ ἔτει τελευτᾷ Κυριακὸς πατριάρχης Κωνσταντι- P 381
νουπόλεως μηνὶ ὑπερβερεταίῳ, κατὰ Ῥωμαίους ὀκτωβρίῳ, κθ', ἡμέρᾳ ζ'. καὶ κηδεύεται τῇ τριακοστῇ τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ πρώτῃ, καὶ ἀπετέθη τὸ αὐτοῦ λείψανον πρὸς συνήθειαν εἰς τοὺς ἁγίους Ἀποστόλους.

Ἰνδ. ι'. ε'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ γ'.

Τούτῳ τῷ ἔτει μηνὶ αὐδυναίῳ, κατὰ Ῥωμαίους Ἰανουαρίῳ, κγ', γέγονε πατριάρχης ἐν Κωνσταντινουπόλει Θωμᾶς ἀπὸ διακόνων τῆς μεγάλης ἐκκλησίας καὶ σακελλάριος τοῦ πατριάρχου καὶ ἐπάνω τῶν χειροτονιῶν.

τμζ' Ὀλυμπιάς. B

Ἰνδ. ια'. ς'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ δ'.

Ἰνδ. ιβ'. ζ'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ ε'.

Ἐντεῦθέν ἐστιν εἰδεῖν ὡς ἀφ' οὗπερ ὁ τρισμακάριος Κωνσταντῖνος ἐτελεύτησεν τὸν βίον μέχρι τῆς κβ' τοῦ μαΐου μηνὸς τῆς ἐνεστώσης ιβ' ἐπινεμήσεως καὶ τοῦ ζ' ἔτους τῆς Φωκᾶ βασιλείας πληροῦνται χρόνοι σοβ', ἄρχεται δὲ τὸ σογ' ἀπὸ κβ' τοῦ

11. κγ' ἰανουαρίου P. 21. δὲ om. P.

Mauricii liberi sequioris sexus, Anastasia, Theoctista, et Cleopatra: eae- Anni a m. c.
que cum Germani filia, Theodosii uxore sublatae: ipseque Germanus una cum illis sublatus est.

606. IV. Ind. IX. Post Cons. Focae Augusti II. 2. 6114.
A. C. [Ol. Iph.]

Hoc anno, Cyriacus Patriarcha Constantinopolitanus moritur mense Hyperberetaeo, secundum Romanos, Octobri, die XXIX. feria VII. illiusque funus curatum est XXX. ejusdem mensis, feria I. et depositum est corpus illius juxta morem receptum in aede Sanctorum Apostolorum.

607. V Ind. X. Post Consulatum Focae Augusti III. 3.

Hoc anno, mense Audynaeo, secundum Romanos XXIII. Januarii, dictus est Patriarcha Constantinopolitanus Thomas Ex-Diacono magnae Ecclesiae, et Sacellarius Patriarchae, ac Ordinationibus Praepositus.

CCCXLVII. Olympias.

608. VI. Ind. XI. Post Cons. Focae Augusti IV. 4.

609. VII. Ind. XII. Post Cons. Focae Augusti V. 1. 347.

Hinc licet colligere, quod ex quo terbeatus Constantinus vitam finiit, usque ad XXII. Maii mensis praesentis Indictionis XII. et VII. annum Focae imperii, absolvuntur anni CCLXXII. incipit vero annus CCLXXIII. a XXII.

μαΐου μηνός, ἰνδικτιῶνος ιβ'. εἰ γὰρ ἡ πεντηκοστὴ κατὰ τὴν κβ'
C γέγονε τοῦ μαΐου μηνὸς ἐν ἐκείνῳ τῷ χρόνῳ, ἀναντιῤῥήτως ἡ
ἀναστάσιμος τῇ τριτῃ γέγονε τοῦ ἀπριλίου μηνός, ὥστε τὴν
πρώτην ἐκείνου τοῦ ἀπριλίου ἐν παρασκευῇ εἰσελθεῖν. πρόσθες
οὖν τοῖς σοβ' τὸ τέταρτον, τουτέστιν ξη', καὶ γίνονται τμ'. 5
ταῦτα ἀνάλυσον ἀπὸ τῶν ζ', καὶ περιττεύουσι δ'. ἐπεὶ οὖν ἐν
παρασκευῇ τότε ὁ ἀπρίλιος εἰσῆλθεν, ποίησον παρασκευήν, σάβ-
βατον, κυριακήν, δευτέραν, καὶ λοιπὸν τὸ σογ' ἄρχεται εἰς
V 304 τρίτην. εὑρίσκεται ἄρα ὁ ἀπρίλιος ἐπὶ τῆς ἐνεστώσης ἡλιακῆς ιβ'
ἰνδικτιῶνος, σεληνιακῆς δὲ ιθ', εἰσιὼν ἐν τριτῃ τῆς ἑβδομάδος 10
ἡμέρᾳ, ὅπερ καὶ ἔστιν. πλὴν ἀλλὰ καὶ τῷ πασχαλίῳ καὶ τοῖς
D ὑπατικοῖς ἐντυχὼν ἦῦρον τὴν ψηφοφορίαν ταύτην συνᾴδουσαν.
εἰσὶν οὖν ἀπὸ μὲν τῆς τελευτῆς Κωνσταντίνου ἕως νῦν χρόνοι
σοβ', ἀπὸ δὲ τῆς εἰκοσαετηρίδος αὐτοῦ σπα' πλήρεις.

Ἐγένετο δὲ καὶ τὸ πάσχα πρὸ τῶν σοβ' ἐνιαυτῶν ἐν ἰνδι- 15
κτιῶνι σελήνης ιγ', Ὀλυμπιάδος σοθ' ἔτει δευτέρῳ, ἀπριλίου
τριτῃ.

R 874 Ὕπατοι δὲ ἀπὸ Φηλικιανοῦ καὶ Τατιανοῦ εἰσιν σοβ' ἕως
P 382 τοῦ πάσχα τῆς ιθ' ἡλιακῆς ἰνδικτιῶνος τῆς νῦν ἐνισταμένης.

Τούτῳ τῷ ἔτει ἐπληρώθη ὁ σύνθετος κίων ὁ ἀνοικοδομη- 20
θεὶς ὑπὸ Φωκᾶ τοῦ βασιλέως μετὰ καὶ τῆς κιστέρνης κατὰ τὸ

3. ὥστε] ὡς ὅτε V, ὡς ὅτι P. 8. τὸ om. P. 10. εἰσ σιὼν V. *ib.* τῆς] τῇ P. 12. ψηφηφορίαν P. 14. κ'ετηρίδος P. 15. καὶ om. P. 16. σελήναις R.

mensis Maii Indictionis XII. Nam si Pentecoste incidit in XXII. Maii illo anno, absque ulla controversia dies Resurrectionis fuit III. die mensis Aprilis, cum in Parasceve, seu die Veneris, dies primus ejusdem mensis Aprilis contigerit. Adde igitur CCLXXII. partem quartam, hoc est LXVIII. tum prodibunt CCCXL. haec divide a VII. tum supererunt IV. Quia ergo die Parasceves Aprilis tunc ingressus est, fac (seu numera) Parasceven, Sabbatum, Dominicam, et feriam II. deinceps feria III. incipiet annus CCLXXIII. Reperitur ergo Aprilis, praesente Indictione, sive Cyclo solari XII. lunari vero XIX. feria III. hebdomadis incipere, quod et ita est. Quinetiam Paschalium et Fastos Consulares revolvens, animadverti hunccе nostrum calculum cum iis consentire. Sunt igitur a morte quidem Constantini usque hodie an. CCLXXII. a XX. autem imperii illius anno, seu a Vicennalibus, CCLXXXI. anni completi.

Celebratum est autem Pascha ante annos CCLXXII. in Indictione X. luna XIII. Olympiadis CCLXXIX. anno II. die III. Aprilis.

Consules vero a Feliciano et Tatiano sunt CCLXXII. usque ad Pascha Cycli solaris XIX. praesentis Indictionis.

A. C. [Ol. Iph.]

Hoc anno, Columna ex variis lapidibus conflata, a Foca Imperatore

ἀνατολικὸν μέρος τῆς ἐκκλησίας τῶν ἁγίων μ' πλησίον τοῦ χαλκοῦ τετραπύλου.

Τούτῳ τῷ ἔτει ἀποστατοῦσιν Ἀφρικὴ καὶ Ἀλεξάνδρεια· καὶ σφάζεται ἀπὸ ἐναντίων ὁ πάπας Ἀλεξανδρείας. παύεται δὲ καὶ Ἰσάκιος ἀπὸ Ἱεροσολύμων, καὶ γίνεται ἀντ' αὐτοῦ Ζαχαρίας ἀπὸ πρεσβυτέρων καὶ σκευοφυλάκων τῆς ἐκκλησίας Κωνσταντινουπόλεως, καὶ Ἔδεσα ὑπὸ Πέρσας γίνεται.

Ἰνδ. ιγ'. ή'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ ς'. B

Τούτῳ τῷ ἔτει, μηνὶ δύστρῳ, κατὰ Ῥωμαίους μαρτίῳ κ', ἡμέρᾳ ς', τελευτᾷ Θωμᾶς πατριάρχης Κωνσταντινουπόλεως, καὶ κηδεύεται τῇ κβ' τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ α', καὶ τῇ η' τοῦ ἀρτεμισίου μηνός, κατὰ Ῥωμαίους ἀπριλίου, τῆς αὐτῆς ιγ' ἰνδικτιῶνος τῷ μεγάλῳ σαββάτῳ γέγονε πατριάρχης Κωνσταντινουπόλεως Σέργιος διάκονος τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως καὶ πτωχοτρύφος, φροὶξ λιμένος.

Καὶ κατὰ τὸ πέρας τοῦ σεπτεμβρίου μηνὸς τῆς ιδ' ἰνδικτιῶνος ἀπηγγέλη ὡς Ἀναστάσιος πατριάρχης γενόμενος Ἀντιοχείας ὁ C ἀπὸ σχολαστικῶν ἀνῃρέθη ὑπὸ στρατιωτῶν.

Τούτῳ τῷ ἔτει μηνὶ ὑπερβερεταίῳ, κατὰ Ῥωμαίους ὀκτωβρίῳ γ', ἰνδικτιῶνος ιδ', ἡμέρᾳ ζ', ἀναφαίνονται πλοῖα ἱκανὰ κατὰ τὸ στρογγυλοῦν καστέλλιν, ἐν οἷς ἦν καὶ Ἡράκλειος ὁ υἱὸς

4. Ἀλεξανδρέων P. ξανθικοῦ Ducangius. 7. Αἴδεσα V, Ἀέδεσα P. 12. ἀρτεμισίου] 16. ἰνδικτιῶνος ιδ' ἀπήγγελε P. 19. ὀκτωβρίων V.

absoluta est, una cum Cisterna, versus Orientalem partem Ecclesiae sanctorum XL. juxta Aereum Tetrapylum. Anni a m. c.

Hoc anno, Africa et Alexandria deficiunt: et Papa Alexandrinorum ab adversariis occiditur. Abdicatur vero Isacius Hierosolymorum Pontifex, et in ejus locum sufficitur Zacharias Ex-Presbytero et Ex-Scevophylace Ecclesiae Constantinopolitanae: et Aedessa in Persarum potestatem venit.

610. VIII. Ind. XIII. Post Cons. Focae Augusti VI. 2. 6118.

Hoc anno, mense Dystro, secundum Romanos Martio, XX. feria VI. moritur Thomas Patriarcha Constantinopolitanus, et XXII. ejusdem mensis, feria I. terrae mandatur. Et VIII Artemisii, secundum Romanos Aprilis, ejusdem Indict. XIII. magno Sabbato, Constantinopoleos Patriarcha creatus est Sergius, Magnae Ecclesiae Constantinopolitanae Diaconus, et Ptochiorum Praefectus, Custos Portus.

Sub exitum mensis Septembris, Indict. XIV. renuntiatum est Anastasium Patriarcham Antiochenum, Ex-Scholastico a militibus fuisse interemptum.

Hoc anno, mense Hyperberetaeo, secundum Romanos Octobri, III. Indictionis XIV. feria VII. apparuere naves plurimae versus Castellum ro-

Ἡρακλείου. καὶ τότε εἰσέρχεται Φωκᾶς κατ' αὐτὴν τὴν ἡμέραν ἀπὸ τοῦ προκέσσου τοῦ Ἑβδόμου περὶ ἑσπέραν, καὶ ἔρχεται καβαλλάρις εἰς τὸ παλάτιν τῆς πόλεως. καὶ τῇ ἑξῆς ἡμέρᾳ, τουτέστιν τῇ κυριακῇ, πλησιασάντων τῶν πλοίων τῇ πόλει, Βόνωσος,
D ὅστις τὰ πάνδεινα ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ κατ' ἐπιτροπὴν Φωκᾶ διεπράξατο, εἰσηγήσει Θεοφάνους τοῦ τῆς ἀνασκάφου μνήμης, τότε ὢν ἐν τῇ πόλει, μετὰ τὸ βαλεῖν αὐτὸν πῦρ πλησίον τῶν Καισαρίου καὶ ἀστοχῆσαι ἔφυγεν, καὶ ἐλθὼν μετὰ καράβου εἰς
R 876 τὸν Ἰουλιανοῦ λιμένα κατὰ τὰ λεγόμενα Μαίρου, στενωθεὶς ἔρριψεν ἑαυτὸν εἰς τὴν θάλασσαν, καὶ λαβὼν μετὰ σπαθίου πληγὴν ἀπὸ ἑνὸς ἐξκουβίτωρος, ὡς ἦν εἰς θάλασσαν, ἀπέθανεν· καὶ ἐκβληθέντος τοῦ σκηνώματος αὐτοῦ ἐσύρη καὶ ἀπηνέχθη εἰς τὸν Βοῦν καὶ ἐκαύθη.

P 383
V 305 Καὶ τῇ ς' τοῦ αὐτοῦ μηνός, διαφαούσης ἡμέρας β', Φῶτις ὁ κουράτωρ τῶν Πλακιδίας καὶ Πρόβος ὁ πατρίκιος ἐπῆραν Φωκᾶν ἐκ τοῦ Ἀρχαγγέλου τοῦ παλατίου ὁλόγυμνον, καὶ ἀπήγαγον διὰ τοῦ λιμένος ὡς ἐπὶ τὸν οἶκον τῶν Σοφίας, καὶ βαλόντες αὐτὸν εἰς κάραβον ἔδειξαν τοῖς πλοίοις. καὶ τότε ἀποφέρουσιν αὐτὸν πρὸς Ἡράκλειον, καὶ ἐπαρθείσης ἀπὸ τοῦ ὤμου τῆς δεξιᾶς αὐτοῦ καὶ τῆς κεφαλῆς, ἡ μὲν χεὶρ αὐτοῦ περιεπάρη σπαθίῳ, καὶ οὕτω περιήχθη τὴν μέσην εἰσαγομένη ἀπὸ τοῦ φόρου. ἡ δὲ κε-

2. προκένσου V a correctore. 3. παλάτιον P. 5. τῇ om. P. 8. Καισαρείου V. ib. ἀποστῆσαι P. 14. Φώτιος P. 17. τὸν Σ. PV.

tundum, in quibus erat et Heraclius, Heraclii filius. Tum Focas a secessu Hebdomi eodem ipso die sub vesperam equo venit in urbis Palatium: ac proxime sequenti, qui in Dominicam incidit, navigiis ad urbem appellentibus, Bonosus, qui in Magna Antiochia Focae jussu, ac impulsu damnandae memoriae Theophanis, atrocia facinora perpetrarat, cum tum esset Constantinopoli, immisso in urbis tractum, qui Caesarii aedibus adjacet. igne, defecit, fugamque arripuit. Ac veniens cum navicula in Portum Juliani, ad locum qui Mauri dicitur, redactus ad angustias, seipsum praecipitem dedit in mare, acceptoque ab quodam Excubitore vulnere ictus gladii in mari, ut erat, mortem oppetiit: cujus ejectum cadaver raptum tractumque est ad Bovem, ubi exustum est.

Anni a m. c. Die VI. ejusdem mensis, feria II. illucescente, Photius Curator Domus Placidiae, et Probus Patricius raptum Focam ex Archangeli Palatio, omnibus nudatum vestibus, deduxerunt per Portum, versus Aedem Sophiae, ac in navem conjectum, ostenderunt classi: deinde ad Heraclium adduxerunt. Cujus Focae praecisa ab humero dextra, et amputato capite, ipsius quidem manus ensis infixa cuspidi, a Foro per Mediam Urbis plateam est traducta: caput autem conto seu hastae impositum

φαλὴ αὐτοῦ ἐβλήθη εἰς κοντάριν, καὶ οὕτω καὶ αὐτὴ περιήχθη· τὸ δὲ ἄλλο αὐτοῦ σῶμα ἐπὶ κοιλίαν συρόμενον ἠνέχθη ὡς ἐπὶ τὴν Χαλκῆν τοῦ Ἱππικοῦ, ὄπιθεν δὲ αὐτοῦ τοῦ σκηνώματος ἐσύρη καὶ Λεόντις ὁ Σύρος ὁ ἀπὸ σακελλαρίων, καὶ ἔτι ἐμπνέοντος αὐτοῦ δέδωκεν αὐτῷ τις μετὰ ξύλου κατὰ τὴν Χαλκῆν τοῦ Ἱππικοῦ, καὶ τότε ἀπέθανεν, καὶ ἐπήρθη ἡ κεφαλὴ αὐτοῦ, καὶ οὕτως ἀπενεχθέντων τῶν σκηνωμάτων αὐτοῦ καὶ Φωκᾶ εἰς τὸν Βοῦν, καὶ αὐτὰ κατεκαύθη. ὁμοίως δὲ ἐκαύθη εἰς τὸν Βοῦν καὶ ὁ μαππάριος καὶ ὁ ταξεώτης τοῦ ἐπάρχου τῆς πόλεως, ὁ ἐπιλεγόμενος ἀπὸ Δαιμονιαρίων. B

Καὶ περὶ ὥραν ἐνάτην αὐτῆς τῆς δευτέρας ἡμέρας ἐστέφθη Ἡράκλειος βασιλεὺς ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὑπὸ Σεργίου πατριάρχου Κωνσταντινουπόλεως. καὶ ἐπὶ τὴν ἕξης ἡμέραν τρίτην ἱπποδρομίας ἀγομένης εἰσήχθη ἡ κεφαλὴ Λεοντίου τοῦ Σύρου, καὶ ἐκαύθη εἰς τὸ Ἱππικὸν μετὰ καὶ τῆς εἰκόνος Φωκᾶ, ἥντινα εἰσῆγον ἐν τῇ ζωῇ αὐτοῦ εἰς τὸ Ἱππικὸν μετὰ κηραψίας ἀσπροφοροῦντες οἱ μάταιοι τῶν ἀνθρώπων. ἐκαύθη δὲ κατ' αὐτὸν καὶ τὸ Βένετον βάνδον. C

Ἰνδ. ιδ'. α'. βασιλείας Ἡρακλείου Αὐγούστου.

Ἀπὸ ζ' καὶ αὐτῆς τοῦ ὀκτωβρίου μηνὸς τῆς παρούσης ιδ' ἰνδικτιῶνος μέχρι τρισκαιδεκάτης τοῦ ἰανουαρίου μηνὸς τῆς αὐ- D

3. ὄπισθεν P. 4. Λέων τις P. ib. πνέοντος P. 5. τις] τῆς P. 8. τὸν om. P. supra scribit P. 11. ἐννάτην P. 14. τρίτῃ V. 19. Ἡράκλειος 20. ιδ' om. P.

pariter circumductum est: corporis vero truncus per ventrem raptatus, versus Chalcen Hippodromi est delatus. Pone quem tractus est Leo Syrus Ex-Sacellario, qui cum adhuc spiraret, juxta eandem Chalcen ligno in eum a nescio quo impacto, statim interiit: illius vero caput in sublime est elatum, atque ita delata ad Bovem ipsius et Focae cadavera igne consumpta sunt. Similiter etiam combustus est ad Bovem et Mapparius et Apparitor Praefecti Urbi, cognomento a Daemonariis.

Hora porro IX. ejusdem feriae II. coronatus est Heraclius in Imperatorem a Sergio sanctissimae Magnae Ecclesiae Constantinopolitanae Patriarcha. Die vero abhinc tertio, dum Circenses celebrarentur, illatum est Leontii Syri caput, et in Hippodromo crematum: unaque cum illo Focae imago igne consumpta, quam, dum superstes esset, hominum vanissimi, vestibus induti candidis, cum accensis cereis, in circum intulerant. Combustum est pariter eodem tempore Vexillum Venetum.

A. C. [Ol. Iph.]

HERACLIUS.

611. I. Ind. XIV. Imperii Heraclii Augusti (*annus* I). 3. 6119.

Ab ipso VII. Octobris mensis die praesentis Indictionis, usque ad XIV. Januarii mensis, ejusdem Indictionis, scriptum est in actis publicis, *Im-*

R 878 τῆς ἰνδικτιῶνός ἐγράφη ἐν τοῖς συμβολαίοις, βασιλείας Ἡρακλείου. καὶ ἀπὸ ιδ' καὶ αὐτῆς τοῦ αὐτοῦ μηνὸς ἐγράφη εἰς τὸν ἑξῆς χρόνον, τὸν μέχρι δηλονότι δεκεμβρίου πληρουμένου τῆς ιε' ἐπινεμήσεως, οὕτως· καὶ ὑπατείας τοῦ αὐτοῦ εὐσεβεστάτου ἡμῶν δεσπότου. εἰ γὰρ καὶ μὴ προῆλθεν ἐπὶ δίφρου, ἀλλ' οὖν ἐκρίθη λογισθῆναι αὐτῷ εἰς ὑπατείαν.

Τούτῳ τῷ ἔτει μηνὶ ξανθικῷ, κατὰ Ῥωμαίους ἀπριλίου κ', ἡμέρᾳ γ', ὥραν ζ', γέγονε σεισμὸς μέγας, ὡς ἐξ ἀνάγκης πρὸ
P 384 πεντηκοστῆς τῇ κβ' τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ ε', λιτὴν γενέσθαι εἰς τὸν Κάμπον καὶ ψαλθῆναι τὸ Τρισάγιον. καὶ τῇ ζ' τοῦ ἰουλίου μηνὸς τῆς αὐτῆς ιδ' ἰνδικτιῶνος, ἡμέρᾳ δ', ὥραν η', ἐτέχθη Ἐπιφάνια ἡ θυγάτηρ Ἡρακλείου καὶ Εὐδοκίας ἐν προκέσσῳ τῆς Ἱερείας.

τμη' Ὀλυμπιάς.

Ἰνδ. ιε'. β'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου.

Τούτῳ τῷ ἔτει μηνὶ ἀρτεμισίῳ, κατὰ Ῥωμαίους μαΐου γ', ἡμέρᾳ δ', ἐτέχθη εἰς τὸ προκέσσον Σοφιανῶν Ἡράκλειος νέος Κωνσταντῖνος, υἱὸς Ἡρακλείου καὶ Εὐδοκίας.

V 306 B Καὶ τῇ ιγ' τοῦ Αὐγούστου μηνὸς τῆς αὐτῆς ιε' ἰνδικτιῶνος, ἡμέρᾳ πρώτῃ, ἐτελεύτησεν εἰς τὸ προκέσσον Βλαχερνῶν Εὐδοκία ἡ Αὔγουστα ἡ καὶ Φαβία. καὶ ἐνεχθέντος τοῦ λειψάνου αὐτῆς

11. ὥρᾳ P sola. 12. Ἐπιφάνεια PV etiam infra. 21. Αὐγούστη P.

Anni a m. c. *perante Heraclio*, et a XIV. ejusdem Indictionis ipsius mensis, scriptum est in reliquum anni, usque ad Decembrem scilicet expletum XV. Indictionis, sic, *Et Consulatu ejusdem Piissimi Domini nostri*. Licet enim in sella curuli non processerit, illud tamen tempus ejus Consulatui adscribi debere aequum visum est.

Eodem anno, mense Xanthico, juxta Romanos Aprilis XX. feria III. hora VII. ingens adeo terrae motus extitit, ut ante Pentecosten die XXII. populus coactus fuerit supplicationes in campo peragere, et Trisagium psallere VII. vero Julii mensis, ejusdem XIV. Indictionis, feria IV. hora VIII. nata est Epiphania filia Heraclii et Eudociae in secessu Hieriae.

A. C. [Ol. Iph.]

CCCXLVIII. Olympias.

6120. 612. II. Ind. XV. Post Cons. Heraclii Augusti. 4.

Hoc anno, mense Artemisio, secundum Romanos, Maii III. feria IV. natus est in secessu Sophianarum Heraclius Novus Constantinus, Heraclii et Eudociae filius.

Et XIII. Augusti, XV. Indictionis, feria I. mortua est in secessu Blachernarum Eudocia Augusta, Fabia dicta, illiusque funus navigio in Ur-

πλοΐ ἐν τῷ παλατίῳ τῆς πόλεως, ἐπὶ τὴν ἐξῆς ἐκηδεύθη, καὶ ἐτάφη εἰς τοὺς Ἀποστόλους.

Καὶ τῇ δ' τοῦ ὑπερβερεταίου μηνός, κατὰ Ῥωμαίους ὀκτωβρίου μηνός, ἰνδικτιῶνος α', ἡμέρᾳ δ', ἐστέφθη τὸ παιδίον Ἐπιφανία ἡ καὶ Εὐδοκία εἰς τὸν ἅγιον Στέφανον εἰς τὸ παλάτιν. καὶ καθεσθεῖσα εἰς δίφρον, παρακολουθούντων Φιλαρέτου κουβικουλαρίου καὶ χαρτουλαρίου καὶ Συνέτου καστρησίου, ἀπῆλθε πρὸς συνήθειαν εἰς τὴν μεγάλην ἐκκλησίαν. C

Τῷ αὐτῷ ἔτει μηνὶ ἀπελλαίῳ, κατὰ Ῥωμαίους δεκεμβρίῳ ε', ἡμέρᾳ γ', γέγονε κληρικὸς Πρίσκος ὁ κόμης τῶν ἐξκουβιτώρων, καὶ ἀντ' αὐτοῦ γέγονε κόμης ἐξκουβιτώρων Νικήτας ὁ πατρίκιος.

Τούτῳ τῷ ἔτει ἐτέθη ἐπάνω τοῦ συνθετοῦ κίονος τοῦ κατ' ἀνατολὰς τῆς ἐκκλησίας τῶν ἁγίων μ' ὁ τίμιος σταυρός, ὄντος ἐπάρχου πόλεως Θεοδώρου ταῦ ἀπὸ νοταρίων τῆς βασιλικῆς.

Ἰνδ. α'. γ'. μετὰ ὑπ. Ἡρακλείου Λὐγούστου τὸ β'. R 880

Τούτῳ τῷ ἔτει μηνὶ αὐδυναίῳ, κατὰ Ῥωμαίους ἰανουαρίῳ κβ', ἡμέρᾳ δευτέρᾳ, ἐστέφθη τὸ παιδίον Ἡράκλειος νέος Κωνσταντῖνος βασιλεὺς ὑπὸ τοῦ πατρὸς αὐτοῦ Ἡρακλείου εἰς τὸ παλάτιν· καὶ εὐθέως ἀνῆλθεν εἰς τὸ Ἱπποδρόμιον, κἀκεῖ στεφθεὶς προσεκυνήθη ὑπὸ τῶν συγκλητικῶν ὡς βασιλεύς, καὶ εὐφημήθη D

1. τὴν] τῆς R, τῇ P. 5. παλάτιον P. 13. Post ἔτει addit ἔτη V, unde restitui ἐτέθη, quod ante ὄντος supplebat Raderus. 17. ἰανουαρίου P. 19. παλάτιον P, omisso καί.

bis Palatium illatum, postridie factis exequiis, in Aede Apostolorum conditum est. Anni a m. c.

Et IV. Hyperberetaei mensis, secundum Romanos Octobris mensis, Indictionis I. feria IV. coronata est puella Epiphania, quae et Eudocia appellata, in aede Sancti Stephani in Palatio. Et in curru sedens, stipantibus eam Philareto Cubiculario et Chartulario, et Syneto Castrensi, ut fieri solet, venit in Magnam Ecclesiam.

Hoc eodem anno, mense Apellaeo, secundum Romanos Decembri V. feria III. Priscus Comes Excubitorum Clericus est factus, et in locum ejus factus est Comes Excubitorum Nicetas Patricius.

Hoc anno supra Columnam ex variis lapidibus confectam, ad Orientem Ecclesiae Sanctorum XL. posita est veneranda crux, cum esset Praefectus Urbi Theodorus Ex-Notariis Basilicae.

613. III. Ind. I. Post Cons. Heraclii Augusti II. 1. 348. 6121.

Hoc anno, mense Audynaeo, secundum Romanos, Januarii die XXII. feria II. coronatus est puer Heraclius Novus Constantinus Imperator a patre suo in Palatio: moxque ascendit in Circum, ibique diademate redimitus, consalutatus est a Senatoribus ut Imperator, et faustis acclama-

ὑπὸ τῶν μερῶν, καὶ οὕτω σὺν τῷ πατρὶ αὐτοῦ ἐξῆλθεν εἰς τὴν μεγάλην ἐκκλησίαν, βασταζόμενος ὑπὸ Φιλαρέτου.

Καὶ ἀπ' αὐτῆς τῆς κβ' τοῦ Ἰανουαρίου μηνὸς ἐπετράπη γράφεσθαι μετὰ τὸ ἐν ὀνόματι, βασιλείας τῶν θειοτάτων ἡμῶν
P 385 δεσποτῶν καὶ μεγίστων εὐεργετῶν Φλαβίου Ἡρακλείου τοῦ εὐσεβεστάτου ἔτους γ' καὶ μετὰ τὴν ὑπατείαν αὐτοῦ ἔτους β' καὶ Φλαβίου Ἡρακλείου νέου Κωνσταντίνου τοῦ θεοφυλάκτου αὐτοῦ υἱοῦ ἔτους α', τῶν αἰωνίων Αὐγούστων καὶ αὐτοκρατόρων.

Ἰνδ. β'. δ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ γ'.

Καὶ ἀπὸ κβ' τοῦ Ἰανουαρίου μηνὸς γράφεται, βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος β'.

Τούτῳ τῷ ἔτει περὶ μῆνα Ἰούνιον θρήνων ἀπαύστων ἄξιον ἡμῖν συνέβη πάθος. μετὰ γὰρ πολλῶν τῆς ἀνατολῆς πόλεων ἦλω
B καὶ Ἱερουσαλὴμ ὑπὸ Περσῶν, καὶ σφάζονται πολλαὶ χιλιάδες ἐν αὐτῇ κληρικῶν, μοναχῶν, μοναστριῶν παρθένων. ἐμπίπραται τὸ δεσποτικὸν μνῆμα καὶ οἱ περιβόητοι τοῦ θεοῦ ναοί, καὶ ἁπλῶς πάντα τὰ τίμια καθαιρεῖται. τὰ σεβάσμια τοῦ σταυροῦ ξύλα σὺν τοῖς ἱεροῖς σκεύεσιν ἀναριθμήτοις οὖσιν λαμβάνεται παρὰ Περσῶν, καὶ Ζαχαρίας ὁ πατριάρχης καὶ αἰχμάλωτος γί-

12. ἔτους P. 16. αὐτῷ P. 20. ὁ om. P. ib. καὶ fortasse delendum.

Anni a m. c. tionibus a Factionibus exceptus. Atque ita cum patre egressus, ad Magnam Ecclesiam venit, a Philareto gestatus.

Et ab ipso die XXII. Januarii mensis imperatum est, uti scriberetur: *In nomine, etc. imperii piissimorum Dominorum nostrorum et beneficentissimorum Flavii Heraclii piissimi anno* III. *et post Consulatum illius anno* II. *et Flavii Heraclii Novi Constantini a Deo custoditi filii ejus* I. *aeternorum Augustorum et Imperatorum.*

A. C. [Ol. Iph.]

6122. 644. IV. Ind. II. Post Cons. Heraclii Augusti III. 1. 348.

Et a XXII. Januarii mensis, scribitur, *Imperii Heraclii Novi Constantini anno* II.

Hoc anno, circa mensem Junium, malum nobis accidit perpetuo luctu prosequendum. Cum aliis quippe compluribus Orientis civitatibus, Hierusalem a Persis capta est, multis Clericorum, Monachorum, Sanctimonialium et Virginum millibus trucidatis. Incensum etiam Dominicum Sepulchrum, et celeberrima Dei templa: et ut verbo dicam, pretiosa omnia destructa. Veneranda Crucis ligna, cum sacris vasis innumeris capiuntur a Persis, et Zacharias Patriarcha captivus abducitur. Atque haec

νεται. καὶ ταῦτα οὐκ ἐν πολλῷ χρόνῳ οὐδὲ ἐν ὅλῳ μηνί, ἀλλ' ἐν ἡμέραις ὀλίγαις συμβέβηκε.

Καὶ τῇ ιδ' γορπιαίου, κατὰ Ῥωμαίους σεπτεμβρίου μηνός, τῆς τρίτης ἰνδικτιῶνος, ἐν τῇ τρίτῃ ὑψώσει ἀποδεθεὶς τῷ ζωοποιῷ σταυρῷ ὁ τίμιος σπόγγος καὶ αὐτὸς συνυψοῦται αὐτῷ ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, πεμφθεὶς παρὰ Νικήτα πατρικίου. C V 307

Καὶ τῇ κη' τοῦ ὑπερβερεταίου, κατὰ Ῥωμαίους ὀκτωβρίου μηνός, ἡμέρᾳ ζ', τῇ ἐπὶ κυριακὴν νυκτί, ἠνέχθη ἡ σμιλα λόγχη ἀπὸ τῶν ἁγίων τόπων, ἑνὸς τῶν ἐγγιζόντων τῷ καταράτῳ Σαλβάρᾳ μετὰ τὸ ληφθῆναι αὐτὴν παρ' αὐτῶν, δεδωκότος αὐτὴν τῷ μνημονευθέντι Νικήτᾳ. καὶ εὐθέως αὐτῇ τῇ κυριακῇ ἐκηρύχθη ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὡς ἠνέχθη· καὶ τῇ τρίτῃ καὶ τετράδι προσεκυνήθη ὑπὸ ἀνδρῶν, πέμπτῃ δὲ καὶ παρασκευῇ ὑπὸ γυναικῶν. R 882

Ἰνδ. γ'. ε'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ δ'. D

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος γ'.

Τούτῳ τῷ ἔτει ἐπὶ Σεργίου πατριάρχου Κωνσταντινουπόλεως ἀπὸ τῆς α' ἑβδομάδος τῶν νηστειῶν ἰνδικτιῶνος δ' ἤρξατο ψάλλεσθαι μετὰ τὸ Κατευθυνθήτω ἐν τῷ καιρῷ τοῦ εἰσάγεσθαι τὰ προηγιασμένα δῶρα εἰς τὸ θυσιαστήριον ἀπὸ τοῦ σκευοφυλα-

3. Γορπιαίου μηνὸς P. 4. ἀποδεχθεὶς R. 5. σπόνγγος V correctus. 9. Σάρβαρα P. 13. τετάρτῃ P. 16. καὶ ἀπὸ] ἀπὸ P. 17. ἔτους P. 19. νηστῶν R.

omnia non multa anni parte, nec toto mense, sed intra paucos dies contigere.

Et XIV. Gorpiaei mensis, secundum Romanos Septembris mensis Indictionis III. in tertia Exaltatione vivificae Cruci alligata veneranda Spongia, et ipsa coexaltatur in sanctissima Magna Ecclesia, missa a Niceta Patricio.

Et XXVIII. Hyperberetaei, secundum Romanos Octobris mensis, feria VII. ea nocte quae praecedit Dominicam, veneranda Lancea e sacris locis allata est, quam quidam familiaris abominandi Sarbarae, cum ab iis fuisset ablata, dedit memorato Nicetae: et statim eo ipso die Dominico in sanctissima Magna Ecclesia publicatum ac nuntiatum eam esse allatam; ac tertia deinde et quarta feria a viris, quinta autem et sexta a feminis est adorata.

645. V. Ind. III. Post Cons. Heraclii Augusti IV. 2.

Ab ipso XXII. mensis Januarii die, scribitur: *Imperii Heraclii Novi Constantini anno* III.

Hoc anno, sub Sergio Patriarcha Constantinopolitano, a prima Jejuniorum hebdomade Indictionis IV. coepit psalli post illud: *Dirigatur*, quando Praesanctificata Dona in altare ex Scevophylacio inferuntur,

κίου μετὰ τὸ εἰπεῖν τὸν ἱερέα, Καταὶ τὴν δωρεὰν τοῦ Χριστοῦ σου, εὐθέως ἄρχεται ὁ λαός, Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν
P 386 *ἀοράτως λατρεύουσιν· ἰδοὺ γὰρ εἰσπορεύεται ὁ βασιλεὺς τῆς δόξης. ἰδοὺ θυσία μυστικὴ τετελειωμένη δορυφορεῖται. πίστει καὶ φόβῳ προσέλθωμεν, ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα. ἀλ-*
ληλούια. τοῦτο δὲ οὐ μόνον ἐν ταῖς νηστείαις προηγιασμένων εἰσαγομένων ψάλλεται, ἀλλὰ καὶ ἐν ἄλλαις ἡμέραις, ὁσάκις ἂν προηγιασμένα γίνηται.

Τούτῳ τῷ ἔτει γέγονεν ἀπὸ νόμου νόμισμα ἑξάγραμμον ἀργυροῦν, καὶ βασιλικαὶ ῥόγαι δι' αὐτοῦ γεγόνασι καὶ κατὰ τὸ
ἥμισυ τῆς ἀρχαιότητος. καὶ ἔξαρχος τοῦ Πέρσου, καλούμενος
B *Σαήν, ἕως αὐτῆς Χαλκηδόνος ἦλθεν καὶ ἐπὶ τὰ μέρη Χρυσοπόλεως καὶ τοῦ Κηκωνίου καὶ εἰς τὴν ἀντιπέρας ἐβλέπετο. καὶ λαβὼν δῶρα παρὰ τοῦ βασιλέως Ἡρακλείου δι' ἑαυτοῦ ἐν πλοίοις ἐγγίσαντος τῷ λιμένι Χαλκηδόνος ἀνεχώρησεν, ἐπαγγειλάμενος*
ὅτι ἐὰν πεμφθῶσιν ἐξ ἡμῶν εἰς πρεσβείαν πρὸς Χοσδρόην τινές, εἰρήνη γίνεται. καὶ δὴ ἐπέμφθησαν ἐξ ἡμῶν πρεσβευταὶ τρεῖς, τουτέστιν Ὀλύμπιος ἔπαρχος πραιτωρίων καὶ Λεόντιος ἔπαρ-
R 884 *χος πόλεως καὶ Ἀναστάσιος πρεσβύτερος τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης μεγάλης ἐκκλησίας, ἐπιφερόμενοι καὶ ἀπο-*
κρίσεις γραφείσας ἀπὸ τῶν ἀρχόντων ἡμῶν πρὸς τὸν θεόπτωτον Χοσρόην, ὄντινων ἡ δύναμίς ἐστιν αὕτη.

4. δωροφορεῖται R. 5. ἀλλαιλούια V. 7. εἰσαγομένων om. P. ib. ἂν om. R, uncis includit P. 8. γίνεται PV. 12. Χρυσουπόλεως P. 13. Μηκωνίου P. 14. αὐτοῦ P. 16. Χοσρόην P. 17. καὶ διεπέμφθησαν P.

postquam dixit Pontifex, *juxta donum Christi tui*, statim incipit populus: *Nunc virtutes coelorum nobiscum invisibiliter adorant: Ecce ingreditur Rex gloriae Ecce sacrificium mysticum perfectum solenni pompa affertur, in fide et tremore accedamus, ut participes efficamur vitae aeternae. Alleluia.* Hoc non solum in Jejuniis Praesanctificatorum canitur, sed et aliis praeterea diebus, quotiescunque Praesanctificata fiunt.

Hoc anno, lege lata, numus argenteus sex scripulorum cusus est, quo numi genere factae sunt largitiones Imperatoriae, ipseque ad semissem veterum numorum. Persarum vero Regis Exarchus, Saen vocatus, ad ipsam usque Chalcedonem, et in fines Chrysopoleos et Meconii venit, cum in opposita civitati regione a populo conspiceretur. Donis vero ac muneribus acceptis ab Imperatore Heraclio, hac de causa navigio Chalcedonensi portui appropinquante, recessit: pollicitus, si aliqui ex nostris ad Chosroem legati mitterentur, pacem futuram. Missique e nostris legati tres, Olympius scilicet Praefectus Praetorio, Leontius Praefectus Urbi, et Anastasius sanctissimae Magnae Ecclesiae Constantinopolitanae Presbyter, literas a Principibus nostris scriptas ad Deo invisum Chosroen deferentes, in hanc ferme sententiam.

Ὁ τὰ πάντα δημιουργήσας καὶ τῇ ἰδίᾳ δυνάμει συνέχων C
θεὸς δῶρον ἄξιον τῆς αὐτοῦ ἀγαθότητος τῷ γένει τῶν ἀνθρώ-
πων ἐφιλοτιμήσατο τῆς βασιλείας τὴν πρόνοιαν, δι' ἧς ἀτυρά-
χως ἀξιούμεθα ζῆν ἢ δυσχερείαις τισὶ περιπίπτοντες ἴασιν ἐξευρί-
σκομεν. πρὸς τοῦτο τὸ θεῖκὸν ἀποβλέψαντες, τὴν βασιλικὴν
πρόνοιάν σαμεν, καὶ πρὸ τῶν ἄλλων ἁπάντων τὴν ὑπέρογκον
ὑμῶν ἡμερότητα, δυσωποῦμεν συγγνώμης ἡμᾶς ἀξιῶσαι, τολ-
μήσαντας παρὰ τὴν πρώην πολιτευομένην κατάστασιν τῇ παρού-
σῃ πρὸς τὸ ὑμέτερον κράτος ἀναφορᾷ χρήσασθαι. ἴσμεν γὰρ τὴν
ἐν τῷ προλαβόντι χρόνῳ κρατήσασαν συνήθειαν, ἥις ἠβούλετο D
φιλονεικίας τινὸς μεταξὺ τῶν δύο πολιτειῶν ἀνακυπτούσης τοὶς V 308
ἑκατέρας αὐτῶν βασιλεύοντας διὰ τῶν πρὸς ἀλλήλους δηλωμά-
των τὰ φιλονεικούμενα διαλύειν. ἀλλὰ ταύτην τὴν τάξιν παρέλυσε
Φωκᾶς ὁ τῆς Ῥωμαϊκῆς πολιτείας γενόμενος ἐπίβουλος. τὸν γὰρ
ἐν Θράκῃ Ῥωμαϊκὸν ὑποφθείρας στρατὸν αἰφνιδίως ἐπέστη τῇ
παρ' ἡμῖν βασιλευούσῃ πόλει, καὶ Μαυρίκιον τὸν εὐσεβῶς ἡμῶν
βασιλεύσαντα καὶ τὴν αὐτοῦ γυναῖκα, ἔτι δὲ καὶ τέκνα καὶ συγ-
γενεῖς καὶ ἐκ τῶν ἀρχόντων οὐκ ὀλίγους ἀνεῖλεν. καὶ οὐκ ἠρκέσθη
τοῖς πεπραγμένοις παρ' αὐτοῦ τοσούτοις κακοῖς, ἀλλ' οὐδὲ τὴν
πρέπουσαν τῇ ὑπερόγκῳ ὑμῶν ἡμερότητι τιμὴν ἀπένειμεν, ὥστε P 387
λοιπὸν ἐξ ἡμετέρων ἁμαρτιῶν ὁρμηθέντας ὑμᾶς εἰς τὴν τοσαύτην
ἐλάττωσιν ἀγαγεῖν τὰ τῆς Ῥωμαϊκῆς πολιτείας πράγματα. ἐγνω-

9. ἴσμεν μὲν γὰρ R. 11. τινὰς PV. *ib.* ἀνακυπτούσας P.
14. γενόμενος om. P. 15. ὑποφθείρει P. 21. ὁρμηθέντα P.
22. τὰ om. R, uncis inclusit P.

„Qui omnia creavit, et sua potentia continet, Deus, sua bonitate dignum munus humano generi contulit, imperii scilicet providentiam, qua vitae securitas, et si in aliquas difficultates incidere nos contigerit, medela nobis procuratur. Ad hoc divinum munus, Regiam scilicet providentiam, respectantes, prae cunctis omnibus immensam vestram Clementiam deprecamur, uti veniam nobis dignetur impertiri, si praeter prioris Reipublicae status rationem hac suggestione erga vestram Majestatem utamur. Neque enim ignoramus, praeteritis temporibus eam obtinuisse consuetudinem, ut inter utramque Rempublicam enatae controversiae, ab utriusque Principibus, mutuis invicem factis collationibus, dirimerentur: quam quidem infregit Romani imperii insidiator Focas. Corrupto enim in Thracia Romano exercitu, Reginam hanc nostram urbem adortus, et Mauricium nobis pie imperantem, ac illius conjugem, liberosque et cognatos, et ex Magistratibus haud paucos sustulit. Nec satis illi fuit tanta perpetrasse facinora, immensae quoque vestrae Clementiae debitum honorem minime exhibuit. Unde accidit, ut propter peccata nostra a vobis impeteremur, resque Romanorum ad hanc imminutionem et debili-

κὼς δὲ τὰ παρὰ τοῦ λυμεῶνος ἐκείνου γενόμενα ὁ νῦν εὐσεβῶς ἡμῶν βασιλεύων καὶ ὁ αὐτοῦ ἀείμνηστος πατήρ, ἐβουλεύσαντο τῆς τοσαύτης ἐκείνου ἀνάγκης ἐλευθερῶσαι τὴν Ῥωμαϊκὴν πολιτείαν· ὅπερ καὶ ἔπραξαν, τεταπεινωμένην ἐκείνην ἐκ τοῦ ὑμετέρου κράτους εὑρόντες. καὶ μετὰ τὸν τοῦ τυράννου θάνατον βουληθέντος τοῦ ἡμῶν βασιλέως τοὺς ἰδίους λαβεῖν συγγενεῖς καὶ πρὸς τὸν οἰκεῖον ἐν Ἀφρικῇ ἐπαναζεῖξαι πατέρα, προτρέ-
B ψαντός τε ἡμᾶς ὃν θέλομεν ἐπιλέξασθαι βασιλέα, μόλις ταῖς
R 886 αἰτήσεσιν ἡμῶν πεισθεὶς κατεδέξατο τὴν βασιλείαν, καὶ διὰ τὴν κρατοῦσαν ἐν ταῖς δύο πολιτείαις ταραχήν, ἔτι δὲ καὶ τὴν ἐμφύλιον στάσιν, οὐκ ἔσχε καιρόν, ὅπερ ἐχρῆν πραχθῆναι, τοῦ διὰ πρεσβείας τὴν ὀφειλομένην τιμὴν τῷ ὑπερόγκῳ κράτει τῆς ὑμετέρας γαλήνης προσαγαγεῖν. ἐβουλευσάμεθα οὖν παριδεῖν τὸ ἔθος, οὗπερ ἀνωτέρω ἐμνήσθημεν, καὶ βραχεῖς ὄντες ἄνθρωποι πρὸς ἀρχιβασιλέα τηλικοῦτον τῇ δεήσει χρήσασθαι, στέλλοντες καί τινας ἐξ ἡμῶν ὀφείλοντας τῶν ὑμετέρων ἰχνῶν ἀξιωθῆναι. ἀλλὰ διὰ τὰ ἐν μέσῳ συμβάντα τοῦτο πρᾶξαι μέχρι νῦν οὐκ ἐτολ-
C μήσαμεν· ὅτε μέντοι Σαὴν ὁ ἐνδυξότατος Βαβμαιζαδαγώ, τοῦ Περσικοῦ στρατοῦ ἔξαρχος, ἐν τοῖς μέρεσι Χαλκηδόνος γέγονε, καὶ συντυχὼν τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ καὶ ἡμῖν, καὶ ἐκ πάντων αἰτηθεὶς τὰ περὶ τῆς εἰρήνης διαλεχθῆναι, αὐτὸς μὲν εἶπεν μὴ ἔχειν τοιαύτην ἐξουσίαν, δέεσθαι δὲ τὰ περὶ τούτου τῆς

10. δὲ om. P. 18. ὅτι P. 21. αὐτὸν R. 22. τὰ om. R.

tationem devenirent. Cum ergo intelligeret is qui nunc pie imperat, quae a peste illa patrata essent, unaque et aeternae memoriae illius pater, decreverunt Romanum imperium ex tantis illius angustiis in libertatem asserere: quod et confecere, quamvis a vestra Majestate non modice labefactatum invenirent. Post mortem ergo tyranni, cum Imperator noster, affinibus secum assumptis, in Africam ad patrem suum reverti statueret, moneretque nos, ut quem vellemus Imperatorem designaremus, aegre precibus nostris cedens, imperium tandem suscepit. At propter utriusque Reipublicae perturbationem, civilesque motus, locus ipsi haud fuit per legatos, uti par erat, id praestandi, quo debitum honorem amplissimae Majestatis vestrae Serenitati exhiberet. Statueramus igitur, omisso more cujus meminimus, nos pusilli homines, erga potentissimum Regem precibus uti, et aliquos ex nobis mittere qui ad vestigia vestra admitterentur. Sed ex iis quae subinde evenere, id ad hunc usque diem exequi ausi non sumus. At cum Saen illustrissimus Babmanzadago, Persicarum copiarum dux supremus ad fines Chalcedonis accessisset, cum piissimo nostro Imperatore nobisque collocutus, rogatus est ab omnibus ut de pace tractaret. Qui respondit, sibi quidem ejusmodi minime indultam esse facultatem: deprecaturum tamen super hoc Clementiam ve-

ὑμῶν φιλανθρωπίας. νυνὶ δὲ καὶ ἀπόκρισιν ἔστειλε πρὸς ἡμᾶς διὰ τοῦ Σπαδαδουάρ, ὑποσχόμενος ἐνωμότως ὅτι τὸ ὑπέρογκον ὑμῶν κράτος τοὺς στελλομένους παρ' ἡμῶν ὡς πρέπον ἐστὶν δέχεται καὶ ἀπολίει ἀβλαβεῖς πρὸς ἡμᾶς ἐπαναλῦσαι, καὶ ὅτι παρὰ τῆς ὑμετέρας φιλανθρωπίας τοῦτο πρᾶξαι ἐκελεύσθη. ἡμεῖς δὲ πάλιν τοῖς οὕτω παρακολουθήσασι θαρρήσαντες, πρὸ πάντων δὲ τῷ θεῷ καὶ τῇ ὑμετέρᾳ μεγαλειότητι, τοὺς δούλους ὑμῶν ἀπελίσαμεν Ὀλύμπιον τὸν ἐνδοξότατον ἀπὸ ὑπάτων, πατρίκιον καὶ ἔπαρχον τῶν πραιτωρίων, καὶ Λεόντιον τὸν ἐνδοξότατον ἀπὸ ὑπάτων, πατρίκιον καὶ ἔπαρχον πόλεως καὶ Ἀναστάσιον τὸν θεοφιλέστατον πρεσβύτερον καὶ σύγκελλον, οὓς δυσωποῦμεν ὡς πρέπει τῷ ὑπερόγκῳ ὑμῶν κράτει δεχθῆναι καὶ συντόμως ἐπαναλῦσαι πρὸς ἡμᾶς τὴν ἀρέσκουσαν τῷ θεῷ εἰρήνην καὶ πρέπουσαν τῷ φιλειρήνῳ ὑμῶν κράτει ἀποσώζοντας ἡμῖν. δεόμεθα δὲ τῆς ὑμετέρας ἡμερότητος καὶ Ἡράκλειον τὸν εὐσεβέστατον ἡμῶν βασιλέα γνήσιον ἔχειν τέκνον, προθύμως ἔχοντα ἐν ἅπασι τὴν θεραπείαν τῆς ὑμετέρας ποιεῖν γαλήνης. ταῦτα γὰρ πράττοντες διπλῆν ἑαυτοῖς περιποιεῖτε δόξαν, καὶ ἐπὶ τῇ τῶν πολέμων ἀνδραγαθίᾳ καὶ ἐπὶ τῇ δωρεᾷ τῆς εἰρήνης. καὶ ἡμεῖς λοιπὸν τῆς ἡσυχίας διὰ τῶν ὑμετέρων ἀειμνημονεύτων δωρεῶν ἐν ἀπολαύσει γινόμεθα, καιρὸν λαμβάνοντες τὰς ὑπὲρ τῆς ὑμετέρας πολυχρονίου εὐζωίας τῷ θεῷ προσαγαγεῖν εὐχάς, ἀληθάργητον εἰς αἰῶνας τῆς Ῥωμαϊκῆς πολιτείας τὴν ὑμετέραν εὐεργεσίαν ἔχοντες.

D

P 388

V 309

R 888

5. ἡμᾶς — θαρρήσαντας RV. 11. σύγγελλον P. 17. τοῦτο P.

stram. Nunc vero et responsum misit nobis per Spadadovarem, cum sacramento pollicitus, amplissimam vestram Majestatem, eos pro dignitate suscepturam qui a nobis mitterentur, et salvos ac incolumes a nobis remissuram, idque a Clementia vestra ut faceret sibi esse imperatum. Nos itaque hisce confisi promissis, praesertim autem Deo, et vestra Amplitudine, servos vestros misimus gloriosissimum Olympium Ex-Consule, Patricium et Praefectum Praetorio, et gloriosissimum Leontium Ex-Consule, Patricium et Praefectum Urbi, ac venerabilem Anastasium Presbyterum et Syncellum, quos ut amplissima Majestas vestra, prout par est, excipiat, flagitamus, et uti quamprimum fieri poterit, cum grata Deo pace, et quae pacificam Majestatem vestram decet, salvos nobis remittatis. Obsecramus etiam Mansuetudinem vestram ut Heraclium piissimum nostrum Imperatorem loco proprii filii habeat, paratum in omnibus Serenitati vestrae cultum et officium praestare. Quod quidem si feceritis, geminam vobis gloriam comparabitis, cum ex fortitudine bellica, tum ex pacis concessione. Nos porro deinceps per nunquam obliviscenda vestra munera fruemur quicte, nobisque suppetet occasio pro vestrae vitae diuturnitate Deo preces offerendi, quandiu stabit Romana Respublica vestrum beneficium nunquam oblivioni daturis."

B τμϑ' Ὀλυμπιάς.

Ἰνδ. δ'. ς'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ε'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ Ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος δ'.

Ἀπὸ τῆς γεννήσεως τοῦ δεσπότου Χριστοῦ ἕως ταύτης τῆς ὑπατείας ἐπληρώθησαν ἔτη χιϑ' καὶ ἤρξαντο τὰ χκ'. ἐκ τούτων ἐξαιροῦνται τὰ μέχρι τῆς σταυρώσεως αὐτοῦ ἔτη λγ', καὶ καταλείπονται φπς'. πρὸ φ' τοίνυν πς' ἐνιαυτῶν εἰσῆλθεν ὁ μάρτιος
C μὴν ἐν ἡμέρᾳ ε'· τοῖς γὰρ φπς' πρόσϑες τὰ βίσεξτα, τοῦτο ἔστιν ρμζ'. διὰ τὸ νῦν ἐπικεῖσθαι βίσεξτον γίνονται ψλγ'. ἔκβα τούτων τὸ ζ' ρδ', λοιπὸν ε'. ἀρίϑμησον ε' ἀπὸ τῆς ε' ἡμέρας, καὶ καταλήγεις εἰς δευτέραν, ὃ καὶ ἔστιν· ὁ γὰρ μάρτιος τῆς ἐνεστώσης δ' ἰνδικτιῶνος εἰσέρχεται ἐν δευτέρᾳ τῆς ἑβδομάδος ἡμέρᾳ.

Πάλιν τὰς τῆς ἐννεακαιδεκαετηρίδος ζητοῦντες ἐπινεμήσεις εὑρίσκομεν προ φπς' ἐνιαυτῶν, τουτέστιν λ' κύκλων, ια' οὖσαν ἰνδικτιῶνα· ια' γὰρ ἐπὶ ια' συνάγει ϙοα'. λοιπὸν ιβ', ιγ', ιδ', ιε', ις', ιζ', ιη', ιϑ', α', β', γ', δ', ε', ς', ζ'. αὕτη γὰρ νῦν ἐνέστηκεν. ψηφίζοντες οὖν πρὸ φπς' ἐτῶν τὴν σελή-
D νην εὑρίσκομεν αὐτὴν τῇ κγ' τοῦ μαρτίου μηνὸς ἐκείνου, ἥτις ἦν ἐν ἡμέρᾳ παρασκευῇ, ἔχουσαν ιδ', ε', ὡς εἶναι τὸ πάσχα

4. ἔτους P. 6. 7. ἔτη om. P. 10. διὰ τοίνυν R. *ib.* ἔκβαλε P. 15. ιϑ' ετηρίδος P.

A. C. [Ol. Iph.]

CCCXLIX. Olympias.

6124. 616. VI. Ind. IV. Ind. Post Cons. Heraclii Augusti V. 4.

Et ab ipso XXII. die mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* IV.

A Christi Domini nativitate, usque ad hunc Consulatum, exacti sunt anni DCXIX. et coepit annus DCXX. Ex his usque ad ejus Passionem subtractis annis XXXIII. restant anni DLXXXVI. Ergo ante DLXXXVI. annos, mensis Martius feria V. incoepit. Nam DLXXXVI. annis adde Bissextiles, hoc est CXLVII. quia modo Bissextus instat, his additis, fient DCCXXXIII. Abjice ex his septies CIV. reliquum erit V. Numera V. a V. feria, et desines in feria II. quod ita est. Martius enim inchoante IV. Indictione, incipit hebdomadis feria II.

Rursum si XIX. annorum Cycli Indictiones quaeramus, inveniemus ante DLXXXVI. annos, hoc est XXX. Cyclos, XI. esse Indictionem. XI. enim ad XI. colligunt DLXXI. Relinquuntur enim XV. nempe XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. I. II III. IV. V. VI. VII. Haec enim nunc est. Numerantes igitur ante DLXXXVI. annos lunam, reperimus illam XXIII. die Martii illius quae erat in die Parasceves, esse XIV. ut esset Pascha Ju-

τῶν Ἰουδαίων, ὅτε ὁ κύριος ἐσταυρώθη, ἀπὸ ἑσπέρας τῆς παρασκευῆς. ἀνέστη δὲ κύριος τῇ ἑφεξῆς κυριακῇ, ἥτις ἦν κε' τοῦ αὐτοῦ μαρτίου μηνός. συνάδει δὲ ταῦτα καὶ τὰ προταττόμενα παρὰ τῶν ἀξιολόγων ἀνδρῶν ἐν τῇ τῶν φωστήρων ψηφοφορίᾳ.

Ἰνδ. ε'. ζ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ς'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ε'. P 389 R 890

Ἰνδ. ς'. η'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ζ'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ς'.

Τούτῳ τῷ ἔτει ἀπητήθησαν οἱ κτήτορες τῶν πολιτικῶν ἄρτων διὰ διαγραφῶν καθ' ἕκαστον ἄρτον νομίσματα γ'. καὶ μετὰ τὸ παρασχεῖν πάντας εὐθέως τῷ αὐγούστῳ μηνὶ αὐτῆς τῆς ς' ἰνδικτιῶνος ἀνηρτήθη τελείως ἡ χορηγία τῶν αὐτῶν πολιτικῶν ἄρτων. B

Ἰνδ. ζ'. θ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ η'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ζ'. V 310

τν' Ὀλυμπιάς.

Ἰνδ. η'. ι'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ θ'.

3. πραττόμενα P. 6. κβ'] κα' V. 7. 10. 18. ἔτους P. 12. γραφῶν R.

daeorum, cum Dominus passus est, a vespera Parasceves. Resurrexit Dominus deinde Dominica die, quae in XXII. incidit ejusdem Martii. Concinunt autem quae a magnis viris acta sunt in luminarium supputatione.

[Ol. Iph.]

A. C.

617. VII. Ind. V. Post Cons. Heraclii Augusti VI. 1. 344.

Et ab ipso die XXII. Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* V.

618. VIII. Ind. VI. Post Cons. Heraclii Augusti VII. 2.

Et ab ipso XXII. die Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* VI.

Hoc anno, possessoribus, seu civibus, qui jure panum civilium gaudebant, exacta sunt vice indictionis, in singulos panes tria numismata: et postquam omnes ea dedere, statim mense Augusto ejusdem Indictionis VI. universae panum civilium largitiones sublatae sunt.

619. IX. Ind. VII. Post Cons. Heraclii Augusti VIII. 3.

Et ab ipso die XXII. ejusdem mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* VII.

CCCL. Olympias.

620. X. Ind. VIII. Cons. Heraclii Augusti IX. 4.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος η'.

Ἰνδ. θ'. ια'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ι'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος θ'.

P 390 *Ἰνδ. ι'. ιβ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου ἔτος ια'.*

B *Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ι'.*

V 311 *Ἰνδ. ια'. ιγ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ιβ'.*

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ια'.

P 391 *Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ δαισίῳ, κατὰ Ῥωμαίους ἰουνίου ε', ἡμέρᾳ πρώτῃ, ὄντος τοῦ βασιλέως Ἡρακλείου εἰς τὰ Θρᾴκια μέρη μετά τινων ἀρχόντων καὶ τινων οὐ μόνον κτητόρων καὶ κληρικῶν, ἀλλὰ γὰρ καὶ ἐργαστηριακῶν καὶ δημοτῶν ἐξ ἑκατέρου*

C *μέρους καὶ πλήθους ἄλλου οὐκ ὀλίγου, πλησιάσαντος τῷ μακρῷ τείχει τοῦ Χαγάνου τῶν Ἀβάρων μετὰ πλήθους ἀπείρου, μελλούσης, ὡς καθὼς ἐφημίσθη, μεταξὺ Ῥωμαίων καὶ Ἀβάρων εἰρήνης γίνεσθαι, καὶ μέλλοντος ἱππικοῦ ἐν Ἡρακλείᾳ ἄγεσθαι, τῇ φήμῃ ταύτῃ συναπαχθὲν πλῆθος ἄπειρον ἐξῆλθεν ἐκ τῆς παν-*
ευδαίμονος, καὶ περὶ ὥραν δ' τῆς κυριακῆς αὐτῆς ὁ Χαγάνος

2. *νέου* om. R. 3. *μετὰ* — 9. *ιγ'* om. R. 6. *ἔτος*] *τὸ* P. 8. *ἔτους* P. 10. *καὶ*] *τῆς* R. 19. *εἰρήνην* P, *εἰρήνης* V, m. R. 20. *συναχθὲν* P.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* VIII.

621. XI. Ind. IX. Post Cons. Heraclii Augusti X. 1. 350.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* IX.

622. XII. Ind. X. Post Cons. Heraclii Augusti XI. 2.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* X.

623 XIII. Ind. XI. Post Cons. Heraclii Augusti XII. 3.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* XI.

Hoc anno, mense Desio, secundum Romanos Junii V. feria I. cum Imperator Heraclius in Thraciae partibus versaretur una cum Proceribus et civibus, atque Clericis, atque adeo cum opificibus, plurimis etiam ex utraque Factione, ac plebe, Avarum Chagano ad Longum Murum cum innumera multitudine etiam accedente, quod, ut rumor increbuerat, Romanos inter ac Avares pax esset conficienda, tum etiam quod Heracleae Ludi Circenses celebrandi essent, hac fama excita multitudo infinita, ex Felice Urbe egressa est. Et circa horam IV. ipsius Dominicae, Avarum

τῶν Ἀβάρων τῷ φραγελλίῳ αὐτοῦ ἔνευσεν, καὶ πάντες οἱ σὺν αὐτῷ ὁρμήσαντες εἰσῆλθαν τὸ μακρὸν τεῖχος, ἐκείνου μείναντος ἔξωθεν τοῦ τείχους μετά τινων τῶν αὐτοῦ, καὶ ὡς καθὼς εἶπεν ὅτι καὶ τὸ τεῖχος εἰσήρχετο καὶ τὴν πόλιν παρελάμβανεν, εἰ μὴ D
ὅτι ὁ θεὸς αὐτὸν ἐκώλυσεν. πλὴν οἱ αὐτοῦ εἰσελθόντες αὐτῇ τῇ κυριακῇ ἀπὸ ἑσπέρας ἕως τῆς Χρυσῆς πόρτας πάντας ἐπραίδευσαν οὓς ηὗρον ἔξω τῆς πόλεως μετὰ καὶ τῶν ἐν τοῖς προαστείοις ὅπως οὖν εὑρεθέντων ἀνθρώπων τε καὶ ἀλόγων παντοδαπῶν. R 892
εἰσῆλθαν δὲ καὶ εἰς τοὺς ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν ἐν Βλαχέρναις, καὶ εἰς τὸν Ἀρχάγγελον πέραν εἰς τὰ Προμώτου, καὶ οὐ μόνον ὅτι τὰ κιβούρια καὶ ἄλλα κειμήλια ἀφείλαντο, ἀλλὰ καὶ αὐτὴν τὴν ἁγίαν τράπεζαν τῆς ἐκκλησίας τοῦ Ἀρχαγγέλου κατέκλασαν, καὶ πάντας μετὰ τῶν ἁφαιρεθέντων αὐτῶν μετῴκισαν πέραν τοῦ Δανουβίου, μηδενὸς ἀντιστατοῦντος. P 390

τνα' Ὀλυμπιάς. P 391

Ἰνδ. ιβ'. ιδ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ιγ'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ιβ'.

Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ δύστρῳ, κατὰ Ῥωμαίους μαρτίῳ, ε' καὶ κ' τοῦ μηνός, τῇ ἡμέρᾳ τοῦ εὐαγγελισμοῦ τῆς δεσποίνης

1. φραγγελίῳ P. 2. εἰσῆλθον P. 6. ἑσπέραν V. 9. εἰσῆλθον P. *ib.* καὶ om. P. 11. κιβώρια P. *ib.* ἀφείλοντο P. 13. μετῴκησαν PV. 19. σύστρῳ R.

Chaganus flagello suo signum dedit, statimque omnes qui cum illo erant Anni a m. c.
Longum Murum impetu facto ingressi sunt, ipso extra Murum cum aliquot familiaribus manente, cum, ut dixisse fertur, simul atque Murum ingressus esset, urbem se facile occupaturum sibi persuaderet: quod sane accidisset, nisi illum prohibuisset Deus. Illius tamen copiae ipsa Dominica, ingressae circa vesperam usque ad Auream portam, quotquot extra urbem repererunt, vel in suburbanis, et quidquid hominum vel animalium inventum fuit, in praedam rapuere. Ingressi sunt etiam sacram aedem Sanctorum Cosmae et Damiani in Blachernis: et Ecclesiam Sancti Archangeli trans urbem in Promoti Suburbano: in iisque non Ciboria duntaxat, et alia cimelia abstulerunt, sed ipsam etiam sacram Mensam Ecclesiae Archangeli confregerunt, omnesque cum praeda captivos secum trans Danubium, obsistente nemine, abduxerunt.
A. C. [Ol. Iph.]

CCCLI. Olympias.

624. XIV. Ind. XII. Post Cons. Heraclii Augusti XIII. 3. 6132.
Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* XI.

Hoc anno, mense Dystro, secundum Romanos, Martio, quinto et vicesimo mensis die festo Annuntiationis Dominae nostrae Dei Genitricis,

ἡμῶν τῆς θεοτόκου, ἐξῆλθεν ἐπὶ τὰ ἀνατολικὰ μέρη ὁ βασιλεὺς Ἡράκλειος ἅμα τοῖς αὐτοῦ τέκνοις Ἡρακλείῳ καὶ Ἐπιφανίᾳ τῇ καὶ Εὐδοκίᾳ καὶ τῇ βασιλίσσῃ Μαρτίνᾳ, καὶ ἐποίησεν σὺν αὐτοῖς τὴν πασχαλίαν ἑορτὴν πλησίον τῆς πόλεως Νικομηδείας.

C καὶ μετὰ τὴν ἑορτὴν αὐτὸς μὲν ὁ βασιλεὺς Ἡράκλειος μετὰ Μαρτίνης τῆς βασιλίσσης ὥρμησαν ἐπὶ τὰ ἀνατολικὰ μέρη, συντόνως αὐτοῖς καὶ Ἀνιανοῦ δομεστίκου τοῦ μαγίστρου. τὰ δὲ τέκνα αὐτοῦ ὑπέστρεψαν ἐν Κωνσταντινουπόλει.

Τοίτῳ τῷ ἔτει μηνὶ ἀρτεμισίῳ, κατὰ Ῥωμαίους μαΐῳ, τῆς

D ιβ' ἰνδικτιῶνος, ἐπὶ Σεργίου πατριάρχου Κωνσταντινουπόλεως, ἐπενοήθη ψάλλεσθαι μετὰ τὸ μεταλαβεῖν πάντας τῶν ἁγίων μυστηρίων ἐν τῷ μέλλειν τοὺς κληρικοὺς ἐπὶ τὸ σκευοφυλάκιον ἀποκαθιστᾶν τὰ τίμια ῥιπίδια, δισκάρια καὶ ποτήρια καὶ ἄλλα ἱερὰ σκεύη, μετὰ τὸ ἐκ τῶν παρατραπεζίων καὶ τὴν διάδοσιν ἀποτεθῆναι πάντα εἰς τὴν ἁγίαν τράπεζαν, καὶ ψαλθῆναι τὸν τελευταῖον στίχον τοῦ κοινωνικοῦ, λέγεσθαι καὶ τοῦτο το τροπάριν, Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως, κύριε, ὅπως ἂν ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων. τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. ἀλληλούια.

R 894
P 391 Ἰνδ. ιγ'. ιε'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ιδ'.

2. Ἡρακλεῖ V. ib. τῇ καὶ] τῇ R. 5. ὁ om. R. 6. ὥρμησεν P sola. 7. μεγίστου P. 12. ἀποκαθιστάναι P. 16. λέγεται R. ib. τροπάριον P. 17. ὅπως ἀννμνήσωμεν P. 18. ἡμᾶς om. R. 20. ἀλλελούια V.

profectus in Orientales partes Imperator Heraclius cum liberis suis Heraclio, Epiphania quae et Eudocia dicta, et Imperatrice Martina, Paschales ferias juxta urbem Nicomediam peregit. Iisque exactis, idem Imperator Heraclius cum Martina Imperatrice in Orientis regiones perrexit, habens in comitatu Anianum Domesticum maximum. Liberi vero illius Constantinopolim reversi sunt.

Hoc anno, mense Artemisio, secundum Romanos Maio, XII. Indict. sub Sergio Patriarcha Constantinopolitano tum primum inductum est, ut postquam omnes sacra mysteria perceperunt, cum Clerici relaturi sunt in Scevophylacium pretiosa Muscaria, Discos et Calices, atque alia sacra vasa, et post datam fidelibus ex appositis mensis Communionem, omnia in sacram Mensam referuntur, post exactum denique ultimum versum Communionis, caneretur haec Antiphona: *Implcatur os nostrum laude, Domine, ut celebremus gloriam tuam, quia nos sanctis tuis mysteriis dignatus es. Serva nos in sanctificatione, toto die meditantes justitiam tuam. Alleluia.*

625. XV. Ind. XIII. Post Cons. Heraclii Augusti XIV. 4.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ιγ'.

Ἰνδ. ιδ'. ις'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου ἔτος ιε'. B

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ιδ'.

Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ δύστρῳ, κατὰ Ῥωμαίους μαρτίῳ, ἐφάνη ἐπὶ δ' ἡμέρας ἀστὴρ φαιδρὸς πάνυ κατὰ δυσμὰς μετὰ δύσιν ἡλίου.

Τούτῳ τῷ ἔτει μηνὶ ἀρτεμισίῳ, κατὰ Ῥωμαίους μαΐῳ, ιδ', ἡμέρᾳ δ', αὐτῇ τῇ ἁγίᾳ μεσοπεντηκοστῇ, συνήχθησαν αἱ σχολαὶ καὶ ἄλλοι πολλοὶ τοῦ πλήθους ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ κατέκραξαν Ἰωάννου τοῦ ἐπίκλην Σεισμοῦ, ὡς θελήσαντος ἐπᾶραι τὰ ψώμια τῶν σχολῶν εἰς ὄνομα τῶν στρατιωτῶν· καὶ τοῦ πατριάρχου Σεργίου ὑποσχομένου ἀποθεραπεύειν τὸν ὄχλον, εἰ μόνον ἐνδώσωσι γενέσθαι τὴν θείαν λειτουργίαν. C

Τῇ πεντεκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς πάλιν πλειόνων εὑρεθέντων ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ κατακραξάντων τοῦ λεχθέντος Ἰωάννου, ὁ μὲν πατριάρχης καὶ Ἀλέξανδρος ὁ ἔπαρχος τῶν πραιτωρίων καὶ ἄλλοι τινὲς τῶν ἀρχόντων καὶ Λεόντιος κόμης τοῦ ὀψαρίου καὶ σπαθάριος, ἀνῆλθαν εἰς τὸν ἄμβωνα τῆς μεγάλης ἐκκλησίας, καὶ κραυγῶν πολλῶν γενομένων D *κατὰ τοῦ ῥηθέντος Ἰωάννου τοῦ ἐπίκλην Σεισμοῦ ἀπὸ τοῦ κοι-*

3. ἔτος] τὸ P.. 4. καὶ] τῆς P. 17. κατακραξόντων P. 20. ἀνῆλθον P.

Et ab ipso die XXII. Januarii mensis, scribitur, *Imperii Heraclii Novi Constantini anno* XIII.

626. XVI. Ind. XIV. Post Cons. Heraclii Augusti XV. 1. 351.

Et ab ipso die XXII. Januarii mensis, scribitur, *Imperii Heraclii Novi Constantini anno* XIV.

Hoc anno, mense Dystro, secundum Romanos, Martio, apparuit sydus fulgentissimum versus occidentem, post occasum solis.

Hoc anno, mense Artemisio, secundum Romanos Maio, XIV. feria IV. in quam incidit Media Pentecoste, convenerunt Scholae (Palatinae) una cum multis aliis ex plebe, in sanctissima Magna Ecclesia, clamoribusque consecuti sunt Joannem cognomento Sismum, quod tollere vellet panes Scholarum in sportulas militum dari consuetos: Sergio Patriarcha interea pollicente operam suam se collaturum ut satis iis fieret, dummodo sinerent sacram Liturgiam peragi.

XIV. ejusdem mensis die, pluribus rursum in sanctissima magna Ecclesia coactis, et clamitantibus contra praedictum Joannem, Patriarcha et Alexander Praefectus Praetorio, et alii quidam ex Magistratibus, et Leontius Comes piscium et Spatharius, Magnae Ecclesiae Ambonem conscenderunt, multisque clamoribus contra eundem Joannem cognomento

νοῦ εἰς τὸ μηκέτι αὐτὸν παρελθεῖν διὰ πολιτικοῦ πράγματος, ἐκεῖνος μὲν καθηρέθη καὶ κατεβλήθησαν αὐτοῦ παραχρῆμα αἱ
V 312 εἰκόνες. ὁ δὲ ἔπαρχος τῶν πραιτωρίων Ἀλέξανδρος προσεφώνησε, λέγων ὅτι Ἀπὸ ἄρτι πρὸς ἐμὲ ἔχετε χάριν τῶν ψωμίων καὶ ἐλπίζω ἐν τάχει ποιῶ διόρθωσιν εἰς αὐτό. ὁ γὰρ λεχθεὶς Ἰωάννης ὁ Σεισμὸς γ' φόλλεων πιπρασκομένου τοῦ ψωμίου αὐτὸς ἡ' φόλλεων αὐτὸ ἠβουλήθη ποιῆσαι· καὶ ὁ θεὸς κατέβαλε τὴν βουλὴν αὐτοῦ.

P 392 Καλὸν δὲ διηγήσασθαι ὅπως καὶ νῦν ὁ μόνος πολυέλεος καὶ
R 896 εὔσπλαγχνος θεὸς τῇ εὐπροσδέκτῳ πρεσβείᾳ τῆς ἀχράντου αὐτοῦ μητρὸς καὶ κατὰ ἀλήθειαν δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τὴν ταπεινὴν ταύτην αἰτοῦ πόλιν ἔσωσεν ἐκ τῶν κατὰ συμφωνίαν κυκλωσάντων αὐτὴν παναθέων ἐχθρῶν τῇ κραταιᾷ αὐτοῦ χειρί, καὶ τὸν ἐν αὐτῇ εὑρεθέντα λαὸν ἐλυτρώσατο τῆς προσδοκωμένης μαχαίρας, αἰχμαλωσίας τε καὶ πικροτάτης δουλείας, ὃ οὐδεὶς τῶν πάντων εὐπορήσει διηγήσασθαι. ὁ γὰρ ἐπικατάρατος Σαλβάρας, ἔξαρχος τοῦ Περσικοῦ στρατοῦ,
B ἐκδεχόμενος, ὡς ἔοικεν, καὶ ἔργοις δὲ τελευταῖον ἀπεδείχθη, τὴν τοῦ παναθέου Χαγάνου τῶν Ἀβάρων ἐπέλευσιν, πρὸ πλείστων τούτων ἡμερῶν γενόμενος ἐν Χαλκηδόνι πάντα τά τε προάστεια καὶ παλάτια καὶ τοὺς εὐκτηρίους οἴκους ἀθέως ἐνέπρησεν,

4. (ὡς ἐλπίζω P sola. 16. ὃ addidit P sola. 20. τε et καὶ παλάτια om. P.

Sismum a populo excitatis, ut a publicae rei administratione amoveretur, exauctoratus est, statuaeque illius extemplo dejectae. Alexander autem Praefectus Praetorio multitudinem sic est allocutus: *Panes deinceps a me accipietis, ac futurum spero, uti brevi res ad priorem statum revocetur.* Quippe Joannes iste Sismus, cum tribus duntaxat Follibus panis venderetur, rem ipse eo deducere conabatur, uti octo Folles exigerentur: sed Deus consilium ejus evertit.

Operae pretium porro videtur exponere, quemadmodum et nunc solus misericors ac clementia plenus Deus per acceptissimam intemeratae matris ipsius, et vere Dominae nostrae Dei Genitricis, et semper Virginis Mariae intercessionem, humilem hanc suam urbem ex impiis hostibus, inita invicem conjuratione hanc obsidentibus, et cingentibus, potenti sua manu, et qui tum in ea erat populum ab imminente gladio, captivitate, et acerbissima servitute liberaverit: quae quidem omnia nemo satis poterit exponere. Etenim execrandus ille Salbaras, Persici exercitus Dux et Exarchus, cum expectaret, ut vero simile est, et ex factis demum apparuit, Deo invisi Avarum Chagani adventum, interim complures ante dies castris ad Chalcedonem positis, suburbana omnia, et sacras aedes incendio sacrilege absumpsit: ibique mansit, illius adventum praestolatus.

καὶ ἔμεινεν λοιπὸν τὴν ἐκείνου παρουσίαν ἐκδεχόμενος. τῇ οὖν κϑ' τοῦ ἰουνίου μηνὸς τῆς παρούσης ιδ' ἰνδικτιῶνος, τουτέστιν τῇ ἡμέρᾳ τῆς συνάξεως τῶν ἁγίων καὶ ἐνδόξων κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου, κατέλαβε πρόκουρσον τοῦ θεομισήτου Χαγάνου, ὡς ἄχρι χιλιάδων τριάκοντα, διὰ δηλωμάτων φημίσαντος τό τε μακρὸν τεῖχος καταλαβεῖν καὶ τὰ ἔνδον αὐτοῦ, ὥστε τοὺς εἱρεθέντας ἔξωθεν τῆς πόλεως ἐφίππους γενναιοτάτους C στρατιώτας κατὰ τὴν αὐτὴν ἡμέραν, κυριακὴν οὖσαν, ἔνδον γενέσθαι τοῦ νέου Θεοδοσιακοῦ τείχους ταύτης τῆς βασιλίδος πόλεως, καὶ ἔμεινεν τὸ αὐτὸ πρόκουρσον ἐπὶ τὰ μέρη Μελαντιάδος, ὀλίγων ἐξ αὐτῶν ἐκιρεχόντων μέχρι τοῦ τείχους ἐκ διαλειμμάτων, καὶ μὴ συγχωρούντων τινὰ ἐξιέναι ἢ ὕλως ἀλόγων δαπάνας συλλέγειν. ἐν τῷ μέσῳ δὲ ἄχρις ἡμερῶν δέκα ἐφεξῆς διαδραμουσῶν, καὶ μηδενὸς τῶν ἐχθρῶν σύνεγγυς τοῦ τείχους φανέντος, ἐξῆλθαν στρατιῶται μετὰ παλλικαρίων καὶ πολιτῶν, ὀφείλοντες ὡς ἀπὸ δέκα μιλίων θερίσαι ὀλίγα γεννήματα, καὶ συνέβη ἀπαντηθῆναι αὐτοῖς τοὺς ἐχθροὺς καὶ ἔνθεν κἀκεῖθέν τινας διαπεσεῖν, D συσχεθῆναι δὲ καί τινας ἐκ τῶν παλλικαρίων, τῶν στρατιωτῶν καὶ τῶν πολιτῶν τῶν ἐξελθόντων σὺν αὐτοῖς. εἰ μὴ γὰρ συνέβη τοὺς στρατιώτας περισπασθῆναι εἰς τὸ ἐκδικῆσαι τὰ ἴδια παλλικάρια καὶ τοὺς πολίτας, ἱκανοὶ ἐφονεύοντο ἐκ τῶν ἐχθρῶν κατ' ἐκείνην τὴν ἡμέραν. μετ' οὐ πολὺ δέ τινων ἐχθρῶν ἄχρι μιᾶς χιλιάδος

9. τοῦ ταύτης P. 14. ἐξῆλθον P. 15. καὶ om. R, uncis inclusit P. 19. τῶν alterum om. P.

Itaque XXIX. Junii mensis, praesentis XIV. Indictionis, die scilicet festo sanctorum et illustrium Coryphaeorum Apostolorum Petri et Pauli, accessit prima acies Deo odiosi Chagani, triginta circiter hominum millium; per nuntios promulgantis se quamprimum Longum Murum occupaturum, et quidquid intra illum est: ita ut quotquot ex equitibus ac fortissimis militibus qui hactenus extra urbem erant, hoc ipso die, qui in Dominicam incidit, intra novum Theodosiacum murum hujus urbium Reginae se confestim reciperent. Mansitque prima ista acies circa Melantiadem, paucis ex iis usque ad muros per intervalla excurrentibus, et quenquam exire, vel ad equorum pabulationem quidquam colligere prohibentibus. Elapsis interea diebus decem, nemine ex hostibus ad moenia apparente, egressi milites cum calonibus et civibus, uti ad decimum ab urbe lapidem meterent exiguam segetem, in hostes incidere, aliquot ex iis caesis, quibusdam etiam ex militum calonibus et ex civibus qui cum iis egressi fuerant, captis. Nisi tamen milites in calonibus suis defendendis fuissent occupati, magnum satis ex hostibus numerum eo die interfecissent. Caeterum non multo post circiter mille ex hostibus, hoc ipso die, juxta

ἐλθόντων πλησίον τοῦ σεβασμίου οἴκου τῶν ἁγίων Μακκαβαίων πέραν ἐν Συκαῖς, καὶ ἐμφανισάντων ἑαυτοὺς τοῖς Πέρσαις, κἀκείνων συναχθέντων ἐπὶ τὰ μέρη Χρυσοπόλεως, καὶ γνωρισάν-
P 393 των ἀλλήλοις διὰ πυρκαϊᾶς τὴν ἑαυτῶν παρουσίαν, ἐν τῷ μέσῳ ἀπέλυσεν ὁ ἐπικατάρατος Χαγάνος Ἀθανάσιον τὸν ἐνδοξότατον
R 898 πατρίκιον ἀπὸ τῶν μερῶν Ἀδριανουπόλεως, εἰρηκὼς αὐτῷ ὅτι Ἄπελθε καὶ ἴδε πῶς θέλουσιν οἱ τῆς πόλεως θεραπεῦσαί με καὶ τί θέλουσί μοι δοῦναι, ἵνα ὑποστρέψω εἰσελθόντος οἶν αὐτοῦ Ἀθανασίου τοῦ ἐνδοξοτάτου, καὶ ταῦτα ἀπαγγείλαντος Βόνῳ τῷ ἐνδοξοτάτῳ πατρικίῳ καὶ μαγίστρῳ καὶ τοῖς λοιποῖς
V 313 ἄρχουσι, κἀκείνων ἐπιμεμψαμένων αὐτῷ οὕτως ὑποπεσόντι τῷ ἐπικαταράτῳ Χαγάνῳ καὶ ὑποσχομένῳ τοὺς τῆς πόλεως τὰ θεραπεύοντα αὐτὸν πράττειν, τότε Ἀθανάσιος ὁ ἐνδοξότατος εἶπεν
B ταῦτα αὐτῷ ῥηθῆναι παρὰ τῶν ἐνδοξοτάτων ἀρχόντων κατὰ τὸν καιρὸν καθ' ὃν εἰς πρεσβείαν ἐστέλλετο· λοιπὸν δὲ μηδὲ μεμαθηκέναι αὐτὸν οἵτω τὰ τοῦ τείχους κατησφαλίσθαι καὶ στρατὸν ἐνταῦθα παρεῖναι· πλὴν ἑτοίμως ἔχειν αὐτὸν τὴν αὐτῷ διδομένην ἀπόκρισιν λέγειν ἀπαραλλάκτως τῷ Χαγάνῳ. εἶτα ἐπιζητήσαντος τοῦ αὐτοῦ ἐνδοξοτάτου Ἀθανασίου πρότερον ἐθέλειν θεωρῆσαι τὸν ἐν τῇ πόλει ὄντα στρατόν, ἁρμαστατιῶνος γενομένης ἠρέθησαν τῶν ἐνδημούντων ἐν τῇ πόλει καβαλλαρίων περὶ τὰς ιβ' καὶ πρὸς χιλιάδας. καὶ τότε δέδωκαν αὐτῷ οἱ ἄρχοντες ἀντα-
C πόκρισιν ὀφείλουσαν πάντως παρασκευάσαι τὸν ἐπικατάρατον

8. ἐλθόντος R. 15. μηδὲ om. R.

venerandam aedem Sanctorum Maccabaeorum ultra Sinum in Sycis, accedentibus, ac sese Persis visendos praebentibus, qui versus Chrysopolim castra posuerant, suam inter se per ignes praesentiam significantibus. Interim execrandus Chaganus Athanasium clarissimum Patricium Adrianopoli cum his dictis amandavit: *Abi, et vide qua ratione velint cives me placare, quaeve dona offerre, ut hinc recedam.* Veniente igitur ipso gloriosissimo Athanasio, haecque Bono gloriosissimo Patricio et Magistro, caeterisque Magistratibus exponente, iisque Athanasium objurgantibus, quod abominando Chagano ita se subdiderit, fueritque pollicitus urbis cives quae illi placitura essent executuros: tum gloriosissimus Athanasius haec sibi data esse in mandatis dixit a gloriosissimis Magistratibus quo tempore legatus missus fuerat: caeterum neque scire se ita muros esse munitos, copiasque hic adesse: nihilominus paratum se datum Chagano responsum iisdem verbis referre. Deinde cum gloriosissimus Athanasius, priusquam reverteretur, quantae essent in urbe copiae videre vellet, lustratione facta, reperta sunt in urbe existentium equitum circiter millia duodecim. Tum Magistratus jusserunt ea responderi quae execrandum Chaganum omnino persuaderent ad exercitum a moenibus, seu

Χαγάνον πλησιάσαι τῷ τείχει ἤγουν τῇ πόλει. εἶτα Ἀθανασίου τοῦ ἐνδοξοτάτου τὰ πρὸς ἐκεῖνον φθάσαντος, καὶ μὴ δεχθέντος, ἀλλὰ λέγοντος τοῦ καταράτου Χαγάνου ὅλως μὴ ἐνδιδόναι, εἰ μήδ' ὃν καὶ τὴν πόλιν καὶ τοὺς ἐν αὐτῇ ὄντας κομίσηται, τῇ κθ' τοῦ ἰουλίου μηνὸς αὐτὸς ὁ θεομίσητος Χαγάνος κατέλαβε τὸ τεῖχος μετὰ ὅλου τοῦ ὄχλου αὐτοῦ, καὶ ἔδειξεν ἑαυτὸν τοῖς τῆς πόλεως. μετὰ μίαν ἡμέραν, τουτέστιν τῇ λα' τοῦ αὐτοῦ ἰουλίου μηνός, ἦλθεν παρατασσόμενος πόλεμον [καὶ ἔμεινεν ἀπὸ ἕωθεν ἕως ὥρας ια' πολεμῶν] ἀπὸ τῆς λεγομένης Πολυανδρίου πόρτας καὶ ἕως τῆς πόρτας τοῦ Πέμπτου καὶ ἐπέκεινα σφοδροτέρως· ἐκεῖ D
γὰρ τὸν πολὺν αὐτοῦ παρέστησεν ὄχλον, στήσας εἰς ὄψιν κατὰ τὸ λοιπὸν μέρος τοῦ τείχους Σκλάβους. καὶ ἔμεινεν ἀπὸ ἕωθεν ἕως ὥρας ια' πολεμῶν, πρῶτον μὲν διὰ πεζῶν Σκλάβων γυμνῶν, κατὰ δὲ δευτέραν τάξιν διὰ πεζῶν ζαβάτων. καὶ περὶ ἑσπέραν ἔστησεν ὀλίγα μαγγανικὰ καὶ χελώνας ἀπὸ Βραχιαλίου καὶ ἕως Βραχιαλίου. καὶ πάλιν τῇ ἑξῆς ἔστησε πλῆθος μαγγανικῶν εἰς τὸ μέρος ἐκεῖνο τὸ πολεμηθὲν παρ' αὐτοῦ σύνεγγυς ἀλλήλων,
ὡς ἀναγκασθῆναι τοὺς τῆς πόλεως πάμπολλα στῆσαι μαγγανικὰ R 900
ἔνδοθεν τοῦ τείχους τῆς μάχης καθ' ἑκάστην τῶν πεζῶν συγκρο-
τουμένης, καὶ τῶν ἡμετέρων κατὰ θεοῦ δημιουργίαν ἐκ τοῦ περι-
γεγονότος ἀποσοβούντων μήκοθεν τοὺς ἐχθρούς. ἐκαλάμωσε δὲ P 394
τὰς πετραρίας αὐτοῦ καὶ ἔξωθεν ἐβύρσωσεν. παρεσκεύασεν δὲ

1. *μὴ πλησιάσαι* Ducangius. 3. *μοι* P. 8. Seclusi *καὶ — πολεμῶν.* 9. *Κολιανδρίου* hic et infra RV. 12. *καὶ — πολεμῶν* om. P. 14. *διὰ* mo P.

urbe, amovendum. Cum ergo gloriosissimus Athanasius ad execrandum Chaganum pervenisset, ab eo minime exceptus est, illo dicente, sibi omnia esse tradenda, sin minus, urbem funditus eversurum se, et quotquot in ea erant abducturum.

XXIX. Julii mensis die, Deo invisus Chaganus accessit ad moenia cum universis copiis, ac seipsum civibus ostendit. Post diem unum exactum, scilicet XXXI. ejusdem mensis Julii, accessit ad praelium paratus, mansitque a prima luce usque ad horam XI. bellum fortiter ciens a porta Polyandrii usque ad portam Quinti, atque adeo ulterius: ibi enim plurimum militem statuit in ipsius urbis conspectu, in reliqua vero muri parte Sclavos, ac primam quidem eorum aciem pedestrem nudam, alteram pedestrem loricatam. Tum sub vesperam machinas aliquot et testudines admovit a Brachialio usque ad Brachialium. Rursum postero die multa tormenta in illam partem quae ab ipso oppugnabatur, statuit, ita inter se proxima, ut necesse fuerit obsessis quam plurimas machinas intra muros apponere, peditibus quotidie invicem pugnantibus, nostrisque, Dei providentia, victoribus, ac hostes longe propulsantibus. Confecit praeterea machinas jaculatorias, quas extrorsum corio texit. Aedificavit autem in eo spatio,

εἰς τὸ διάστημα τὸ ἀπὸ τῆς Πολυανδρίου πόρτας ἕως τῆς πόρτας τοῦ ἁγίου Ῥωμανοῦ στῆναι ιβ' πυργοκαστέλλους ὑψηλούς, φθάνοντας σχεδὸν ἕως τῶν προμαχεώνων, καὶ ἐβύρσωσεν αὐτούς. καὶ οἱ εὑρεθέντες δὲ ναῦται ἐν τῇ πόλει καὶ αὐτοὶ ἐξῆλθον εἰς συμμαχίαν τοῖς πολίταις· καὶ εἷς ἐξ αὐτῶν τῶν ναυτῶν ἐμηχανήσατο καταρτίαν καὶ ἐκρέμασεν εἰς αὐτὴν κάραβον, ὀφείλων δὲ αὐτοῦ ἐμπρῆσαι τοὺς πυργοκαστέλλους τῶν ἐχθρῶν, ὅντινα ναύτην καταπλήξαντα τοὺς πολεμίους οὐ μετρίως συνεκρότησε Βόνος ὁ πανεύφημος μάγιστρος.

B Ὁ δὲ αὐτὸς εὐκλεέστατος μάγιστρος μετὰ τὸ ἐγγίσαι τὸν ἐχθρὸν τῷ τείχει οὐ διέλειπεν προτρέπων αὐτὸν λαβεῖν μὴ μόνον τὰ πάκτα αὐτοῦ, ἀλλὰ καὶ ἕτερον στίχον ὑπὲρ τοῦ ἐλθεῖν αὐτὸν ἕως τοῦ τείχους. καὶ οὐ προσεδέξατο, ἀλλ' ἔλεγεν ὅτι ἀναχωρήσατε τῆς πόλεως καὶ ἐάσατέ μοι τὰς ὑποστάσεις ὑμῶν, καὶ σώσατε ἑαυτοὺς καὶ τὰς φαμιλίας ὑμῶν. ἠγωνία δὲ χαλάσαι εἰς θάλασσαν τὰ μονόξυλα, ἅπερ ἤγαγεν μεθ' ἑαυτοῦ, καὶ οὐ συνεχωρεῖτο ἐκ τῶν σκαφοκαράβων. καὶ ταῦτα λοιπὸν παρεσκεύασεν χαλασθῆναι κατὰ τὴν γέφυραν τοῦ ἁγίου Καλλινίκου μετὰ τρίτην
C ἡμέραν τοῦ πολεμῆσαι. διὰ τοῦτο δὲ παρεσκεύασεν ἐκεῖσε χαλασθῆναι τὰ μονόξυλα, ὡς τῶν τόπων ἐπιβράχων ὄντων, καὶ μὴ δυναμένων ἐκεῖσε τῶν σκαφοκαράβων παρεισελθεῖν. ἔμειναν δὲ οἱ

4. οἱ om. P. 10. αὐτὸς om R. ib. ἐκκλεέστατος R. ib. τῶν ἐχθρῶν m. R. 11. διέλιπε P. 13. ἀναχωρήσετε — ἐάσετε P. 15. χαλάσας P. 16. τὰ om. P. 21. οἱ om. P.

quod inter portam Polyandrii et portam Sancti Romani interjacet, xii. turres castellis instructas, praealtas, et quae ipsa fere propugnacula attingerent, quas et perinde corio munivit. Sed et Nautae qui erant in urbe, egressi, civibus subsidio erant: unusque ex iisdem nautis malum nauticum machinatus est, in cujus summitate navigiolum appendit, quo hostium turres castellis instructas incenderet: quem quidem nautam, qui hostes adeo perculerat, collaudavit Bonus gloriosus Magister.

Idem porro celebratissimus Magister, quoties ad moenia accessit, non destitit hostem hortari, non solum ut tributa sua acciperet, sed et alia quorum causa ad ipsa usque moenia venerat. Verum nihil ex his admisit, dixitque: *Urbe cedite, vestrasque fortunas mihi dimittite, servateque vos ipsos, et familias vestras.* Angebatur vero potissimum in trabariis, quas secum attulerat, in mare demittendis: cum a majoribus scaphis impediretur. Sed eas tandem in mare immittere decrevit versus pontem Sancti Callinici, triduo postquam coepit urbem oppugnare. Ideo vero hocce loco trabarias demittere ei visum est, quod loca illa essent vadosa, et ubi majora navigia accedere minime poterant. Manserunt igitur ea-

σκαφοκάραβοι εἰς ὄψιν τῶν μονοξύλων ἀπὸ τοῦ ἁγίου Νικολάου ἕως τοῦ ἁγίου Κόνωνος πέραν εἰς Πηγάς, μὴ συγχωροῦντες παρεξελθεῖν τὰ μονόξυλα.

